§. 2. *Τί οὖν — ἄρα, εἰ*] Vulgatum *ἀρα* ferri non potest; differt enim quod legitur in Comment. III, 3, 2: *'Αλλ' ἀρα, ὅτι*, ubi facile ex iis, quae antecedunt, ad *ἀρα* repetas *ἐπιθυμεῖς τοῦ ἱππαρχεῖν.* Quarto loco *ἄρα* positum vides Xenoph. Comment. IV, 6, 6: *ὀρθῶς ἄν ποτε ἄρα ὁριζοίμεθα*, quinto loco ibid. IV, 4, 23: *τὰ τῶν μὴ ἀκμαζόντων ἄρα οὐ σπου-*

καὶ τὰ λοιπὰ διεξιέναι συνομολογοῦντες; Ἡδύ γ' οὖν 3
ἐστιν, ἔφη ὁ Κριτόβουλος, ὥςπερ καὶ χρημάτων κοι-
νωνήσαντας ἀναμφιλόγως διελθεῖν, οὕτω καὶ λόγων
κοινωνοῦντας περὶ ὧν ἂν διαλεγώμεθα συνομολογοῦν-
τας διεξιέναι. Οὐκοῦν, ἔφη ὁ Σωκράτης, ἐπιστήμης 4
μέν τινος ἔδοξεν ἡμῖν ὄνομα εἶναι ἡ οἰκονομία, ἡ δὲ
ἐπιστήμη αὕτη ἐφαίνετο, ᾗ οἴκους δύνανται αὔξειν
ἄνθρωποι, οἶκος δ' ἡμῖν ἐφαίνετο ὅπερ κτῆσις ἡ σύμ-
πασα, κτῆσιν δὲ τοῦτο ἔφαμεν εἶναι, ὅ τι ἑκάστῳ εἴη
ὠφέλιμον εἰς τὸν βίον, ὠφέλιμα δὲ ὄντα εὑρίσκετο
πάντα, ὁπόσοις τις ἐπίσταιτο χρῆσθαι. πάσας μὲν οὖν 5
τὰς ἐπιστήμας οὔτε μαθεῖν οἷόν τε ἡμῖν ἐδόκει, συν-
αποδοκιμάζειν τε ταῖς πόλεσι τὰς βαναυσικὰς καλου-
μένας τέχνας, ὅτι καὶ τὰ σώματα καταλυμαίνεσθαι δο-
κοῦσι καὶ τὰς ψυχὰς καταγνύουσι. τεκμήριον δὲ σα- 6
φέστατον γενέσθαι ἂν τούτου ἔφαμεν, εἰ, πολεμίων εἰς

§. 3. Ἡδὺ γοῦν L. A. C. — ἐστιν om. A. C. — Weisk. malebat ἀναμφιλόγους διατελεῖν, Orell. l. c. διελεῖν. — G. λόγῳ. — C. D. περὶ ὧν διαλ. — A. C. D. Ald. συνομολογοῦντες.

§. 4. Stob. Serm. CLXXIII. extr. ἐδόκει ἡμῖν. — Stob. ed. αὔξειν δύνανται. — Vulg. ὠφέλιμον εἴη; εἴη ὠφέλ. L. G. A. C. D. Stob. — Stob. ὠφέλιμα δὲ πάντα εὑρίσκετο, ὁπόσοις.

§. 5. Stob. cod. ἐδόκει οἷόν τε εἶναι, ed. ἡμῖν οἷόν τε ἐδόκει εἶναι. — συναπεδοκιμάζομέν τε Stob., quod malebat Steph. — Stob. λυμαίνεσθαι, deinde καταγνύναι.

§. 6. Portus deleri iubet ἔφαμεν; Camerar. mavult φαίημεν —

δαῖα; quanquam τὰ τῶν μὴ ἀκμαζόντων unam efficiunt notionem. Germanice vertas: wie wär' es also wohl?

πρῶτον μὲν — ὅσα μὲν] Structura sic procedere debebat: εἰ πρῶτον μὲν ἐπανέλθοιμεν, ὅσα μὲν — διεληλύθαμεν ἔπειτα δὲ — πειραθεῖμεν. De μὲν — μὲν — δέ v. ad IV, 7. Sed, quia mutatur structura, deest ἔπειτα δέ. Ceterum passim, antecedente πρῶτον μέν, sequi ἔπειτα sine δέ, passim etiam ἔπειτα vel simile quid omitti docet Krüger. ad Anab. V, 9, 5. et III, 2, 1.

§. 3. ὥςπερ καὶ — οὕτω καὶ] Xen. Comment. III, 5, 13: ὥςπερ καὶ ἄλλοι τινὲς — ὑστερίζουσι τῶν ἀντιπάλων, οὕτω καὶ Ἀθηναίους κτλ., ubi v. Saupp. De καί in variis comparationum generibus usurpato v. ad I, 3.

διελθεῖν] Sc. τὰ χρήματα, h. e. usum bonorum et fructum perlustrare, percensere.

§. 5. οὔτε μαθεῖν — συναποδοκιμάζειν τε] Οὔτε — τε sibi respondent, sicuti Latinorum neque — et. V. Krüger. ad Anab. II, 2, 8: καὶ ὤμοσαν — μήτε προδώσειν ἀλλήλους σύμμαχοί τε ἔσεσθαι. Matth. §. 609. Rost. §. 134, 5. d. bb.

§. 6. ἔφαμεν] Schneid. Reisig. Kerst. ex h. l. collegerunt IV, 2. excidisse quae-

τὴν χώραν ἰόντων, διακαθίσας τις τοὺς γεωργοὺς καὶ
τοὺς τεχνίτας χωρὶς ἑκατέρους ἐπερωτῴη, πότερα δοκεῖ
ἀρήγειν τῇ χώρᾳ, ἢ ὑφεμένους τῆς γῆς τὰ τείχη δια-
7 φυλάττειν. οὕτως γὰρ ἂν τοὺς μὲν ἀμφὶ γῆν ἔχοντας
ᾠόμεθ' ἂν ψηφίζεσθαι ἀρήγειν, τοὺς δὲ τεχνίτας μὴ
μάχεσθαι, ἀλλ', ὅπερ πεπαίδευνται, καθῆσθαι μήτε πο-
8 νοῦντας μήτε κινδυνεύοντας. ἐδοκιμάσαμεν δὲ ἀνδρὶ
καλῷ τε κἀγαθῷ ἐργασίαν εἶναι καὶ ἐπιστήμην κρα-
τίστην γεωργίαν, ἀφ' ἧς τὰ ἐπιτήδεια ἄνθρωποι πορί-
9 ζονται. αὕτη γὰρ ἡ ἐργασία μαθεῖν τε ῥᾴστη ἐδόκει
εἶναι καὶ ἡδίστη ἐργάζεσθαι, καὶ τὰ σώματα κάλλιστά
τε καὶ εὐρωστότατα παρέχεσθαι, καὶ ταῖς ψυχαῖς
ἥκιστα ἀσχολίαν παρέχειν φίλων τε καὶ πόλεων συν-

*οἰοίμεθα*; Zeun. male defendit vulgatam; recc. edd. excidisse quaedam cap. IV, 2 fin. censent.

§. 7. *οὕτως γὰρ* G. L. A. C. D.; vulg. *οὕτω γὰρ* — A. C. D. *ὅπως παιδεύονται*; marg. Steph. *ὅπερ παιδεύονται*.

§. 8. *δὲ* om. Bas. I. II. — Articulum ante *γεωργ.* addit cum Weiskio et Schneidero Dind.

§. 10. Cum Weiskio Schneid. *τε* post *φύουσα* delere vult. —

dam, quae respiciant haec et seq. §. Neminem autem non offendit hic, ubi summatim modo atque strictim quae antea disputata sunt repetuntur, iterum narrari, quae illic nonnisi illustrandi et ornandi causa dicta esse possunt. Qualis repetitio quum inepta non videri non possit, pro certo habeo hunc certe locum verba, quae §. 6. et 7. continent, obtinere non posse; verisimile autem videtur lecta esse olim in cap. IV. post §. 2. indeque *ἔφαμεν* et *ᾠόμεθα* illatis a librario translata in hanc sedem priori loco fortasse propter signum margini appositum, quod alter librarius perperam accepit, postmodum plane excidisse.

§. 7. **οὕτως γὰρ**] De *οὕτως* ante consonantem v. ad I, 9. Conf. Poppo Ind. Anab. s. v. Rost. §. 22. p. 71. *Οὕτως* est: si haec ita fiunt, i. e. tum. V. Krüger. ad Anab. III, 2, 31. *Γάρ* referas ad *τεκμήριον*. Herod. VIII, 120: *μέγα δὲ καὶ τόδε τεκμήριον· φαίνεται γὰρ Ξέρξης κτλ.* Matth. §. 30. f. Hart. §. 1006. 1.

*τοὺς — ἀμφὶ γῆν ἔχοντας*] agricultura occupatos. Anab. VI, 4, 1: *Ἐντεῦθεν οἱ μὲν πολέμιοι εἶχον ἀμφὶ τὰ ἑαυτῶν.* VI, 2, 26. VII, 2, 16.

*ὅπερ πεπαίδευνται*] Cyr. I, 6, 20: *Σύ τε γάρ με εὐθὺς τοῦτο ἐκ παιδίου ἐπαίδευες.* IV, 2, 23: *ἐνόμιζον παιδευθῆναι τὰ προσήκοντα ἀνδρὶ καλοκἀγαθίας ὀρεγομένῳ.* Matth. §. 424, 1. Hart. §. 613. Kühner. §. 561. e. Cf. infra VII, 6. IX, 12.

*καθῆσθαι*] otiosum esse, desidere. Infra VII, 1: *ἰδὼν αὐτὸν ἐν τῇ στοᾷ καθήμενον.* Cf. X, 10. 13. Cyr. III, 1, 6: *τί οὖν κάθησαι αὐτόθι καὶ οὐ καταβαίνεις*; ubi significat: prae timore desidere. IV, 5, 28. Demosth. Phil. I. p. 24: *καθήμεθα οὐδὲν ποιοῦντες·* et p. 43.,

ἐπιμελεῖσθαι. συμπαροξύνειν δέ τι ἐδόκει ἡμῖν καὶ 10
εἰς τὸ ἀλκίμους εἶναι ἡ γεωργία ἔξω τῶν ἐρυμάτων τὰ ἐπιτήδεια φύουσά τε καὶ τρέφουσα τοὺς ἐργαζομένους. διὰ ταῦτα δὲ καὶ εὐδοξοτάτη εἶναι πρὸς τῶν πόλεων αὕτη ἡ βιοτεία, ὅτι καὶ πολίτας ἀρίστους καὶ εὐνουστάτους παρέχεσθαι δοκεῖ τῷ κοινῷ.
καὶ ὁ Κριτόβουλος, Ὅτι μέν, ὦ Σώκρατες, κάλλιστόν 11
τε καὶ ἄριστον καὶ ἥδιστον ἀπὸ γεωργίας τὸν βίον ποιεῖσθαι, πάνυ μοι δοκῶ πεπεῖσθαι ἱκανῶς· ὅτι δὲ ἔφησθα καταμαθεῖν τὰ αἴτια τῶν τε οὕτω γεωργούντων, ὥστε ἀπὸ τῆς γεωργίας ἀφθόνως ἔχειν ὧν δέονται, καὶ τῶν οὕτως ἐργαζομένων, ὡς μὴ λυσιτελεῖν αὐτοῖς τὴν γεωργίαν, καὶ ταῦτά μοι δοκῶ ἡδέως ἑκάτερα ἀκούειν

A. διὰ ταῦτα μὲν καὶ ἐνδ.; Weisk. διὰ ταῦτα δὲ μὲν ἐνδ. — Haas. Ind. ad Remp. Lac. postulat εὐδοξοτάτη.

§. 11. L. ὦ Σώκρατες, ἔφη, ἑκάτερα ἀκούειν. — ἀκούσειν suadente Steph. recepit Schneid., probavit Reisig., refellit Bornem. Comment. II, 7, 11.; Schneid. in cens. Oec. ed. Kuster. ἀκούσειν damnat, sed tamen praesens, coll. Cyr. VIII, 7, 25., habet pro vitioso. — Schaef. Ind. ad Greg. Cor. p. 1063. coniicit ταῦτ' ἄν μοι δοκῶ.

ubi καθημένους Schaef. interpretatur: desidia torpentes.

§. 8. γεωργίαν] Item omittitur articulus IV, 4. Krüger. ad Anab. I, 9, 5: τοξικῆς τε καὶ ἀκοντίσεως. Artium nominibus articulus addi non solet. Kühner. §. 485. not. 1. Matth. §. 264, 5. Hart. §. 750, 4. Omittunt etiam Reisig. et Kerst.

§. 9. παρέχεσθαι — παρέχειν] V. ad IV, 7.

ἀσχολίαν — συνεπιμελεῖσθαι] V. ad IV, 3.

§. 10. τοὺς ἐργαζομένους] pendet a συμπαροξύνειν — τὰ ἐπιτήδεια. Quae φύει ἡ γεωργία, sunt fruges, quae τρέφει, pecudes, quod, coll. V, 3., bene monet Schaef. Ind. ad Greg. Cor. p. 1063. Schneid. comparat Aristot. Oec. I, 2: πρὸς δὲ τούτοις καὶ πρὸς ἀνδρίαν συμβάλλεται μεγάλα (ἡ γεωργία)· οὐ γάρ, ὥςπερ οἱ βάναυσοι τὰ σώματα ἀχρεῖα ποιοῦσιν, ἀλλὰ δυνάμενα θυραυλεῖν καὶ πονεῖν, ἔτι δὲ δυνάμενα κινδυνεύειν πρὸς τοὺς πολεμίους, μόνων γὰρ τούτων τὰ κτήματα ἔξω τῶν ἐρυμάτων ἐστί.

διὰ ταῦτα] spectat ad ea, quae antecedunt, simulque ad sequentia ὅτι καὶ κτλ.

εὐδοξοτάτη — πρὸς τῶν πόλεων] Sic scripsi, quod magis interest dici, qualis sit fama, quam quanta, quod significatur adiectivo ἔνδοξος. V. Haas. l. c. De usu praepositionis πρός v. Saupp. ad Hipparch. I, 22: ὅτι πολύ ἐστι πρὸς τῆς πόλεως εὐδοξότερον κτλ. Comment. I, 2, 61. Cf. Anab. VII, 6, 33. Infra §. 17. Hart. §. 682. Kühner. §. 616. I. p. 307.

§. 11. ὅτι δὲ ἔφησθα —, ταῦτα] V. ad XV, 6.

μοι δοκῶ — ἀκούειν] Verba, quae voluntatem et consilium significant, cum praesentis infinitivo non rarius iungi quam cum futuro copiose docet Lobeck. ad Phryn. p. 746 sqq.

σου, ὅπως ἃ μὲν ἀγαθά ἐστι ποιῶμεν, ἃ δὲ βλαβερὰ
12 μὴ ποιῶμεν. Τί οὖν, ἔφη ὁ Σωκράτης, ὦ Κριτό-
βουλε, ἤν σοι ἐξαρχῆς διηγήσωμαι, ὡς συνεγενόμην
ποτὲ ἀνδρί, ὃς ἐμοὶ ἐδόκει εἶναι τῷ ὄντι τούτων τῶν
ἀνδρῶν, ἐφ' οἷς τοῦτο τὸ ὄνομα δικαίως ἐστίν, ὃ κα-
λεῖται καλός τε κἀγαθὸς ἀνήρ; Πάνυ ἄν, ἔφη ὁ Κρι-
τόβουλος, βουλοίμην ἂν οὕτως ἀκούειν, ὡς καὶ ἔγωγε
13 ἐρῶ τούτου τοῦ ὀνόματος ἄξιος γενέσθαι. Λέξω τοίνυν
σοι, ἔφη ὁ Σωκράτης, ὡς καὶ ἦλθον ἐπὶ τὴν σκέψιν
αὐτοῦ. τοὺς μὲν γὰρ ἀγαθοὺς τέκτονας, χαλκέας ἀγα-
θούς, ζωγράφους ἀγαθούς, ἀνδριαντοποιούς, καὶ τὰ

C. D. *ἀγαθὰ ἐποιῶμεν.*

§. 12. Stob. Serm. CXXXVI. *ἐάν σοι.* — A. Stob. cod. Iunt. Bas. II. **διηγήσομαι**, sed in A. supra o est ω scriptum. — *ἀνδρὶ* om. C. — **τούτων** om. Bas. I. II. — Stob. et Zeun. **τοὔνομα.** — Stob. *καὶ ἀγαθός.* — L. *Πάνυ, ἔφη, ἂν ὁ Κρ.*; *ἄν, ἔφη, βουλοίμην,* **ὁ Κριτ., οὕτως σου ἀκούειν** Stob. ed.

§. 13. Stob. *ἔφη σοι ὁ Σ.* — Stob. cod. *ὡς ἦλθον.* — Stob. ed. **ἀγαθοὺς χαλκεῖς, ἀγαθοὺς ζωγράφους, ἀγαθοὺς ἀνδριαντοποιούς, καὶ πάντα τὰ τοιαῦτα.** — C. D. *γὰρ* post *μὲν* om. — Pro vulg.

De verbo **δοκεῖν** cf. Anab. I, 3, 12: **καὶ γὰρ οὐδὲ πόῤῥω δοκοῦμέν μοι αὐτοῦ καθῆσθαι.** I, 7, 4: **τἄλλα καὶ αἰσχύνεσθαί μοι δοκῶ οἵους ἡμῶν γνώσεσθε τοὺς ἐν τῇ χώρᾳ ὄντας ἀνθρώπους.** Quare ne **ἂν** quidem, quod minus aptam redderet sententiam, addendum videtur. Ceterum de **ἀκούσειν** soloecismo v. Valcken. in Phalarideis p. XXII. Schaef. Ind. ad Greg. Cor. l. c. Iacobs. not. crit. ad Anthol. Pal. 552. 580.

§. 12. **ὃ καλεῖται**] Quum dicere liceat **καλοῦσί με τὸ ὄνομα καλὸς κἀγαθός**, cf. VII, 3. Comment. II, 2, 1. Heind. Plat. Crat. p. 383. A. Hart. §. 613. Kühner. §. 547. b., **τὸ ὄνομα καλὸς κἀγαθὸς καλεῖταί τις** eodem iure dicitur, quo **καλοῦμαι τὸ ὄνομα**; nam uterque accusativus fieri potest subiectum in passiva structura. Cf. ad IV, 6. Latini eadem ratione dicunt: nomen appellare.

*Πάνυ ἂν — βουλοίμην ἂν*] V. ad II, 15.

§. 13. **τὰ ἄλλα τὰ τοιαῦτα**] Schaef. Appar. crit. Dem. I. p. 328. haec verba in exemplum vocat loci Dem. Philipp. I. p. 42., ubi **ταῦτα πάντα** item de hominibus dicitur.

**ἱκανὸς ἱκανῶς**] Vulgatam male revocavit Reisig., explicans **ἱκανῶς** ex usu illo, quo cum verbis **εἶναι** et **γίγνεσθαι**, ubi statum aliquem vel eventum significant, adverbium iungitur, quum exspectaveris adiectivum (vid. ad II, 9. IV, 21. Matth. §. 309. c.), quod in hunc locum nullo modo quadrat, quia **ἐγένετο** nihil est nisi copula. Nec magis probanda videtur sententia Kerstii, qui **ἱκανῶς** ad **περιελθεῖν** adstringens interpretatur: „perbreve mihi erat tempus ad satis, sufficienter circumeunda et inspicienda" etc. Igitur significari putat: perbreve tantum tempus a me consumebatur, vel mihi consumendum erat (quia sufficiebat), quod his quidem verbis: **πάνυ ὀλίγος μοι χρόνος ἐγένετο** nequaquam exprimitur.

ἄλλα τὰ τοιαῦτα, πάνυ ὀλίγος μοι χρόνος ἐγένετο ἱκανὸς ἱκανῶς περιελθεῖν τε καὶ θεάσασθαι τὰ δεδοκιμασμένα καλὰ ἔργα αὐτοῖς εἶναι. ὅπως δὲ δὴ καὶ τοὺς ἔχοντας τὸ 14
σεμνὸν ὄνομα τοῦτο τὸ καλός τε κἀγαθὸς ἐπισκεψαίμην, τί ποτ' ἐργαζόμενοι τοῦτ' ἀξιοῖντο καλεῖσθαι, πάνυ μου ἡ ψυχὴ ἐπεθύμει αὐτῶν τινι συγγενέσθαι. καὶ 15
πρῶτον μέν, ὅτι προσέκειτο τὸ καλὸς τῷ ἀγαθῷ, ὅντινα ἴδοιμι καλόν, τούτῳ προσῄειν καὶ ἐπειρώμην καταμανθάνειν, εἴ που ἴδοιμι προσηρτημένον τῷ καλῷ τὸ ἀγαθόν. ἀλλ' οὐκ ἄρα εἶχεν οὕτως, ἀλλ' ἐνίους ἐδόκουν 16
καταμανθάνειν τῶν καλῶν τὰς μορφὰς πάνυ μοχθηροὺς

ἱκανῶς ex G. Schneid. dedit ἱκανός, quod iam voluit Steph.; ἱκανὸς ἱκανῶς est coniectura Rostii. — Stob. ἔργα αὐτῶν. — A. αὐτοῖς εἶεν.

§. 14. καλός τε κἀγαθὸς e Stob., qui habet καὶ ἀγαθὸς, dedit Zeun. pro vulgato καλόν τε κἀγαθὸν. — Stob. τί ποτε ἐργασάμενοι τοῦτο ἀξιοῦνται καλεῖσθαι. — C. Stob. πάνυ μοι.

§. 15. τὸ κάλλος G. C. D.; Stob. ὁ καλὸς; utrumque praefert Schaef. l. c. vulgatae. — Stobaei ἄν τινα ἴδοιμι requirit Schneid., εἴ τινα Schaef. — Stob. τῷ κάλλει τὸ ἀγαθόν.

§. 16. C. οὐκ ἄρ' εἶχεν. — L. A. C. D. ἀλλὰ ἐνίους.

Optime vero loco nostro consuluit Rostius egregia coniectura: πάνυ ὀλ. μοι χρόνος ἐγέν. ἱκανὸς ἱκανῶς περιελθεῖν. Verbis ita compositis apte sibi opponuntur: ut variorum artificum opera satis (i. e. quoad cupiebam) inspicerem, perbreve tempus mihi sufficiebat, et (§. 14.): eorum autem, qui vocantur καλοί τε κἀγαθοί, facta ut considerarem, frustra circumspiciens diu erravi. Ita apparet etiam, cur ἱκανός locum habeat non ante ἐγένετο, sed post hoc verbum.

§. 14. τὸ καλός τε κἀγαθὸς] De his nominativis proprie ita dictis v. Bernh. Synt. p. 66. Xen. Rep. Lac. IX, 4: ἐπίκλησιν μόνον ἔχει κακὸς εἶναι. Plat. Apol. p. 23. A: ὄνομα δὲ τοῦτο λέγεσθαι σοφὸς εἶναι.

τί — ἐργαζόμενοι — ἀξιοῖντο] Xen. Comment. II, 2, 1: καταμεμάθηκας οὖν τοὺς τί ποιοῦντας τὸ ὄνομα τοῦτο ἀποκαλοῦσι; Infra VII, 2. Cf. Rost. §. 123b. 10. b. Matth. §. 567.

ἡ ψυχὴ] animi appetentia, interpretatur Steph. Xen. Cyr. I, 3, 18: μέτρον δὲ αὐτῷ οὐχ ἡ ψυχή, ἀλλ' ὁ νόμος ἐστίν. Comment. I, 2, 4. 3, 14.

§. 15. τὸ καλός] Ad talia subaudiri ὄνομα recte monet Schaef., minus recte idem subaudiendum esse ad τῷ ἀγαθῷ, in quibus verbis soloecismum, quem latere putat, equidem non agnosco.

ὅντινα] Schneiderum, qui praefert ἄν τινα — ἴδοιμι, ut magis Atticum, refellit Reisig. De ὅντινα pro εἴ τινα posito v. ad XXI, 7.

ἴδοιμι καλόν] Vix monendum videtur dici h. l. qui pulchrum corpus habeat, cf. §. seq., in dictione autem καλὸς καὶ ἀγαθός est καλός qui animi decore et candore praeditus sit. Conf. Goerenz. Cic. Fin. II, 14, 17. Saupp. Xen. Comment. IV, 8, 3.

§. 16. ἀλλ' οὐκ ἄρα εἶχεν οὕτως] Ἄρα significat quidem conclusionem, sed quae anticipetur; nam effici demum

ὄντας τὰς ψυχάς. ἔδοξεν οὖν μοι ἀφέμενον τῆς καλῆς ὄψεως ἐπ' αὐτῶν τινα ἐλθεῖν τῶν καλουμένων καλῶν
17 τε κἀγαθῶν. ἐπεὶ οὖν τὸν Ἰσχόμαχον ἤκουον πρὸς πάντων καὶ ἀνδρῶν καὶ γυναικῶν καὶ ξένων καὶ ἀστῶν καλόν τε κἀγαθὸν ἐπονομαζόμενον, ἔδοξέ μοι τούτῳ πειραθῆναι συγγενέσθαι.

Stob. τῆς καλῆς τῆς ὄψεως. — Stob. ed. τε καὶ ἀγαθῶν.
§. 17. τε post ἀνδρῶν cum A. omisimus, sequentes exemplum Schneid. et seqq. edd.

potest ex iis, quae sequuntur: *aber dem war, wie sich zu meiner Verwunderung ergab, nicht so.* Eadem ratione reperitur haec particula Anab. VII, 4, 13: *Οἱ δ' ἄρα ταῦτ' ἔλεγον κατασκοπῆς ἕνεκα,* quod quidem posthac apparuit. Item IV, 2, 15: *Οἱ δὲ ἄρα, ἀπὸ τοῦ ἄκρου καθορῶντες τὰ ὄπισθεν γιγνόμενα* (quae et qualia sint, mox narratur), *πάντες ἐπὶ τοὺς ὀπισθοφύλακας ἐχώρουν.*

*καλῶν τε κἀγαθῶν*] Schneidew. in Obss. critt. in Xen. Hell. p. 20. putat *καλὸν κἀγαθόν* nunquam apud Xen. inserta vocula *τὲ* dici. Contra quem G. Sauppe in Quaestt. part. III. p. XIV. praeter h. l. affert Symp. VIII, 11. 17. Adde paulo supra §. 14.

§. 17. *τὸν Ἰσχόμαχον*] Hunc narrat Lysias p. 646 ed. Reisk. locupletissimum esse habitum, dum viveret, et ei septuaginta talenta amplius esse vulgo creditum esse, sed eum morientem nonnisi viginti reliquisse. Nescio, an idem sit, de quo narrat Heraclides Ponticus ap. Athen. XII. p. 537: *τὸν δὲ Νικίου τοῦ Περγασῆθεν πλοῦτον ἢ τὸν Ἰσχομάχου τίνες ἀπώλεσαν; οὐκ Αὐτοκλέης καὶ Ἐπικλέης, οἱ μετ' ἀλλήλων ζῆν προελόμενοι καὶ πάντ' ἐν ἐλάττονι ποιούμενοι τῆς ἡδονῆς;* quam narrationem pervertit Aelian. V. H. IV, 23. Autocles et Epicles videntur non tam filii Niciae et Ischomachi quam generi fuisse. Apud Plutarchum de Curiositate p. 132 ed. Hutten. exstat narratio de Ischomacho ab Aristippo philosopho Olympiae interrogato: *τί Σωκράτης διαλεγόμενος οὕτω τοὺς νέους διατίθησι· καὶ μικρὰ ἄττα τῶν λόγων αὐτοῦ σπέρματα καὶ δείγματα λαβών, οὕτως ἐμπαθῶς ἔσχεν, ὥστε τῷ σώματι συμπεσεῖν καὶ γενέσθαι παντάπασιν ὠχρὸς καὶ ἰσχνός.* SCHNEID. Haec omnia num recte referantur ad unum nostrum Ischomachum, dubitat Cobet. Prosop. Xen. p. 72; parum certe veri est simile Ischomachum, qualis a Xenophonte depingitur, rem familiarem clam et sensim tantopere imminuisse, eundemque divitem, cum non amplius esset, videri tamen voluisse. Quisquis autem fuit hic Ischomachus, quem opulentissimum fuisse colligendum putat Bornemannus potissimum ex XV, 3: *αὕτη (ἡ τέχνη τῆς γεωργίας) ἴσως ἐστὶν ἡ ποιοῦσα τοὺς μὲν ἐπισταμένους αὐτὴν πλουσίους,* (quibus verbis excitat illum Socrates, ut secum artem communicet, cuius ope tantas divitias ipse collegisset): placet profecto, quod suspicatur Cobetus, Socratem, quod in Aspasia et Diotima faciat apud Platonem, idem hic facere voluisse in Ischomacho, viro *καλῷ κἀγαθῷ* et patrefamilias prudentissimo.

# CAPUT VII.

## ARGUMENTUM.

Narrat Socrates se casu quondam Ischomachum in porticu Iovis Eleutherii sedentem convenisse; eum interrogatum, quomodo καλοῦ κἀγαθοῦ nomen nactus esset, qui semper fere extra domum versari videretur, respondisse administrandis rebus domesticis se idoneam habere uxorem, iamque retulisse suum cum illa recens habitum colloquium; et ita officium bonae matrisfamilias omne exponens inducitur Ischomachus. Explicat coniugii finem. Postquam σωφροσύνην et viro et feminae necessariam esse professus est, feminae conditionem potissimum in eo ponit, quod quaecunque tecto indigeant, liberos, cibaria, vestes, bene tueri et curare debeat. Ut uterque officio suo satisfaciat, naturam non solum curasse, sed consuetudine etiam constitui et lege a diis sancita, eique neminem adhuc impune repugnasse. Praecipit deinde copiosius, ut uxor apum reginae instar semper domi versetur, servo et ancillae suum cuique opus tribuat, rebus cibariis et vestimentis caute provideat, servorum valetudinem curet, res a viro domum comportatas administret, et familiam, si opus sit, doceat. Quas functiones si peragat prudenter omnes, fore, ut, quo provectior fiat aetate, eo maiorem apud suos nanciscatur dignitatem.

---

Ἰδὼν οὖν ποτε αὐτὸν ἐν τῇ τοῦ Διὸς τοῦ Ἐλευθερίου στοᾷ καθήμενον, ἐπεί μοι ἔδοξε σχολάζειν, προς- 1

Cap. VII. §. 1. L. καθιζόμενον a pr. m.

Cap. VII. §. 1. τοῦ Διὸς τοῦ Ἐλευθερίου] Huic sacra facta quotannis memorat Lysias Orat. in Evandr. p. 438. ed. Tayl. Plutarch. in Demosth. p. 859. Demosth. prooem. p. 63. Eundem Σωτῆρα dictum fuisse censebant ii, quos narrat Schol. Graecus ad Aristoph. Plut. v. 1176. Porticum templo adiunctam liberti (οἱ ἐξελεύθεροι, unde nomen) dicuntur aedificasse ab Hyperide apud Harpocrationem. Prope forum fuisse ex hoc loco apparet. SCHNEID. Hanc porticum, quippe quae sita fuerit in foro, accommodatam fuisse Socratis sermonibus, igiturque praeter hunc multos ibi a Socrate sermones habitos commemorari, v. c. cum Theage, quem Plato in dialogo huius nominis mandavit memoriae, item eum, quem Aeschines Dial. 2. prodidit, monet Bach.

ῆλθον αὐτῷ, καὶ παρακαθιζόμενος εἶπον, Τί, ὦ Ἰσχόμαχε, οὐ μάλα εἰωθὼς σχολάζειν κάθησαι; ἐπεὶ τά γε πλεῖστα ἢ πράττοντά τι ὁρῶ σε ἢ οὐ πάνυ σχολάζοντα
2 ἐν τῇ ἀγορᾷ. Οὐδὲ ἂν νῦν, ἔφη ὁ Ἰσχόμαχος, ὦ Σώκρατες, ἑώρας, εἰ μὴ ξένους τινὰς συνεθέμην ἀναμένειν ἐνθάδε. Ὅταν δὲ μὴ πράττῃς τι τοιοῦτον, πρὸς τῶν θεῶν, ἔφην ἐγώ, ποῦ διατρίβεις, καὶ τί ποιεῖς; ἐγὼ γάρ τοι πάνυ βούλομαί σου πυθέσθαι, τί ποτε πράττων καλός τε κἀγαθὸς κέκλησαι, ἐπεὶ οὐκ ἔνδον γε διατρίβεις, οὐδὲ τοιαύτη σου ἡ ἕξις τοῦ σώματος
3 καταφαίνεται. καὶ ὁ Ἰσχόμαχος γελάσας ἐπὶ τῷ τί ποιῶν καλὸς κἀγαθὸς κέκλησαι καὶ ἡσθείς, ὥς γ' ἐμοὶ ἔδοξεν, εἶπεν, Ἀλλ' εἰ μέν, ὅταν σοι διαλέγωνται περὶ ἐμοῦ τινες, καλοῦσί με τοῦτο τὸ ὄνομα, οὐκ οἶδα. οὐ γὰρ δή, ὅταν γέ με εἰς ἀντίδοσιν καλῶνται τριηραρχίας ἢ χο-

L. κάθισαι, deinde πλεῖστον.

§. 2. A. C. D. καλός τε κάγαθὸς. — ἔνδον γε L. G. A. C. D. Vill. Vict. Schneid. seqq. edd.; antea deerat γε.

§. 3. Bas. II. om. τί. — ὥς γ' ἐμοὶ L. G; ante Schneiderum ὥς γε ἐμοί. — Bas. I. II. διαλέγονται. — C. D. καλοῦνται, idem om. τριηραρχίας — προςκαλοῦνται; Camerar. προκαλοῦνται legit et vertit: postulant. — Pro οὐδαμῶς dant cum Y. Steph. Leuncl. Weisk. οὐ πάνυ. — διατρίβω dedit Schneid. ex A. C. D. Y. Steph.

κάθησαι] V. ad VI, 7.

§. 3. ἀντίδοσιν] Quid hoc sit, cognoscitur e Demosth. Mid. §. 17. p. 16 ed. Tayl. et Ulpian. in Demosth. p. 168 ed. H. Wolf. „Lex erat Athenis, inquit, si quis designatus trierarchus alium quam se ditiorem ostendisset, ut ipse vacaret: quodsi ille trierarchiam obire recusaret, ut is cum altero opes suas permutaret atque ita triremi praeesset. Atque adeo per antidosin omnes etiam actiones ad alterum transibant." BACH. Hanc explicavit Wolf. Prolegg. ad Lept. p. 123. Spalding. ad Midian. cap. 23. SCHNEID. V. Hermann. Antiqq. Gr. §. 162, 18.

πατρόθεν] Addito patris nomine, inquit Brodaeus, v. c. Ἰσχόμαχος Φιλοστράτου et Δημοσθένης Δημοσθένους, quam loquendi consuetudinem a Graecis servatam nemo ignorat. Demosth.: ἠναγκαζόμην κατὰ τοῦ ὀνόματος τοῦ ἐμαυτοῦ πατρόθεν δέχεσθαι τὴν λῆξιν. ZEUN. „Addito patris nomine" vertit etiam Camerar.; rectius, ni fallor, Leunclav: „sed perspicue me Ischomachum, nomine patris appellatum, arcessunt", item Strebaeus; nam aliam significationem ex πατρόθεν elicere non licet.

διατρίβω] Verbi κατατρίβειν, quae a Zeunio proponitur significatio: „assidue esse aliquo in loco," Xenophontis certe libris non confirmatur.

αὐτὴ ἡ γυνή] uxor sola. Matth. §. 468, 5. Kühner. §. 630. not. 3. Hart. §. 740. Secundas partes in oeconomia agere feminam expressum vide-

ῥηγίας, οὐδείς, ἔφη, ζητεῖ τὸν καλόν τε κἀγαθόν, ἀλλὰ σαφῶς, ἔφη, ὀνομάζοντές με Ἰσχόμαχον πατρόθεν προσκαλοῦνται. ἐγὼ μὲν τοίνυν, ἔφη, ὦ Σώκρατες, ὅ με ἐπήρου, οὐδαμῶς ἔνδον διατρίβω. καὶ γὰρ δή, ἔφη, τά γε ἐν τῇ οἰκίᾳ μου πάνυ καὶ αὐτὴ ἡ γυνή ἐστιν ἱκανὴ διοικεῖν. Ἀλλὰ καὶ τοῦτο, ἔφην ἔγωγε, ὦ Ἰσχόμαχε, πάνυ 4
ἂν ἡδέως σου πυθοίμην, πότερα αὐτὸς σὺ ἐπαίδευσας τὴν γυναῖκα, ὥςτε εἶναι οἵαν δεῖ, ἢ ἐπισταμένην ἔλαβες παρὰ τοῦ πατρὸς καὶ τῆς μητρὸς διοικεῖν τὰ προςήκοντα αὐτῇ. Καὶ τί ἄν, ἔφη, ὦ Σώκρατες, ἐπιστα- 5
μένην αὐτὴν παρέλαβον, ἣ ἔτη μὲν οὔπω πεντεκαίδεκα γεγονυῖα ἦλθε πρὸς ἐμέ, τὸν δ' ἔμπροσθεν χρόνον ἔζη ὑπὸ πολλῆς ἐπιμελείας, ὅπως ὡς ἐλάχιστα μὲν ὄψοιτο, ἐλάχιστα δ' ἀκούσοιτο, ἐλάχιστα δ' ἔροιτο; οὐ γὰρ ἀγα- 6
πητόν σοι δοκεῖ εἶναι, εἰ μόνον ἦλθεν ἐπισταμένη ἔρια

pro vulgato κατατρίβω. — ἐστὶν ἱκανὴ G. L. A. C. D. Dind. Kerst.; vulg. ἱκανή ἐστι.

§. 4. L. σὺ αὐτός. — A. ὥςτ' εἶναι.

§. 5. G. ἐς ἐλάχιστα. — δὲ ἀκούσοιτο L. A. C. D.

§. 6. εἰ μόνον libri Pariss. L. (ita enim intelligo Gailii et Sturzii silentium) Vict. Steph. et seqq. edd.; G. εἰ μή; edd. vett. εἰ μὴ μόνον.

mus iam versu Hesiodeo (Opera v. 375.): *Οἶκον μὲν πρώτιστα, γυναῖκά τε βοῦν τ' ἀροτῆρα.*

§. 5. *τί — ἐπισταμένην*] *Τί* pendere ab *ἐπιστ.* non monerem, nisi Sturz. Lex. IV. p. 307. a. *τί* vertere: „quomodo", viderem.

*πεντεκαίδεκα γεγονυῖα*] Hic mos Athenis fuisse videtur, etsi Arist. Polit. VII, 16. ante annum aetatis duodevicesimum recte coniugium puellas inire posse neget. SCHNEID. De tempore, quo in matrimonium duci solebant virgines Atticae, plura v. apud Beckerum in Charicle Tom. II. p. 449 sq.

*ὑπὸ πολλῆς ἐπιμελείας*] De vitae conditione, qua virgines Atticae utebantur ante matrimonium, v. Becker. in Charicle Tom. II. p. 422 sqq. cf. p. 475.

*ὡς ἐλάχιστα*] Locum hunc respexit Plutarch. de Pyth. orac. p. 596 ed. Reisk. p. 285 ed. Hutten. SCHNEID. De vitae conditione, qua utebantur mulieres Graecae, maxime Ionicae stirpis, plura affert Haas. ad Remp. Lac. I, 3: *Ὥςπερ δὲ οἱ πολλοὶ τῶν τὰς τέχνας ἐχόντων ἑδραῖοί εἰσιν, οὕτω καὶ τὰς κόρας οἱ ἄλλοι Ἕλληνες ἠρεμιζούσας ἐριουργεῖν ἀξιοῦσι.*

§. 6. *ἀγαπητόν*] satis est putandum, acquiescendum est.

*εἰ μόνον*] Haud scio, an genuinum sit: *εἰ μὴ μόνον.* Oratio sic procedere debebat: *εἰ μὴ μόνον ἦλθεν ἐπισταμένη ἔρια παραλαβοῦσα —, ἀλλὰ καὶ τὰ ἀμφὶ γαστέρα — ἦλθε πεπαιδευμένη.* Sed quia in victu temperantia maximi aestimatur ab Ischomacho, quod declaratur verbis: *ὅπερ μέγιστον κτλ.*, de-

παραλαβοῦσα ἱμάτιον ἀποδεῖξαι, καὶ ἑωρακυῖα, ὡς ἔργα ταλάσια θεραπαίναις δίδοται; ἐπεὶ τά γε ἀμφὶ γαστέρα, ἔφη, πάνυ καλῶς, ὦ Σώκρατες, ἦλθε πεπαιδευμένη· ὅπερ μέγιστον ἔμοιγε δοκεῖ παίδευμα εἶναι καὶ ἀνδρὶ
7 καὶ γυναικί. Τὰ δ' ἄλλα, ἔφην ἐγώ, ὦ Ἰσχόμαχε, αὐτὸς ἐπαίδευσας τὴν γυναῖκα, ὥστε ἱκανὴν εἶναι ὧν προσήκει ἐπιμελεῖσθαι; Οὐ μὰ Δί', ἔφη ὁ Ἰσχόμαχος, οὐ πρίν γε καὶ ἔθυσα καὶ εὐξάμην ἐμέ τε τυγχάνειν διδάσκοντα καὶ ἐκείνην μανθάνουσαν τὰ βέλτιστα ἀμ-
8 φοτέροις ἡμῖν. Οὐκοῦν, ἔφην ἐγώ, καὶ ἡ γυνή σοι συνέθυε καὶ συνηύχετο αὐτὰ ταῦτα; Καὶ μάλα γ', ἔφη ὁ Ἰσχόμαχος, πολλὰ ὑπισχνουμένη μὲν πρὸς τοὺς θεοὺς γενέσθαι οἵαν δεῖ, καὶ εὔδηλος ἦν, ὅτι οὐκ ἀμελήσει

C. D. *θεραπαίναις δίδονται.* — Bas. II. *εἶναι παίδευμα.*
§. 7. *Τὰ δ' ἄλλα* dedit Dind.; vulg. *Τὰ δὲ.* — *τε* post *ἐμὲ* om. D.; Camerarii *ἐμέ τ' ἐπιτυγχάνειν* in ed. praefert, in cens. ed. Kuster. l. c. p. 456. reiicit Schneid.
§. 8. L. *συνηύχετο.* — Vulg. *αὐτὸς ταῦτα*; A. C. D. Steph. *αὐτῷ*: *αὐτὰ*, quod malebat Steph., cum L. G. Cast. Streb. Camerar. dedit Zeun. — C. D. *μάλα γε, ἔφη.* — A. a pr. m. C. L. Vict. *ὑπισχομένη*; A. a sec. m. D. Vill. *ὑποσχομένη*, idem ex edd. vett. scriptura *ὑποσχομένους* coniecit Cast., quem deinceps secuti sunt seqq. edd.; G. *ὑπισχνουμένη*, quod habent post Zeunium edd. omnes. — Pro *μὲν* cum Steph. Weisk. malebat *μοι*; Hermanni coniecturam *πολλὰ ὑπισχνουμένη ἦ μὴν γενέσθαι οἵαν δεῖ* refert Kerst.

relicta priori loquendi via, novum exorditur Ischomachus enuntiatum: *ἐπεὶ τά γε κτλ.* Sic enim significantius haec primaria uxoris virtus memoratur. Brodaeo, qui *τά γε ἀμφὶ γαστέρα πεπαιδευμένη* interpretatus est: „rei culinariae perita", adstipularer, nisi additum esset *ὅπερ μέγιστον κτλ.*

§. 7. *οὐ πρίν γε καὶ ἔθυσα*] Omnia fere negotia imprecatione deorum esse auspicanda saepe praecipit Xenophon. Hipparch. VII, 1. 3. IX, 3. XI. fin. Venat. VI, 13. alibi.

*τυγχάνειν*] Schneid. *τυγχάνειν* eodem sensu accipit, quem habet *ἐπιτυγχάνειν*, interpretans: „et meam esse doctrinam fortunatam", de quo illius verbi usu delegat ad Heind. ad Euthyd. p. 327. Rectius iudicasset, si verborum structuram pernovisset, quae haec est: *ἐμέ τε τυγχάνειν διδάσκοντα τὰ βέλτιστα ἀμφοτέροις ἡμῖν, καὶ ἐκείνην τυγχάνειν μανθάνουσαν τὰ βέλτιστα ἀμφοτέροις ἡμῖν.*

§. 8. *ὑπισχνουμένη*] Guelferbytani codicis auctoritatem non tanti faciam, ut omnino reiiciam *ὑποσχομένη*. Immo per alacre Graecorum ingenium cogitare licet fieri, qualis deberet, iam pollicitam fuisse uxorem, antequam finita esset precatio. Reisig. in Coniectan. ad Aristoph. I. p. 334. censet *γενέσθαι* pendere a subaudiendo *συνεύχετο*. Simplicior est ratio Heindorfii ad Plat. Phaed. p. 67. b., qua *γενέσθαι* referamus ad *ὑπισχνουμένη*. Cf. Anab. I, 2, 2:

τῶν διδασκομένων. Πρὸς θεῶν, ἔφην ἐγώ, ὦ Ἰσχόμαχε, 9
τί πρῶτον διδάσκειν ἤρχου αὐτήν, διηγοῦ μοι· ὡς ἐγὼ
ταῦτ᾽ ἂν ἥδιόν σου διηγουμένου ἀκούοιμι, ἢ εἴ μοι
γυμνικὸν ἢ ἱππικὸν ἀγῶνα τὸν κάλλιστον διηγοῖο. καὶ 10
ὁ Ἰσχόμαχος ἀπεκρίνατο, Τί δ᾽, ἔφη, ὦ Σώκρατες,
ἐπεὶ ἤδη μοι χειροήθης ἦν καὶ ἐτετιθάσσευτο, ὥστε
διαλέγεσθαι, ἠρόμην αὐτήν, ἔφη, ὧδέ πως· Εἰπέ μοι,
ὦ γύναι, ἆρα ἤδη κατενόησας, τίνος ποτὲ ἕνεκα ἐγώ
τε σὲ ἔλαβον καὶ οἱ σοὶ γονεῖς ἔδοσάν σε ἐμοί; ὅτι 11
μὲν γὰρ οὐκ ἀπορία ἦν, μεθ᾽ ὅτου ἄλλου ἐκαθεύδο-
μεν ἄν, οἶδ᾽ ὅτι καὶ σοὶ καταφανὲς τοῦτ᾽ ἐστί. βουλευό-
μενος δ᾽ ἔγωγε ὑπὲρ ἐμοῦ καὶ οἱ σοὶ γονεῖς ὑπὲρ σοῦ,
τίν᾽ ἂν κοινωνὸν βέλτιστον οἴκου τε καὶ τέκνων λάβοι-

§. 9. G. om. *τί* ante *πρῶτον*. — Bas. I. II. om. *ἐγὼ* post *ὡς*.

§. 10. A. C. D. *Τί δέ; ἔφη.* — Vulgo *ἐτιθασσεύετο*; L. *ἔτι θασεύετο*; C. *ἐτιτασεύετο*; A. *ἐπιτιτασσεύετο*, suprascripto *ἐπετιτασσεύετο*; Schaef. Melett. I. p. 82. emendavit *ἐτετιθάσσευτο*, probatum Iacobsio, receptum a Dind. Kerst. — A. om. *αὐτήν, ἔφη*, G. C. *ἔφη*. — Vulg. *ἔδωκαν*; L. *ἔδωσαν*; G. A. C. D. Dind. Kerst. *ἔδοσαν*.

§. 11. Bernh. Synt. postulat *ἐκάθευδον ἄν*. — L. a pr. m. G. C. D. Iunt. Bas. II. *βουλόμενος*; *βουλευόμενος* dant L. e corr. Vill. Brod. Steph.; marg. Steph. *βουλευόμενοι*. — L. G. A. (*οἴκου* suprascr. est) C. D. edd. vett. *οἶκοι*.

*ὑποσχόμενος αὐτοῖς — μὴ πρόσθεν παύσασθαι, πρὶν αὐτοὺς καταγάγοι οἴκαδε*, ubi plura huius generis affert Krüger. Cf. etiam Schneider. in cens. Oec. ed. Kuster. l. c. Ceterum recte vertit Camerar.: „testibus diis studiose promittens." De significatione vocabuli *πολλά* conf. Anab. IV, 3, 2. VII, 6, 36. Particulae *μέν* respondet *καί* in *καὶ εὔδηλος ἦν*, de quo usu v. Poppo ad Anab. I, 10, 17. Schneider. l. c. p. 356. Hart. §. 977. Kühner. §. 733, 6. a.

§. 9. *τί πρῶτον*] Cicero (apud Donat. in Terent. Phorm. II, 3, 4.) vertit: Quid igitur, pro deum immortalium, primum eam docebas, quaeso? Miror Bornemannum, qui ad Symp. VII, 3. *τί* intellecto *διά* explicat.

§. 10. *τί δ᾽, — ἠρόμην*] Eandem vere vim habet ac *τί δέ, εἰ μὴ — ἠρόμην*; v. IX, 1.

§. 11. *ἐκαθεύδομεν ἄν*] Per grammaticam rationem referre licet pluralem ad unum Ischomachum. V. ad I, 11. Sed iis bene consideratis, quae antecedunt: *εἰπέ μοι, ὦ γύναι, κτλ.*, iisque, quae subsequuntur: *βουλευόμενος δ᾽ ἔγωγε κτλ.*, colligitur *ἐκαθεύδομεν* non minus spectare ad uxorem Ischomachi quam ad ipsum, ita ut interpretatio haec prodeat: Non deficiebat neque me neque te, quocum alio uterque nostrum dormiret, sed eo consilio in matrimonium te duxi, ut ego tibi et tu mihi auxilio esses. De conditione paulo liberiore, qua Ischomachi uxor utitur, v. infra ad VIII, 4.

μεν, ἐγώ τε σὲ ἐξελεξάμην καὶ οἱ σοὶ γονεῖς, ὡς ἐοί-
12 κασιν, ἐκ τῶν δυνατῶν ἐμέ. τέκνα μὲν οὖν ἢν θεός
ποτε διδῷ ἡμῖν γενέσθαι, τότε βουλευσόμεθα περὶ αὐτῶν,
ὅπως ὅ τι βέλτιστα παιδεύσομεν αὐτά· κοινὸν γὰρ ἡμῖν
καὶ τοῦτο τἀγαθόν, συμμάχων καὶ γηροβοσκῶν ὅ τι βελ-
13 τίστων τυγχάνειν· νῦν δὲ δὴ οἶκος ἡμῖν ὅδε κοινός
ἐστιν. ἐγώ τε γὰρ ὅσα μοι ἔστιν ἅπαντα εἰς τὸ κοινὸν
ἀποφαίνω, σύ τε ὅσα ἠνέγκω πάντα εἰς τὸ κοινὸν
κατέθηκας. καὶ οὐ τοῦτο δεῖ λογίζεσθαι, πότερος ἄρα
ἀριθμῷ πλείω συμβέβληται ἡμῶν, ἀλλ' ἐκεῖνο δεῖ εὖ
εἰδέναι, ὅτι, ὁπότερος ἂν ἡμῶν βελτίων κοινωνὸς ᾖ,
14 οὗτος τὰ πλείονος ἄξια συμβάλλεται. ἀπεκρίνατο δέ
μοι, ὦ Σώκρατες, πρὸς ταῦτα ἡ γυνή, Τί δ' ἂν ἐγώ
σοι, ἔφη, δυναίμην συμπρᾶξαι; τίς δὲ ἡ ἐμὴ δύναμις;

§. 12. Marg. Steph. παιδεύσωμεν. — Schneid. et Kerst. e coniectura Dobraei ad Porsoni Aristophanica p. 14. τοῦτο ἀγαθὸν, quod cur praeferam, non video. — L. γηρωβοσκῶν (cf. §. 19. V. Lob. Phryn. p. 692); ibi καὶ est e corr.

§. 13. A. ἐς τὸ κ. — A. καὶ (om. οὐ) τοῦτο δὴ, marg. δεῖ. — L. ἀρα. — δεῖ ante εὖ cum G. om. Zeun.

§. 14. D. τί δὲ ἡ ἐμή. — Ante Schneiderum vulgo: ἐμὸν δ' ἔργον ἔφησεν ἡ μ. εἶναι; noster verborum ordo est in L. G. A. C. D.

§. 15. καὶ ante γὰρ om. L. G. A. C. D. — ἔστιν G. — οὕτως ποιεῖν L. G. A. C. D. Kerst.; vulgo: οὕτω. — G. τά τ' ἐόντα.

§. 16. Vulg. ὁρᾷς, ἔφη ἡ γυνή; Dind. ἔφη ἡ γ., ὁρᾷς; ἔφη — ὁρᾷς, ἡ γ. L. G. A. D. Ald. Bas. I. II. Kerst., quod probat cum Schae-

**ὡς ἐοίκασιν**] pro ὡς ἔοικεν. Anab. I, 4, 7: ὡς μὲν τοῖς πλείστοις ἐδόκουν. VI, 1, 25. I, 10, 9. ὡς ἐλέγοντο.

**ἐκ τῶν δυνατῶν**] Sententiae parum apta est Heilandii interpretatio: e divitibus, potentibus, coll. XI, 10. Cum Leunclavio Reisig.: „ex quibuscunque, ut videtur, poterant." Melius Schneider.: „pro eo atque licuit." V. Bernh. Synt. p. 230. Saupp. ad Hipparch. VIII, 14. affert similia: ἐκ τῶν ἐνόντων, ἐκ τῶν παρόντων, ἐκ τῶν ὑπαρχόντων. Sturz. Lex. II. p. 86. a.

§. 12. **βέλτιστα παιδεύσομεν**] I. e. ὥστε βέλτιστα γίγνεσθαι. Xen. Comment. IV, 1, 2: τοὺς γὰρ τοιούτους ἡγεῖτο παιδευθέντας — εὐδαίμονας εἶναι. V. ad IV, 7.

§. 13. **νῦν δὲ**] H. e. quum liberis nondum gaudeamus.

**ἀριθμῷ πλείω**] Usitatius dictum esset: ἀριθμὸν πλείω. Sed v. Matth. §. 424, 4. not. 1. Cf. §. 400, 6. Bernh. Synt. p. 118. Hart. §. 598.

§. 14. **ἐν σοὶ**] I. e. penes te. Cyr. VIII, 7, 11: ὅσον ἐν ἐμοί. Quod dicendi genus poetis maxime est usitatum. Soph. Oed. R. 314: ἐν σοὶ γάρ ἐσμεν. V. Reisig. ad h. l. Matth. §. 577. Hart. §. 667.

**σωφρονεῖν**] H. e. prudentem esse. Sed Ischomachus hoc verbum accipit sensu ampliori et

ἀλλ᾿ ἐν σοὶ πάντα ἐστίν· ἐμὸν δ᾿ ἔφησεν ἡ μήτηρ ἔργον
εἶναι σωφρονεῖν. Ναὶ μὰ Δί᾿, ἔφην ἐγώ, ὦ γύναι, 15
καὶ γὰρ καὶ ἐμοὶ ὁ πατήρ. ἀλλὰ σωφρόνων τοί ἐστι
καὶ ἀνδρὸς καὶ γυναικὸς οὕτως ποιεῖν, ὅπως τά τε
ὄντα ὡς βέλτιστα ἕξει καὶ ἄλλα ὅ τι πλεῖστα ἐκ τοῦ
καλοῦ τε καὶ δικαίου προςγενήσεται. Καὶ τί δέ, ἔφη, 16
ὁρᾷς, ἡ γυνή, ὅ τι ἂν ἐγὼ ποιοῦσα συναύξοιμι τὸν
οἶκον; Ναὶ μὰ Δί᾿, ἔφην ἐγώ, ἅ τε οἱ θεοὶ ἔφυσάν
σε δύνασθαι καὶ ὁ νόμος συνεπαινεῖ, ταῦτα πειρῶ ὡς
βέλτιστα ποιεῖν. Καὶ τί δὴ ταῦτά ἐστιν; ἔφη ἐκείνη. 17
Οἶμαι μὲν ἔγωγε, ἔφην, οὐ τὰ ἐλαχίστου ἄξια, εἰ μή
πέρ γε καὶ ἡ ἐν τῷ σμήνει ἡγεμὼν μέλιττα ἐπ᾿ ἐλα-
χίστου ἀξίοις ἔργοις ἐφέστηκεν. ἐμοὶ γάρ τοι, ἔφη 18
φάναι, καὶ οἱ θεοί, ὦ γύναι, δοκοῦσι πολὺ διεσκεμ-
μένως μάλιστα τὸ ζεῦγος τοῦτο συντεθεικέναι, ὃ κα-

fero in Ind. Homer. p. 180. Schneid. in cens. Oec. ed. Kuster. p. 457. — A. ἐφύτευσάν τε; C. D. ἔφησάν τε; edd. velt. ἔφησάν σε; L. G. Vict. ἔφυσάν σε.

§. 17. τί δὴ L. G. A. C. D. marg. Steph. Vill. Vict. Dind. Kerst., idem flagitat Herm. ad Viger. p. 848.; vulg. τί δαί. — A. ἔργοις συνέτυχεν.

§. 18. G. ἐμοὶ μὲν γάρ τοι. — L. διεσκεμμένος scriptum habet, sed non clare, ita ut esse possit —μένως.

graviori, in philosophica Socratis doctrina perquam usitato. V. Praefat. p. III.

§. 16. ἔφη, ὁρᾷς] De verbi ἔφη collocatione v. ad I, 18.

συνεπαινεῖ] Hipparch. V, 14: ἵνα καὶ ἡ τύχη συνεπαινῇ. Infra §. 30.

ὡς βέλτιστα ποιεῖν] V. ad IV, 7.

§. 17. τί δή] Quanquam miratio, quam exprimi aiunt formula τί δαί, inesse videtur his verbis (Herm. l. c. Saupp. Xen. Comment. IV, 2, 33.), tamen librorum scriptorum consensui obsequendum putabam.

εἰ μή πέρ γε] V. I, 13.

ἐφέστηκεν] Hier. IX, 6: Xenoph. Oecon. καὶ ἄρχοντες ἐφ᾿ ἑκάστῳ μέρει ἐφεστήκασιν. Comment. III, 5, 21: ἐφ᾿ οἷς ἐφεστᾶσι.

§. 18. Cicero apud Columellam, praef. ad lib. XII: Xenophon Atheniensis in eo libro, qui Oeconomicus inscribitur, prodidit maritale coniugium sic comparatum esse natura, ut non solum iucundissima, verum etiam utilissima vitae societas iniretur: nam primum, quod etiam Cicero ait, ne genus humanum temporis longinquitate occideret, propter hoc marem cum femina esse coniunctum, deinde ut ex hac eadem societate mortalibus adiutoria senectutis nec minus propugnacula praepararentur.

κεῖται θῆλυ καὶ ἄῤῥεν, ὅπως ἔτι ὠφελιμώτατον ᾖ αὑτῷ
19 εἰς τὴν κοινωνίαν. πρῶτον μὲν γὰρ τοῦ μὴ ἐκλιπεῖν ζώων γένη τοῦτο τὸ ζεῦγος κεῖται μετ' ἀλλήλων τεκνοποιούμενον, ἔπειτα τὸ γηροβοσκοὺς κεκτῆσθαι ἑαυτοῖς ἐκ τούτου τοῦ ζεύγους τοῖς γοῦν ἀνθρώποις πορίζεται· ἔπειτα δὲ καὶ ἡ δίαιτα τοῖς ἀνθρώποις οὐχ ὥσπερ τοῖς κτήνεσίν ἐστιν ἐν ὑπαίθρῳ, ἀλλὰ στεγῶν
20 δεῖται δηλονότι. δεῖ μέντοι τοῖς μέλλουσιν ἀνθρώποις ἕξειν ὅ τι εἰσφέρωσιν εἰς τὸ στεγνὸν τοῦ ἐργαζομένου

Cum Stephano Voigtlaender. Dind. Kerst. ὅ τι ὠφελ.; Weisk. coniecit ὅπως ὅ τι ἥδιστον καὶ ἔτι ὠφελ., quod placet Schneidero. — Dind. Kerst. ᾖ αὑτῷ pro vulg. αὐτῷ.

§. 19. L. G. edd. vett. γὰρ τὸ μὴ ἐκλιπεῖν; A. C. D. Steph. seqq. edd. τῷ μή; G. habet ἐπὶ τὸ μὴ (sic referunt Schneid. et Kerst.; Zeun. γὰρ τὸ μή); Reisig. Dind. Kerst. ἐπὶ τῷ μή; τοῦ μή, quod coniecit Zeun., placuit etiam Lobeckio ad Phryn. p. 695. — C. ἀνθρώπων γένη. — L. A. C. D. γηρωβοσκούς. — Vill. Vict. πορίζεσθαι. — στεγῶν δεῖται L. G. A. C. D. edd. vett. marg. Steph.; vulg. et recc. edd. στεγνῶν. — Dind. Kerst. δῆλον ὅτι.

§. 20. δεῖ μὲν τοῖς Ald. — A. om. ὅ τι — ἐργασίας. —

*ἔτι ὠφελιμώτατον*] Voigtlaender. Weiskii et Schneideri opinionem ita refellere conatur, ut dicat: „de sola utilitate coniugii, non de oblectatione, quam parat, hic sermonem esse, quum antecedentia docere, tum maxime sequentia." Sed de oblectatione quidem non sermo est, attamen de necessitate coniugii, respectis verbis *τοῦ μὴ ἐκλιπεῖν ζώων γένη*. Igitur hunc locum sic interpretor: „ut (praeterquam quod ad genus humanum propagandum necessarium est) insuper utilissimum sit matrimonium ad societatem." Cuius quidem ellipsis, si qua est, duritas iis, quae statim sequuntur: *πρῶτον μὲν γὰρ κτλ.*, ubi id ipsum, quod ad ἔτι subaudiri debet, diserte exprimitur, maximam partem mitigatur.

§. 19. *πρῶτον μὲν κτλ.*] In eandem fere sententiam disputat Aristot. Oec. 3: *καὶ ἡ τῶν τέκνων κτῆσις οὐ λειτουργίας ἕνεκεν τῇ φύσει μόνον οὖσα τυγχάνει, ἀλλὰ καὶ ὠφελίας· ἃ γὰρ ἂν δυνάμενοι εἰς ἀδυνάτους πονήσωσι, πάλιν κομίζονται παρὰ δυναμένων, ἀδυνατοῦντες ἐν τῷ γήρᾳ κτλ.* Vid. Becker. in Charicle Tom. II. p. 436, qui imprimis conferri iubet Aristot. Ethic. Nic. VIII, 14. p. 1162. Bekk.

*τοῦ μή*] De infinitivi genitivis, qualis est *τοῦ μὴ ἐκλιπεῖν*, Xenophonti non inusitatis v. Bornem. ad Cyr. I, 3, 9: *τοῦ δή, εἰ φάρμακα ἐγχέοιεν, μὴ λυσιτελεῖν αὐτοῖς*. Heind. Plat. Gorg. p. 457. E. Buttm. §. 127. b. not. 1. Rost. §. 109. annot. 5.

*ἔπειτα*] pro ἔπειτα δέ. Xen. Comment. III, 6, 9. πρῶτον μὲν — εἶτα. I, 2, 1. Anab. I, 3, 2. III, 2, 7. Hell. II, 2, 17.

*ἔπειτα δὲ*] Cicero: „Tum etiam, quum victus et cultus humanus non uti feris in propatulo ac silvestribus locis, sed domi sub tecto accurandus erat, necessarium fuit alterutrum foris et sub dio esse, qui labore et industria compararet quae tectis reconderentur."

τὰς ἐν τῷ ὑπαίθρῳ ἐργασίας. καὶ γὰρ νεατὸς καὶ σπόρος καὶ φυτεία καὶ νομαὶ ὑπαίθρια ταῦτα πάντα ἔργα ἐστίν· ἐκ τούτων δὲ τὰ ἐπιτήδεια γίγνεται. δεῖ δ' αὖ, 21
ἐπειδὰν ταῦτα εἰςενεχθῇ εἰς τὸ στεγνόν, καὶ τοῦ σώσοντος ταῦτα καὶ τοῦ ἐργασομένου δ' ἃ τῶν στεγνῶν ἔργα δεόμενά ἐστι. στεγνῶν δὲ δεῖται καὶ ἡ τῶν νεογνῶν τέκνων παιδοτροφία, στεγνῶν δὲ καὶ αἱ ἐκ τοῦ καρποῦ σιτοποιίαι δέονται· ὡςαύτως δὲ καὶ ἡ τῆς ἐσθῆτος ἐκ τῶν ἐρίων ἐργασία. ἐπεὶ δ' ἀμφότερα ταῦτα καὶ ἔργων 22

G. εἰςφέρουσιν. — ἔχειν, vulg. post στεγνὸν intersertum, om. L. G. A. D. Iunt., quod probant Heindorf. Bornem. ad Apol. 15., Schneid. in cens. Oec. ed. Kuster. l. c. scribi iubentes τοῦ ἐργασομένου, iisque obsecutus est Kerst. — νεατὸς cum G. L. pro vulgato νέατος scripserunt Dind. Kerst., coll. Phot. lex. p. 290 ed. Pors. — A. γίνεται.

§. 21. L. σώσαντος. — Ante Zeun. et in L. G. A. C. D. τὰ τῶν στεγνῶν — ἐστι; ἃ coniecit Leunclav., δ' inseruit Weisk. — C. D. om. δεῖται — στεγνῶν δέ. — G. A. C. om. αἱ ante ἐκ. — Vict. τῶν ἱερίων.

στεγῶν] Unde habeant στεγνῶν Steph. et recc. edd., plane nescio. Cf. IX, 3.

§. 20. δεῖ — τοῖς μέλλουσιν — τοῦ ἐργαζομένου] Commendatur haec scriptura Ciceronis interpretatione et iis, quae leguntur in §. seq.; ἔχειν invectum esse videtur propter ἕξειν, quo facto τοῦ ἐργαζομένου mutatum est in τοὺς ἐργαζομένους. Opponuntur autem sibi ὁ ἐργαζόμενος τὰ ἐν τῷ ὑπαίθρῳ et ὁ ἐργασόμενος ἃ τῶν στεγνῶν ἔργα δέονται.

ὅ τι εἰςφέρωσιν] H. e. was sie einbringen können, ὅ τι ἂν εἰςφέρωσι esset: was sie, wenn sie wollen, dann einbringen können, ὅ τι εἰςφέροιεν: was sie einbringen könnten, ὅ τι ἂν εἰςφέροιεν: was sie, wenn sie wollten, dann einbringen könnten. V. Herm. de part. ἂν p. 117.

νεατὸς] Oxytonon, monente Reisigio, significat ipsam actionem, barytonon tempus actionis.

§. 21. καὶ τοῦ ἐργασομένου δ'] De καὶ — δέ v. ad I, 3.

δεόμενά ἐστι] De dictione periphrastica v. Matth. §. 599. Kühner. §. 416, 4. Krüger. ad Anab. II, 2, 13: Ἦν δ' αὕτη ἡ στρατηγία οὐδὲν ἄλλο δυναμένη ἢ ἀποδρᾶναι ἢ ἀποφεύγειν. Infra XII, 2. ὄντων — δεομένων. Cicero: „Quum vero paratae res sub tectum essent congestae, alium esse oportuit, qui et illatas custodiret et ea conficeret opera, quae domi deberent administrari. Nam et fruges ceteraque alimenta terrestria indigebant tecto, et ovium ceterarumque pecudum fetus clauso custodiendi erant, nec minus reliqua utensilia, quibus aut alitur hominum genus, aut etiam excolitur.” Unde apparere ait Schneid. Ciceronem τέκνα de pecorum fetu non inepte interpretatum fuisse. Cf. Valcken. ad Herod. III, 109. Sed ex §. 24. intelligitur non de pecoribus, sed de infantibus sermonem esse.

§. 22. ἐπεὶ δ' κτλ.] Cicero

καὶ ἐπιμελείας δεῖται τά τε ἔνδον καὶ τὰ ἔξω, καὶ τὴν
φύσιν, φάναι, εὐθὺς παρεσκεύασεν ὁ θεός, ὡς ἐμοὶ
δοκεῖ, τὴν μὲν τῆς γυναικὸς ἐπὶ τὰ ἔνδον ἔργα καὶ
ἐπιμελήματα, τὴν δὲ τοῦ ἀνδρὸς ἐπὶ τὰ ἔξω ἔργα καὶ
23 ἐπιμελήματα. ῥίγη μὲν γὰρ καὶ θάλπη καὶ ὁδοιπορίας
καὶ στρατείας τοῦ ἀνδρὸς τὸ σῶμα καὶ τὴν ψυχὴν
μᾶλλον δύνασθαι καρτερεῖν κατεσκεύασεν· ὥςτε τὰ ἔξω
ἐπέταξεν αὐτῷ ἔργα· τῇ δὲ γυναικὶ ἧσσον τὸ σῶμα
δυνατὸν πρὸς ταῦτα φύσας τὰ ἔνδον ἔργα αὐτῇ, φάναι
24 ἔφη, προςτάξαι μοι δοκεῖ ὁ θεός. εἰδὼς δὲ, ὅτι τῇ
γυναικὶ καὶ ἐνέφυσε καὶ προςέταξε τὴν τῶν νεογνῶν
τέκνων τροφήν, καὶ τοῦ στέργειν τὰ νεογνὰ βρέφη
25 πλεῖον αὐτῇ ἐδάσατο ἢ τῷ ἀνδρί. ἐπεὶ δὲ καὶ τὸ φυ-
λάσσειν τὰ εἰςενεχθέντα τῇ γυναικὶ προςέταξε, γιγνώσκων
ὁ θεὸς, ὅτι πρὸς τὸ φυλάσσειν οὐ κάκιόν ἐστι φοβερὰν

§. 22. *καὶ* post *ἔργων* om. Iunt. Bas. II. — L. habet *ὁ* ante *θεὸς* ab ult. m. — L. G. edd. vett. *τὰ μὲν τῆς γυν.*; *τὴν μὲν* Pariss. Vill. Vict. — L. G. A. C. D. Ald. om. *τὴν δὲ τοῦ — ἐπιμελήματα.*

§. 23. Stephani *παρεσκεύασεν*, quod damnaverunt cum Zeunio edd. seqq. praeter Weiskium, est in Vill. et Vict.

§. 24. C. *τεκνωτροφήν.* — *πλείων ἐδάσατο αὐταῖς* Ald. Bas. I. II. Vill.; *αὐτῇ* cum Brod. dant L. G. Pariss. Vict. Steph. seqq. edd.

§. 25. A. C. D. om. *καὶ* post *δὲ*, et dant cum G. L. *τὸ φυλάσ-*

interpretatur: „Quare quum operam et diligentiam desiderarent ea, quae proposuimus, neque exigua cura foris acquirerentur quae domi custodiri oporteret, iure, ut dixi, natura comparata est mulieris ad domesticam diligentiam, viri autem ad exercitationem forensem et extraneam," ubi antea legebatur: „a natura comparata est opera mulieris", quasi Cicero *τὰ μὲν τῆς γυναικός*, non *τὴν τῆς γυναικὸς φύσιν* reddere voluisset. SCHNEID. De sententia conf. Aristot. Oec. 3: *οὕτω προῳκονόμηται ὑπὸ τοῦ θείου ἑκατέρου ἡ φύσις τοῦ τε ἀνδρὸς καὶ τῆς γυναικὸς πρὸς τὴν κοινωνίαν. Διείληπται γὰρ κτλ.*

§. 24. *εἰδὼς δὲ κτλ.*] Eandem sententiam profert Socrates in Xen. Comment. I, 4, 7.

§. 25. *ἐπεὶ δὲ κτλ.*] Cicero: „Et quoniam hunc sexum custodiae et diligentiae assignaverat, idcirco timidiorem reddidit, quam virilem: nam metus plurimum confert ad diligentiam custodiendi."

*πρὸς τὸ φυλάσσειν*] De hac forma, quam utroque loco restitui, Xenophonti satis usitata v. Saupp. ad Venat. IX, 20. *θάλασσαν.* Hipparch. IX, 3. Popp. Anab. Praef. p. XLIII. Bornem. Epil. Cyr. p. 19. et in Annal. Litter. Hal. 1839. p. 558. Infra §. 31. Apud Platonem ubique fere invenitur *ττ.* V. Heind. Euthyd. p. 279. e.

*φοβερὰν*] Sensu rariori: „cuius animus timore ac metu facile se tangi patitur." Hier. I, 12. Cyr. III, 3, 9. De sententia cf. Aristot. Oec. 3: *τὸ μὲν γὰρ ἰσχυρότερον, τὸ δ' ἀσθενέστερον ἐποίησεν, ἵνα τὸ μὲν φυλακτικώτερον ᾖ διὰ τὸν φόβον, τὸ δ'*

εἶναι τὴν ψυχήν, πλεῖον μέρος καὶ τοῦ φόβου ἐδάσατο τῇ
γυναικὶ ἢ τῷ ἀνδρί. εἰδὼς δὲ, ὅτι καὶ ἀρήγειν αὖ δεήσει,
ἐάν τις ἀδικῇ, τὸν τὰ ἔξω ἔργα ἔχοντα, τούτῳ αὖ πλεῖον
μέρος τοῦ θράσους ἐδάσατο. ὅτι δ' ἀμφοτέρους δεῖ καὶ 26
διδόναι καὶ λαμβάνειν, τὴν μνήμην καὶ τὴν ἐπιμέλειαν εἰς
τὸ μέσον ἀμφοτέροις κατέθηκεν. ὥςτε οὐκ ἂν ἔχοις διελεῖν,
πότερα τὸ ἔθνος τὸ θῆλυ ἢ τὸ ἄῤῥεν τούτων πλεονεκτεῖ.
καὶ τὸ ἐγκρατεῖς δὲ εἶναι ὧν δεῖ εἰς τὸ μέσον ἀμφο- 27
τέροις κατέθηκε, καὶ ἐξουσίαν ἐποίησεν ὁ θεός, ὁπό-
τερος ἂν ᾖ βελτίων, εἴθ' ὁ ἀνὴρ εἴθ' ἡ γυνή, τοῦτον
καὶ πλεῖον φέρεσθαι τούτου τοῦ ἀγαθοῦ. διὰ δὲ τὸ 28
τὴν φύσιν μὴ πρὸς πάντα ταὐτὰ ἀμφοτέρων εὖ πε-
φυκέναι, διὰ τοῦτο καὶ δέονται μᾶλλον ἀλλήλων καὶ
τὸ ζεῦγος ὠφελιμώτερον ἑαυτῷ γεγένηται, ἃ τὸ ἕτερον
ἐλλείπεται τὸ ἕτερον δυνάμενον. ταῦτα δέ, ἔφην, δεῖ 29

σειν. — G. Iunt. Bas. II. marg. Steph. εἰσαχθέντα. — G. Ald. Bas. I. II. γινώσκων; v. ad I, 20. — G. L. A. C. D. Ald. Bas. I. II. Steph. II. Reisig. πρὸς τὸ φυλάσσειν. — A. μέρους.

§. 28. Iunt. Bas. II. om. τὸ ante τὴν. — ταὐτὰ scripsit Schneid. pro ταῦτα. — ἑαυτῷ, quod est in G. A. C. D. Vict. Steph., dedit Weisk. pro vulgato ἑαυτῶν. — Pro ἐκλείπεται cum Schneidero in lex. Dind. mavult ἐλλείπεται, quod restitui.

ἀμυντικώτερον διὰ τὴν ἀνδρίαν, καὶ τὸ μὲν πορίζῃ τὰ ἔξωθεν, τὸ δὲ σώζῃ τὰ ἔνδον κτλ. Cf. Polit. III, 2. p. 78, 29.

§. 27. βελτίων] Hoc non est: „firmior, robustior animo," uti Weisk. vertit; nam quomodo hac virtute cum viro certare possit femina, utpote quae natura illo est infirmior ac timidior? significat potius: abstinentior. τούτου τοῦ ἀγαθοῦ, quod idem Weisk. male interpretatur de ipsa virtute, ἐγκρατείᾳ, est: boni, sive praemii, quod ex hac virtute (abstinentia) nascitur. Cicero: „Quod autem necesse erat foris et in aperto victum quaerentibus nonnunquam iniuriam propulsare, idcirco virum quam mulierem fecit audaciorem. Quia vero partis opibus aeque fuit opus memoria et diligentia, non minorem feminae quam viro earum rerum tribuit possessionem." Igitur quae leguntur in §. 27. plane omisit Cicero, nam pergit statim sectionem 28. ita reddere: „Tum etiam, quod simplex natura non omnes res commode amplecti valebat, idcirco alterum alterius indigere voluit: quoniam quod alteri deest, praesto plerumque est alteri."

§. 28. ἐλλείπεται] Hoc est: inferiorem esse, aliquid praestare non posse. Xen. Comment. II, 6, 5: πρὸς τὸ μὴ ἐλλείπεσθαι εὖ ποιῶν τοὺς εὐεργετοῦντας αὐτόν. R. Eq. III, 8: πολλοὶ γὰρ οὐ διὰ τὸ μὴ δύνασθαι, ἀλλὰ διὰ τὸ ἄπειροι εἶναι τούτων ἐλλείπονται. — ἐκλείπεσθαι est: deficere.

τὸ ἕτερον δυνάμενον] Hos nominativos, quos vocant absolutos, explicare licet ex usu illo notissimo, quo Graeci totam rem et partem eius eodem po-

ἡμᾶς, ὦ γύναι, εἰδότας ἃ ἑκατέρῳ ἡμῶν προστέτακται
ὑπὸ τοῦ θεοῦ πειρᾶσθαι, ὅπως ὡς βέλτιστα τὰ προσ-
30 ήκοντα ἑκάτερον ἡμῶν διαπράττεσθαι. συνεπαινεῖ δέ,
ἔφη φάναι, καὶ ὁ νόμος αὐτὰ συζευγνὺς ἄνδρα καὶ
γυναῖκα. καὶ κοινωνοὺς ὥσπερ τῶν τέκνων ὁ θεὸς ἐποίη-
σεν, οὕτω καὶ ὁ νόμος τοῦ οἴκου κοινωνοὺς καθίστησι.
καὶ καλὰ δὲ εἶναι ὁ νόμος ἀποδείκνυσιν ἃ ὁ θεὸς ἔφυσεν
ἑκάτερον μᾶλλον δύνασθαι. τῇ μὲν γὰρ γυναικὶ κάλλιον
ἔνδον μένειν ἢ θυραυλεῖν, τῷ δὲ ἀνδρὶ αἴσχιον ἔνδον μέ-
31 νειν ἢ τῶν ἔξω ἐπιμελεῖσθαι. εἰ δέ τις παρ' ἃ ὁ θεὸς ἔφυσε
ποιεῖ, ἴσως τι καὶ ἀτακτῶν τοὺς θεοὺς οὐ λήθει καὶ δίκην
δίδωσιν ἀμελῶν τῶν ἔργων τῶν ἑαυτοῦ ἢ πράσσων τὰ τῆς
32 γυναικὸς ἔργα. δοκεῖ δέ μοι, ἔφην, καὶ ἡ τῶν μελισσῶν

§. 29. Cum Leunclavio *ὅπως* deleri mavult Schneid.; idem deinceps scribit *ἑκατέρῳ*, quod recepit Reisig.

§. 30. *αὐτὰ* pro *ταῦτα* dederunt Dind. Kerst. ex L. G. A. C. D. edd. vett. — *καὶ* ante *κοινωνοὺς* om. C. D. — *τοῦ οἴκου* om. L. G. A. C. D. edd. vett. Camerar. Streb.; seclusit Zeun. — G. L. A. C. D. et vulg. *ἀποδείκνυσι καὶ ὁ*, sed marg. A. dat *ἃ* pro *καὶ*; Steph. inserendum ait *ἃ* ante *ὁ*, Leuncl. ante *καὶ*, quod fecit Wels.; Zeun. scripsit *ἀποδείκνυσιν ἃ ὁ*, quod vertunt etiam Camerar. et Streb. — A. *ἐνέφυσεν*. — *ἂν*, quod vulg. est post *μᾶλλον*, suadente Dindorfio, delevi. — A. C. D. *τῇ δὲ γυναικί*. — *ἔνδον μένειν* dedit Schneid. ex L. G. A. C. D. Vict. pro vulg. *μένειν ἔνδον*.

§. 31. *πράσσων* L. A. C. D. Ald. Bas. I. Steph. II.; vulg. *πράτ-*

nunt casu. V. ad XII, 8. et XVII, 2. Rost. §. 131. annot. 2. Hart. §. 1049. not. Kühner. §. 678, 2.

§. 29. **ταῦτα δὲ κτλ.**] Haec verba sic coniungas: *ταῦτα δέ, ἃ ἑκατέρῳ ἡ. πρ. ὑ. τ. θ., εἰδότας ἡμᾶς δεῖ πειρᾶσθαι, οπως κτλ.*

**πειρᾶσθαι, ὅπως — διαπράττεσθαι**] Dici poterat vel *πειρᾶσθαι ὡς βέλτιστα — διαπράττεσθαι*, vel *πειρᾶσθαι, ὅπως — διαπραξόμεθα.* Xen. Hell. VI, 2, 32: *εὔρετο, ὅπως μήτε διὰ τὸν πλοῦν ἀνεπιστήμονας εἶναι τῶν εἰς ναυμαχίαν, μήτε διὰ τὸ ταῦτα μελετᾶν βραδύτερόν τι ἀφικέσθαι.* Cf. Cyr. IV, 2, 37., ubi v. Popp. Hell. VI, 5, 42: *ἐλπίζειν δὲ χρή, ὡς ἄνδρας ἀγαθοὺς μᾶλλον ἢ κακοὺς αὐτοὺς γενήσεσθαι.* Wesseling. ad Diod. Sic. p. 408. „Amant, inquit, Graeci diversas confundere structuras, veluti quum particulam *ὅτι* vel *ὅπως* infinitivo iungunt, quem ab ellipsi verbi alicuius pendere perperam statuit Zeun. ad Viger. p. 547. 435." Matth. §. 623, 3. — *ἑκάτερον* accusativus recte habet, quia antecedit *ἡμᾶς — εἰδότας*. Neque enim *τὰ προσήκοντα* indiget casu, quem desiderat Schneid. V. Xen. Comment. I, 1, 12: *ἡγοῦνται τὰ προσήκοντα πράττειν.*

§. 30. **συζευγνὺς**] Similiter IX, 5. de concubitu non legitimo. Cf. Remp. Lac. II, 12.

**καὶ κοινωνοὺς κτλ.**] Accuratius Aristot. Oec. 3 fin.: *καὶ περὶ τέκνων τὴν μὲν γένεσιν κοινήν, τὴν δὲ ὠφελίαν ἴδιον· τῶν μὲν γὰρ τὸ θρέψαι, τῶν δὲ τὸ παιδεῦσαί ἐστιν.*

**τοῦ οἴκου**] Zeunium, qui haec verba superflua esse putat, recte redarguit Weisk.

**μᾶλλον δύνασθαι**] *Ἂν*

ἡγεμὼν τοιαῦτα ἔργα ὑπὸ τοῦ θεοῦ προστεταγμένα διαπονεῖσθαι. Καὶ ποῖα δ', ἔφη ἐκείνη, ἔργα ἔχουσα ἡ τῶν μελισσῶν ἡγεμὼν ἐξομοιοῦται τοῖς ἔργοις οἷς ἐμὲ δεῖ πράττειν; Ὅτι, ἔφην ἐγώ, ἐκείνη τε ἐν τῷ σμήνει μένουσα 33
οὐκ ἐᾷ ἀργοὺς τὰς μελίσσας εἶναι, ἀλλ' ἃς μὲν δεῖ ἔξω ἐργάζεσθαι ἐκπέμπει ἐπὶ τὸ ἔργον, καὶ ἃ ἂν αὐτῶν ἑκάστη εἰςφέρῃ οἶδέ τε καὶ δέχεται, καὶ σώζει ταῦτα, ἔςτ' ἂν δέῃ χρῆσθαι. ἐπειδὰν δὲ ἡ ὥρα τοῦ χρῆσθαι ἥκῃ, διανέμει τὸ δίκαιον ἑκάστῃ. καὶ ἐπὶ τοῖς ἔνδον δ' ἐξυφαινομένοις κη- 34
ρίοις ἐφέστηκεν, ὡς καλῶς καὶ ταχέως ὑφαίνηται, καὶ τὸν γιγνόμενον τόκον ἐπιμελεῖται, ὡς ἐκτρέφηται· ἐπειδὰν δὲ ἐκτραφῇ καὶ ἀξιοεργοὶ οἱ νεοσσοὶ γένωνται, ἀποικίζει αὐτοὺς σὺν τῶν ἑπομένων τινὶ ἡγεμόνι. Ἦ καὶ ἐμὲ οὖν, 35

των. V. §. 26.

§. 32. ἔφην, καὶ (om. ἡ) τῶν D.

§. 33. L. ἐκείνη μὲν ἐν τῷ, supra scripto τε; cum Zeunio Schneid. Reisig. γε, quod coniecit Steph., substituunt in locum vulgati τε, quod revocavit Dind. — A. καὶ ἃ ἂν αὐτῶν ἑκάστη φέρει, sed correctum φέρῃ; C. D. καὶ ἃ ἂν ἑκάστη αὐτῶν φέρῃ; G. Iunt. Bas. II. εἰςφέρει; Vict. εἰςφέροι. — G. ἔςτε. — G. ἥκει.

§. 34. G. κηρίων; Vill. κηρίαν; Vict. κηρίοις; edd. vett. κηρίον. — L. G. A. C. D. edd. vett. τὸν γιγνόμενον τόκον, quod restitui pro vulgatis genitivis, quos invexit Steph. — Vulg. τῶν ἐπιγόνων τινὶ; L. G. A. C. D. edd. vett. Camerar. τῶν ἑπομένων τινὶ, quod revocavi.

alienum est ab hac sententia generali.

**ἔνδον μένειν**] De Atheniensium more feminas, quam maxime fieri posset, intra domum retinendi fuse agit Becker. in Charicle T. II. p. 424 sqq.

§. 32. **Καὶ ποῖα — ἔργα ἔχουσα — ἐξομοιοῦται τοῖς ἔργοις**] liberius dictum est pro: *ἐξομοιοῦται ἐμοί.* Cf. Soph. Oed. T. 1507: *μηδ' ἐξισώσῃς τάςδε (παῖδας) τοῖς ἐμοῖς κακοῖς.* Xen. Cyr. V, 1, 4: *ὁμοίαν ταῖς δούλαις εἶχε τὴν ἐσθῆτα.* V. Saupp. ad Xen. Comment. III, 6, 8. Matth. §. 453. Hart. §. 1089. Ubi duae personae vel res inter se conferuntur, saepe in altera parte comparationis infertur pro ipsa persona vel re id, unde sumitur comparatio, aut vice versa.

§. 33. **τὸ δίκαιον**] Sc. *μέρος.* Cyr. VIII, 4, 30: *καὶ οὕτω πάντες εἰλήφεσαν τὸ δίκαιον μέρος.*

§. 10. Τῷ δ' ἐπιόντι ἔτει] Haec quoque verba Brücknerus (Progr. Suidnic. 1838. p. 11 sqq.) habet pro suppositiciis. Sed tum pessime cohaerent τὰς μέντοι ναῦς παρέδοσαν Λυσάνδρῳ — Λύσανδρος ἀφικόμενος κτλ. V. Praef. p. XXIX. sq. De ephori et archontis nominibus, quae statim sequuntur, v. quae disputata sunt in Praef. p. XXVI. sqq.

Χίου ξὺν ταῖς ναυσὶ καὶ τὰς ἄλλας πάσας ξυνήθροισεν,
εἴ πού τις ἦν, καὶ ταύτας τε ἐπεσκεύαζε καὶ ἄλλας
11 ἐν Ἀντάνδρῳ ἐναυπηγεῖτο. Ἐλθὼν δὲ παρὰ Κῦρον
χρήματα ᾔτει· ὁ δ' αὐτῷ εἶπεν, ὅτι τὰ μὲν παρὰ βα-
σιλέως ἀνηλωμένα εἴη καὶ ἔτι πλείω πολλῷ δεικνύων,
12 ὅσα ἕκαστος τῶν ναυάρχων ἔχοι, ὅμως δ' ἔδωκε. Λα-
βὼν δὲ ὁ Λύσανδρος τἀργύριον ἐπὶ τὰς τριήρεις τριη-
ράρχους ἐπέστησε καὶ τοῖς ναύταις τὸν ὀφειλόμενον
μισθὸν ἀπέδωκε. Παρεσκευάζοντο δὲ καὶ οἱ τῶν Ἀθη-
ναίων στρατηγοὶ πρὸς τὸ ναυτικὸν ἐν τῇ Σάμῳ.
13 Κῦρος δ' ἐπὶ τούτοις μετεπέμψατο Λύσανδρον,
ἐπεὶ αὐτῷ παρὰ τοῦ πατρὸς ἧκεν ἄγγελος λέγων, ὅτι
ἀῤῥωστῶν κεῖνον καλοίη, ὢν ἐν Θαμνηρίοις τῆς Μη-
δείας ἐγγὺς Καδουσίων, ἐφ' οὓς ἐστράτευσεν ἀφεστῶ-
14 τας. Ἥκοντα δὲ Λύσανδρον οὐκ εἴα ναυμαχεῖν πρὸς
Ἀθηναίους, ἐὰν μὴ πολλῷ πλείους ναῦς ἔχῃ· εἶναι
γὰρ χρήματα πολλὰ καὶ βασιλεῖ καὶ ἑαυτῷ, ὥστε τού-
του ἕνεκεν πολλὰς πληροῦν. Παρέδειξε δ' αὐτῷ πάν-
τας τοὺς φόρους τοὺς ἐκ τῶν πόλεων, οἳ αὐτῷ ἴδιοι
ἦσαν, καὶ τὰ περιττὰ χρήματα ἔδωκε· καὶ ἀναμνήσας,
ὡς εἶχε φιλίας πρός τε τὴν τῶν Λακεδαιμονίων πό-
λιν καὶ πρὸς Λύσανδρον ἰδίᾳ, ἀνέβαινε παρὰ τὸν
πατέρα.
15 Λύσανδρος δ', ἐπεὶ αὐτῷ Κῦρος πάντα παραδοὺς

§. 11. A. E. edd. vett. δέδωκε.
§. 13. κεῖνον pro ἐκεῖνον scripsi cum B. D. C. — D. Weisk. Schneid. II. Dind. Μηδίας. — A. C. E. Ald. Iunt. Bryl. καθεστῶτας.
§. 14. B. αὐτῷ pro ἑαυτῷ. — A. C. E. edd. vett. τὴν Λακεδαιμονίων.
§. 15. B. Vict. παρὰ τὸν pro πρὸς τόν. — B. E. Κεράμιον. — B. δὲ οἱ μιξοβ.
§. 16. Οἱ δ' Ἀθην. B. C. Dind. II. III. pro Οἱ δὲ Ἀθην. —

§. 13. Μηδείας] Iis, quae Dindorfius ad Anab. II, 4, 27. de hac forma disseruit, mihi non persuasum erat etiam invitis libris vel, ut h. l., cum uno cod. D. vulgatam scripturam esse corrigendam. V. Poppo. ad Anab. I, 7, 15. et ibidem Kühnerum.

§. 15. αἱρεῖ καὶ ἐξηνδραπόδισεν] Cf. infra §. 19: αἱροῦσι κατὰ κράτος καὶ διήρπασαν. Anab. V, 8, 6: Ἐνταῦθα δὴ ἀναγιγνώσκει τε αὐτὸν καὶ ἤρετο. IV, 6, 22: ἀπήρχοντο καὶ καταλαμβάνουσι τὸ ὄρος. Plat. Phaed. p. 84. D: ἐγέλασέ τε — καί φησι.

§. 16. Οἱ δ' Ἀθηναῖοι] Mirum est parare se Atheneinses ad pugnam navalem, quum Chium et Ephesum peterent, Lysander autem Rhodum concessisset, sed mirabilius etiam

τὰ αὑτοῦ πρὸς τὸν πατέρα ἀῤῥωστοῦντα μετάπεμπτος ἀνέβαινε, μισθὸν διαδοὺς τῇ στρατιᾷ ἀνήχθη τῆς Καρίας εἰς τὸν Κεράμειον κόλπον. Καὶ προσβαλὼν πόλει τῶν Ἀθηναίων ξυμμάχῳ ὄνομα Κεδρείαις τῇ ὑστεραίᾳ προσβολῇ κατὰ κράτος αἱρεῖ καὶ ἐξηνδραπόδισεν. Ἦσαν δὲ μιξοβάρβαροι οἱ ἐνοικοῦντες. Ἐκεῖθεν δ' ἀπέπλευσεν εἰς Ῥόδον. Οἱ δ' Ἀθηναῖοι ἐκ τῆς Σάμου ὁρμώ- 16
μενοι τὴν βασιλέως κακῶς ἐποίουν καὶ ἐπὶ τὴν Χίον Ol. 93,4.
καὶ τὴν Ἔφεσον ἐπέπλεον καὶ παρεσκευάζοντο πρὸς ναυμαχίαν καὶ στρατηγοὺς πρὸς τοῖς ὑπάρχουσι προσείλοντο Μένανδρον, Τυδέα, Κηφισόδοτον. Λύσανδρος 17
δ' ἐκ τῆς Ῥόδου παρὰ τὴν Ἰωνίαν ἐκπλεῖ πρὸς τὸν Ἑλλήσποντον πρός τε τῶν πλοίων τὸν ἔκπλουν καὶ ἐπὶ τὰς ἀφεστηκυίας αὐτῶν πόλεις. Ἀνήγοντο δὲ οἱ Ἀθηναῖοι ἐκ τῆς Χίου πελάγιοι· ἡ γὰρ Ἀσία πολε- 18
μία αὐτοῖς ἦν· Λύσανδρος δ' ἐξ Ἀβύδου παρέπλει εἰς Λάμψακον ξύμμαχον οὖσαν Ἀθηναίων· καὶ οἱ Ἀβυδηνοὶ καὶ οἱ ἄλλοι παρῆσαν πεζῇ· ἡγεῖτο δὲ Θώραξ Λακεδαιμόνιος. Προσβαλόντες δὲ τῇ πόλει αἱροῦσι 19
κατὰ κράτος καὶ διήρπασαν οἱ στρατιῶται οὖσαν πλουσίαν καὶ οἴνου καὶ σίτου καὶ τῶν ἄλλων ἐπιτηδείων πλήρη· τὰ δὲ ἐλεύθερα σώματα πάντα ἀφῆκε Λύσανδρος. Οἱ δ' Ἀθηναῖοι κατὰ πόδας πλέοντες ὡρμί- 20
σαντο τῆς Χεῤῥονήσου ἐν Ἐλαιοῦντι ναυσὶν ὀγδοή-

Vulg. καὶ τὴν ἐπὶ Χίον; B. D. Vict. καὶ ἐπὶ Χίον; καὶ ἐπὶ τὴν Χίον dedit Wells. e marg. Steph. — προσείλοντο Dind. III. cum B. marg. Steph., ceteri εἵλοντο.

§. 17. καὶ ante οἱ Ἀθην. inclusit cum Moro et Schneid. I. Dind. I., delevit Dind. II. III.

§. 19. Y. Προσβάλλοντες.

§. 20. Οἱ δ' Ἀθην. B. D. C. Dind. II. III. pro Οἱ δὲ Ἀθ. — ὁρμήσαντο. — Ἐλαιοῦντι Dind. II. III. dedit ex uno suorum codd. pro Ἐλεοῦντι.

...m demum imperatores dici ...ibus illis, Cononi, Adimanto ... Philocli, additos esse et ita ...lditos dici, quasi ab exercitu, ...on a populo Atheniensium cre... ...i fuerint. Quas difficultates ...rücknerus (Zeitschr. f. ...-W. 1839. no. 51.) acutissime ...llit verbis sic ordinatis: Οἱ δ' ...θηναῖοι στρατηγοὺς πρὸς τοῖς ...πάρχουσι προσείλοντο Μέναν...ρον, Τυδέα, Κηφισόδοτον καὶ ἐκ τῆς Σάμου ὁρμώμενοι τὴν βασιλέως κακῶς ἐποίουν καὶ ἐπὶ τὴν Χίον καὶ τὴν Ἔφεσον ἐπέπλεον καὶ παρεσκευάζοντο πρὸς ναυμαχίαν. Λύσανδρος δὲ κτλ.

§. 17. τῶν πλοίων τὸν ἔκπλουν] ut navibus onerariis Lacedaemoniorum liberum e Ponto exitum praestaret.

Ἀνήγοντο δέ] qui antea oram Ioniae petierant.

§. 20. κατὰ πόδας] scil.

κοντα καὶ ἑκατόν. Ἐνταῦθα δὴ ἀριστοποιουμένοις αὐτοῖς ἀγγέλλεται τὰ περὶ Λάμψακον, καὶ εὐθὺς ἀνήχθησαν εἰς Σηστόν.
21 Ἐκεῖθεν δ' εὐθὺς ἐπισιτισάμενοι ἔπλευσαν εἰς Αἰγὸς ποταμοὺς ἀντίον τῆς Λαμψάκου· διεῖχε δ' ὁ Ἑλλήςποντος ταύτῃ σταδίους ὡς πεντεκαίδεκα.
22 Ἐνταῦθα δὴ ἐδειπνοποιοῦντο. Λύσανδρος δὲ τῇ ἐπιούσῃ νυκτί, ἐπεὶ ὄρθρος ἦν, ἐσήμηνεν εἰς τὰς ναῦς ἀριστοποιησαμένους εἰςβαίνειν, πάντα δὲ παρασκευασάμενος ὡς εἰς ναυμαχίαν καὶ τὰ παραβλήματα παραβαλὼν προεῖπεν, ὡς μηδεὶς κινήσοιτο ἐκ τῆς τάξεως, μηδὲ ἀνάξοιτο.
23 Οἱ δὲ Ἀθηναῖοι ἅμα τῷ ἡλίῳ ἀνίσχοντι ἐπὶ τῷ λιμένι παρετάξαντο ἐν μετώπῳ ὡς εἰς ναυμαχίαν. Ἐπεὶ δ' οὐκ ἀντανήγαγε Λύσανδρος, καὶ τῆς ἡμέρας ὀψὲ ἦν, ἀπέπλευσαν πάλιν εἰς τοὺς Αἰγὸς ποταμούς.
24 Λύσανδρος δὲ τὰς ταχίστας τῶν νεῶν ἐκέλευσεν ἕπεσθαι τοῖς Ἀθηναίοις, ἐπειδὰν δὲ ἐκβῶσι, κατιδόντας ὅ τι ποιοῦσιν ἀποπλεῖν καὶ αὐτῷ ἐξαγγεῖλαι. Καὶ οὐ πρότερον ἐξεβίβασεν ἐκ τῶν νεῶν, πρὶν αὗται ἧκον. Ταῦτα δ' ἐποίει τέτταρας ἡμέρας· καὶ οἱ

§. 21. Schneid. vult διέχει. — ταύτῃ, quod est in B. C. D. Vict., dederunt Wells. seqq. edd. pro ταύτης. — Dind. II. III. ἐνταῦθα δέ.

§. 22. παραβαλών, quod primus exhibet marg. Bas. a. 1572, deinde marg. Leoncl., restituit Schneid. II. pro παραβάλλων.

§. 25. ἐκ τῶν τειχῶν B. C. D. E. Vict. Dind. II. III. pro ἀπὸ τῶν τ. — πρὸς πόλει ἔχοντας, quod est in B. D. margg. Steph. et Leoncl., recepit Schneid. II. pro πρὸς πόλιν ἔχ. — A.

αὐτῶν. Thucyd. V, 65: ἰέναι κατὰ πόδας αὐτῶν ἐς Τεγέαν.

§. 21. διεῖχε — ταύτῃ] Plutarch. Lys. 11: τὸ δὲ μεταξὺ τῶν ἠπείρων διάστημα ταύτῃ πεντεκαίδεκα σταδίων ἐστί. De imperfecto cf. quae Kühner. congessit ad Anab. I, 4, 9: οὓς οἱ Σύροι θεοὺς ἐνόμιζον, imprimis IV, 8, 1: ἀφίκοντο ἐπὶ τὸν ποταμόν, ὃς ὥριζε τὴν τῶν Μακρώνων καὶ τὴν τῶν Σκυθινῶν. V. eiusdem gr. schol. §. 256, 4. a. Rost. §. 151, 5. adn. 1.

Ἐνταῦθα δή] hic iam.

§. 22. παραβλήματα] Eadem videntur esse quae I, 6, 19. dicuntur παραῤῥύματα.

§. 24. ἐξεβίβασεν] milites scil.

§. 25. μεθορμίσαι] Plutarch. Alc. 37: ταῦτα λέγοντος τοῦ Ἀλκιβιάδου καὶ παραινοῦντος εἰς Σηστὸν μεθορμίσαι τὸν στόλον, οὐ προςεῖχον οἱ στρατηγοί.

§. 26. αὐτοὺς γάρ] Nominativum poni etiam ubi αὐτός alteri nomini vel pronomini opponitur, demonstravit Schwidopius in observv. in Xen. Hellen. p. 5., e. g. Anab. IV, 2, 1: καὶ τοὺς μὲν ἄνω ὄντας ἰέναι —, αὐτοὶ δὲ συμβοηθήσειν, ubi v. Kühnerum. Sed inde accusativos, ubi reperiuntur in tali verborum nexu, corrigendos

Ἀθηναῖοι ἐπανήγοντο. Ἀλκιβιάδης δὲ κατιδὼν ἐκ τῶν 25
τειχῶν τοὺς μὲν Ἀθηναίους ἐν αἰγιαλῷ ὁρμοῦντας
καὶ πρὸς οὐδεμιᾷ πόλει, τὰ δ' ἐπιτήδεια ἐκ Σηστοῦ
μετιόντας πεντεκαίδεκα σταδίους ἀπὸ τῶν νεῶν, τοὺς
δὲ πολεμίους ἐν λιμένι καὶ πρὸς πόλει ἔχοντας πάντα,
οὐκ ἐν καλῷ ἔφη αὐτοὺς ὁρμεῖν, ἀλλὰ μεθορμίσαι
εἰς Σηστὸν παρῄνει πρός τε λιμένα καὶ πρὸς πόλιν·
οὗ ὄντες ναυμαχήσετε, ἔφη, ὅταν βούλησθε. Οἱ δὲ 26
στρατηγοί, μάλιστα δὲ Τυδεὺς καὶ Μένανδρος, ἀπιέ-
ναι αὐτὸν ἐκέλευσαν· αὐτοὺς γὰρ νῦν στρατηγεῖν,
οὐκ ἐκεῖνον. Καὶ ὁ μὲν ᾤχετο. Λύσανδρος δ', ἐπεὶ 27
ἦν ἡμέρα πέμπτη ἐπιπλέουσι τοῖς Ἀθηναίοις, εἶπε τοῖς
παρ' αὐτοῦ ἑπομένοις, ἐπὰν κατίδωσιν αὐτοὺς ἐκβεβη-
κότας καὶ ἐσκεδασμένους κατὰ τὴν Χεῤῥόνησον, ὅπερ
ἐποίουν πολὺ μᾶλλον καθ' ἑκάστην ἡμέραν τά τε σι-
τία πόῤῥωθεν ὠνούμενοι καὶ καταφρονοῦντες δὴ τοῦ
Λυσάνδρου, ὅτι οὐκ ἀντανῆγεν, ἀποπλέοντας τοὔμπα-
λιν παρ' αὐτὸν ἆραι ἀσπίδα κατὰ μέσον τὸν πλοῦν.
Οἱ δὲ ταῦτα ἐποίησαν, ὡς ἐκέλευσε. Λύσανδρος δ' εὐ- 28

C. Ald. Iunt. Cast. ἔφη αὐτοῖς. — B. et ab alt. m. D. μεθορμῆσαι.

§. 26. αὐτοί, quod voluit Goeller. ad Dionys. Halic. p. 43., dedit Dind. II. III. ex Vict. et duobus, ut ait, codicibus pro αὐτούς.

§. 27. ἦν ἡμέρα B. D. C. Dind. II. III. pro ἡμέρα ἦν. — Vict. πεμπομένοις pro ἑπομένοις. — Dind. III. ex duobus suorum codd. ἐπὴν dedit pro ἐπάν. — Iunt. Bryl. Cast. τι τοῦ pro δὴ τοῦ.

esse nequaquam consequitur. Dicendi varietatem, qua omnino insignis est lingua graeca, in hoc quoque genere ei vindicat Lobeck. ad Phryn. p. 750 seq. Sensum quidem, quo ducti Graeci modo nominativo, modo accusativo in talibus enuntiatis utuntur, non ubique possumus indagare, sed quomodo verba Thucydidis IV, 28: οὐκ ἔφη αὐτὸς ἀλλ' ἐκεῖνον στρατηγεῖν, ab hoc loco discrepent, in promptu est. Illic enim αὐτός iuxta ἔφη positum verbi subiecto quasi attrahitur, hic autem αὐτοὺς — στρατηγεῖν suspensum est a verbo dicendi, cuius notio ex antecedenti verbo intelligenda est. Accusativum habes Thucyd. VIII, 63: ἐσκέψαντο Ἀλκιβιάδην μὲν — ἐᾶν —, αὐτοὺς δὲ ἐπὶ σφῶν αὐτῶν — ὁρᾶν. Plat. Lys. p. 209. D: ὅταν σε ἡγήσηται βέλτιον περὶ οἰκονομίας ἑαυτοῦ φρονεῖν ἢ αὐτὸν ἐπιστατήσειν. Demosth. contra Leoch. p. 1080: αἴτιός ἐστι τοῦ καὶ αὐτὸν κρίνεσθαι καὶ ἐμὲ λέγειν. V. etiam Kühner. gr. max. §. 646, 1. Matth. §. 536. Saupp. ad Comment. 1, 4, 8. Ceterum, si non excepto Vict. codices nobis noti omnes in accusativo consentirent — nam quos Dindorfius suos praedicat, qui sint

θὺς ἐσήμανε τὴν ταχίστην πλεῖν· ξυμπαρήει δὲ καὶ Θώραξ τὸ πεζὸν ἔχων. Κόνων δὲ ἰδὼν τὸν ἐπίπλουν ἐσήμανεν εἰς τὰς ναῦς βοηθεῖν κατὰ κράτος. Διεσκεδασμένων δὲ τῶν ἀνθρώπων, αἱ μὲν τῶν νεῶν δίκροτοι ἦσαν, αἱ δὲ μονόκροτοι, αἱ δὲ παντελῶς κεναί· ἡ δὲ Κόνωνος καὶ ἄλλαι περὶ αὐτὸν ἑπτὰ πλήρεις ἀνήχθησαν ἀθρόαι καὶ ἡ Πάραλος, τὰς δ' ἄλλας πάσας Λύσανδρος ἔλαβε πρὸς τῇ γῇ. Τοὺς δὲ πλείστους ἄνδρας ἐν τῇ γῇ ξυνέλεξαν· οἱ δὲ καὶ ἔφυγον εἰς τει-
29 χύδρια. Κόνων δὲ ταῖς ἐννέα ναυσὶ φεύγων, ἐπεὶ ἔγνω τῶν Ἀθηναίων τὰ πράγματα διεφθαρμένα, κατασχὼν ἐπὶ τὴν Ἀβαρνίδα τὴν Λαμψάκου ἄκραν ἔλαβεν αὐτόθεν τὰ μεγάλα τῶν Λυσάνδρου νεῶν ἱστία, καὶ αὐτὸς μὲν ὀκτὼ ναυσὶν ἀπέπλευσε παρ' Εὐαγόραν εἰς Κύπρον, ἡ δὲ Πάραλος εἰς τὰς Ἀθήνας, ἀπαγγέλ-
30 λουσα τὰ γεγονότα. Λύσανδρος δὲ τάς τε ναῦς καὶ τοὺς αἰχμαλώτους καὶ τἆλλα πάντα εἰς Λάμψακον ἀπήγαγεν, ἔλαβε δὲ καὶ τῶν στρατηγῶν ἄλλους τε καὶ Φιλοκλέα καὶ Ἀδείμαντον. Ἧι δ' ἡμέρᾳ ταῦτα κατειρ-

§. 28. B. om. *ἰδών*.— Dind. II. III. bis *ἐσήμηνε* V. ad I, 1, 2. — *ὄντων* post *τῶν ἀνθρώπων* om. Dind. II. III. cum B. D.; Meibom. mavult *πάντων*. — *ἀθρόαι* inseruit Dind. II. III. cum B. — *ξυνέλεξαν* Weisk. Schneid. II. Dind. mutaverunt in *ξυνέλεξεν*. — Vulg. *τὰ χείδρια* correxit Leoncl. in *τειχύδρια*, quod dant B. D. Vict.

et quales ignoramus — *αὐτοὶ* me recepturum fuisse confiteor, quia, ut recte monent Sauppius et Schwidopius, huius quidem pronominis nominativus in hoc dicendi genere apud Xenophontem praevalet.

§. 28. *Διεσκεδασμένων*] Antea additum *ὄντων* defendit Sauppius (*NN. Jahrbb.* 1833. p. 390.) cum hoc loco comparans I, 2, 2. *διεσπαρμένους ὄντας*. Et sane quidem ferri potest, quia huius loci sententiam ita accipere licet, ut non tam ipsa actio, quam status, in quo tum erant Athenienses, significetur. V. Kühner. gr. max. §. 416, 4. Nihilominus Dindorfii ratio probanda videtur, quia *ὄντων*, quod necessarium non est, sed a librario inseri facile potuit, in optimis libris abest. Accedit, quod Plutarch. Lys. 11. in iisdem verbis *ὄντων* omissum videmus: *ἦν δὲ οὐδὲν ἔργον αὐτοῦ τῆς σπουδῆς ἐσκεδασμένων τῶν ἀνθρώπων*.

*ξυνέλεξαν*] scil. Lysandri milites. Brücknerus, ut infra II, 4, 9. *ξυνειλημμένων*, sic h. l. *ξυνέλαβον* postulat. V. adn. ad II, 4, 9.

§. 29. *ἀπαγγέλλουσα*] Sola codicis E auctoritate non moveor, ut scribam *ἀπαγγελοῦσα*. Infra II, 4, 37. eadem ratione habes *ἔπεμπον—λέγοντας*, Anab. V, 4, 2. *πέμπουσι — ἐρωτῶντας*, IV, 5, 8. *διέπεμπε διδόντας*, ubi v. Kühnerum. „Saepe enim verbis motum significanti-

γάσατο, ἔπεμψε Θεόπομπον τὸν Μιλήσιον λῃστὴν εἰς Λακεδαίμονα ἀπαγγελοῦντα τὰ γεγονότα, ὃς ἀφικόμενος τριταῖος ἀπήγγειλε. Μετὰ δὲ ταῦτα Λύσανδρος 31
ἀθροίσας τοὺς ξυμμάχους ἐκέλευσε βουλεύεσθαι περὶ τῶν αἰχμαλώτων. Ἐνταῦθα δὴ κατηγορίαι ἐγίγνοντο πολλαὶ τῶν Ἀθηναίων, ἅ τε ἤδη παρανενομήκεσαν καὶ ἃ ἐψηφισμένοι ἦσαν ποιεῖν, εἰ κρατήσειαν τῇ ναυμαχίᾳ, τὴν δεξιὰν χεῖρα ἀποκόπτειν τῶν ζωγρηθέντων πάντων, καὶ ὅτι λαβόντες δύο τριήρεις, Κορινθίαν καὶ Ἀνδρίαν, τοὺς ἄνδρας ἐξ αὐτῶν πάντας κατακρημνίσειαν· Φιλοκλῆς δ' ἦν στρατηγὸς τῶν Ἀθηναίων, ὃς τούτους διέφθειρεν. Ἐλέγετο δὲ καὶ ἄλλα πολλά, 32
καὶ ἔδοξεν ἀποκτεῖναι τῶν αἰχμαλώτων ὅσοι ἦσαν Ἀθηναῖοι πλὴν Ἀδειμάντου, ὅτι μόνος ἐπελάβετο ἐν τῇ ἐκκλησίᾳ τοῦ περὶ τῆς ἀποτομῆς τῶν χειρῶν ψηφίσματος· ᾐτιάθη μέντοι ὑπό τινων προδοῦναι τὰς ναῦς. Λύσανδρος δὲ Φιλοκλέα πρῶτον ἐρωτήσας, ὃς τοὺς Ἀνδρίους καὶ Κορινθίους κατεκρήμνισε, τί εἴη ἄξιος παθεῖν ἀρξάμενος εἰς Ἕλληνας παρανομεῖν, ἀπέσφαξεν.

§. 29. C. om. τὰς ante Ἀθήνας. — Dind. recepit ἀπαγγελοῦσα, quod volebat Steph. et praebet E.
§. 31. Iunt. Cast. om. ἀθροίσας.
§. 32. Ante Schneid. II. scribebatur κατακρημνίσειε; κατεκρήμνισε est in B. C. D. et a pr. m. in E.

bus adiungitur participium praesentis, quo actio notatur, quae nondum quidem fit, sed tamen aut reapse incipitur aut mente instituitur." Buttmann. gr. §. 144, 3. adn. 4. Codicis E. scriptura sine dubio orta est ex eo, quod mox sequitur ἀπαγγελοῦντα, quanquam hic locus ab illo differt eo, quod ne antecedit quidem ἔπεμψε, sed ἀπέπλευσε, ita ut ἀπαγγέλλουσα simpliciter significet: quae nuntiabat.

§. 31. τὴν δεξιὰν χεῖρα] Plutarch. Lys. 9: ἔπεισε ψηφίσασθαι τὸν δῆμον ἀποκόπτειν τὸν δεξιὸν ἀντίχειρα τῶν ἁλισκομένων, ὅπως δόρυ μὲν φέρειν μὴ δύνωνται, κώπην δ' ἐλαύνωσι. Inde, coll. etiam Cic. de Off. III, 11., Schneiderus scribendum opinatur τὸν δεξιὸν ἀντίχειρα.

## CAPUT II.

### ARGUMENTUM.

**Paralus navis quum nuntium de calamitate pertulisset Athenas, cives omnia parant, ut certam obsidionem tolerarent. Mox a Pausania Lacedaemoniorum rege et Lysandro terra marique diu obsessis, quum multi fame morerentur, pax convenit his legibus, ut naves nonnisi duodecim haberent, exsules revocarent, diruerent muros longos et Lacedaemoniis omne imperium traderent.**

---

1 *Ἐπεὶ δὲ τὰ ἐν τῇ Λαμψάκῳ κατεστήσατο, ἔπλει
ἐπὶ τὸ Βυζάντιον καὶ Καλχηδόνα. Οἱ δ' αὐτὸν ὑπε-
δέχοντο τοὺς τῶν Ἀθηναίων φρουροὺς ὑποσπόνδους
ἀφέντες. Οἱ δὲ προδόντες Ἀλκιβιάδῃ τὸ Βυζάντιον
τότε μὲν ἔφυγον εἰς τὸν Πόντον, ὕστερον δ' εἰς Ἀθή-*
2 *νας καὶ ἐγένοντο Ἀθηναῖοι. Λύσανδρος δὲ τούς τε
φρουροὺς τῶν Ἀθηναίων καὶ εἴ τινά που ἄλλον ἴδοι
Ἀθηναῖον, ἀπέπεμπεν εἰς τὰς Ἀθήνας διδοὺς ἐκεῖσε
μόνον πλέουσιν ἀσφάλειαν, ἄλλοθι δ' οὔ, εἰδώς, ὅτι,
ὅσῳ ἂν πλείους συλλεγῶσιν εἰς τὸ ἄστυ καὶ τὸν Πει-
ραιᾶ, θᾶττον τῶν ἐπιτηδείων ἔνδειαν ἔσεσθαι. Κατα-
λιπὼν δὲ Βυζαντίου καὶ Καλχηδόνος Σθενέλαον ἁρ-
μοστὴν Λάκωνα, αὐτὸς ἀποπλεύσας εἰς Λάμψακον τὰς
ναῦς ἐπεσκεύαζεν.*
3 *Ἐν δὲ ταῖς Ἀθήναις, τῆς Παράλου ἀφικομένης
νυκτός, ἐλέγετο ἡ ξυμφορά, καὶ οἰμωγὴ ἐκ τοῦ Πειραι-*

Cap. II. §. 1. In B. post *Βυζάντιον* lacuna est duodeviginti verborum. — *Καλχηδόνα* Dind. II. III., antea *Χαλκ.*

§. 2. Hertlin. (Progr. Werth. 1845. p. 15 seq.), postulat *ἄλλοσε* pro *ἄλλοθι.* — Steph. et Leoncl. deleri volebant *ὅτι*, quod om. C. — *Καλχηδ.* ut §. 1.

§. 3. Art. *ἡ* ante *οἰμωγὴ* delevi cum B. C. D. E. Vict. —

Cap. II. §. 1. *Οἱ δὲ προδόντες*] De re v. I, 3, 16.

§. 2. *ἄλλοθι*] referendum ad *διδοὺς* — *ἀσφάλειαν*, non ad *πλέουσιν.*

*εἰδώς, ὅτι — ἔσεσθαι*] Sic infra III, 4, 27: *τοιῷδε λογισμῷ, ὡς, εἰ — ἄρχοι, τό τε πεζὸν πολὺ ἂν ἰσχυρότερον εἶναι.* Anab. VII, 5, 8: *ἀεὶ ἐμέμνητο, ὡς, ἐπειδὰν — ἀπέλθῃ, παραδώσειν αὐτῷ Βισάνθην*, atque nulla inter coniunctionem et infinitivum interposita enuntiatione Cyrop. III, 1, 22: *λέγω, ὡς τὸ γνῶναι μόνον τοὺς βελ-*

ὥς διὰ τῶν μακρῶν τειχῶν εἰς ἄστυ διῆκεν, ὁ ἕτερος τῷ ἑτέρῳ παραγγέλλων· ὥςτ' ἐκείνης τῆς νυκτὸς οὐδεὶς ἐκοιμήθη, οὐ μόνον τοὺς ἀπολωλότας πενθοῦντες, ἀλλὰ πολὺ μᾶλλον ἔτι αὐτοὶ ἑαυτούς, πείσεσθαι νομίζοντες οἷα ἐποίησαν Μηλίους τε Λακεδαιμονίων ἀποίκους ὄντας κρατήσαντες πολιορκίᾳ καὶ Ἱστιαιέας καὶ Σκιωναίους καὶ Τορωναίους καὶ Αἰγινήτας καὶ ἄλλους πολλοὺς τῶν Ἑλλήνων. Τῇ δ' ὑστεραίᾳ ἐκ- 4
κλησίαν ἐποίησαν, ἐν ᾗ ἔδοξε τούς τε λιμένας ἀποχῶσαι πλὴν ἑνὸς καὶ τὰ τείχη εὐτρεπίζειν καὶ φυλακὰς ἐφιστάναι καὶ τἆλλα πάντα ὡς εἰς πολιορκίαν παρασκευάζειν τὴν πόλιν. Καὶ οὗτοι μὲν περὶ ταῦτα ἦσαν.

Λύσανδρος δ' ἐκ τοῦ Ἑλλησπόντου ναυσὶ δια- 5
κοσίαις ἀφικόμενος εἰς Λέσβον κατεσκευάσατο τάς τε ἄλλας πόλεις ἐν αὐτῇ καὶ Μιτυλήνην· εἰς δὲ τὰ ἐπὶ Θρᾴκης χωρία ἔπεμψε δέκα τριήρεις ἔχοντα Ἐτεόνικον, ὃς τὰ ἐκεῖ πάντα πρὸς Λακεδαιμονίους μετέστησεν. Εὐθὺς δὲ καὶ ἡ ἄλλη Ἑλλὰς ἀφειστήκει Ἀθηναίων 6
μετὰ τὴν ναυμαχίαν πλὴν Σαμίων· οὗτοι δὲ σφαγὰς

Ante Weisk. edebatur ὥςτε κείνης; ὥςτ' ἐκείνης dat Vict. — μᾶλλον ἔτι B. D. E. Vict. Dind. II. III. pro ἔτι μᾶλλον. — αὐτοὶ Weisk. Schneid. II. Dind. I. ponunt post οἷα. — A. B. C. D. E. et edd. ante Schneid. Ἱστιέας.

§. 5. Λέσβον pro τὴν Λέσβον B. C. D. E. Vict. Dind.

τίονας σωφρονίζειν. Infra VI, 5, 42: ἐλπίζειν δὲ χρή, ὡς ἄνδρας ἀγαθοὺς μᾶλλον ἢ κακοὺς αὐτοὺς γενήσεσθαι. V. Kühner. gr. max. §. 771, 5. b. Matth. gr. §. 539, 1. Rost. gr. schol. §. 184. adn. 12.

§. 3. ὁ ἕτερος τῷ ἑτέρῳ παραγγέλλων] Quasi antecessisset ᾤμωζον. De appositione partitiva quam vocant v. Kühner. gr. schol. §. 266, 3. Rost. gr. schol. §. 154, 4. b. V. adn. ad Oecon. VII, 28: τὸ ζεῦγος ὠφελιμώτερον ἑαυτῷ γεγένηται, ἃ τὸ ἕτερον ἐλλείπεται τὸ ἕτερον δυνάμενον. Supra II, 1, 4.

οὐδεὶς — πενθοῦντες] De numerorum synesi v. Rost. gr. schol. §. 148. adn. 2. Kühner. gr. schol. §. 241, 1. Buttmann. §. 129. adn. 12.

αὐτοὶ ἑαυτούς] Hic αὐτοὶ aptissime collocatum est. Duplici enim ratione Athenienses opponuntur aliis. Primum dicitur non solum alios, sed ipsos Athenienses vidisse, quid passuri essent, deinde iam ipsis Atheniensibus eandem sortem parari, quam parassent Meliis, Histiaeis etc. De Meliis v. Thucyd. V, 116., de Histiaeis I, 14., de Scionaeis V, 32., de Toronaeis V, 3., de Aeginetis I, 108. et maxime II, 27. V, 57.

§. 5. κατεσκευάσατο] Formam civitatis constituit decemviralem. V. Plutarch. Lys. 13. Isocr. Paneg. 32. SCHNEID.

7 τῶν γνωρίμων ποιήσαντες κατεῖχον τὴν πόλιν. Λύ-
σανδρος δὲ μετὰ ταῦτα ἔπεμψε πρὸς Ἆγιν τε εἰς Δε-
κέλειαν καὶ εἰς Λακεδαίμονα, ὅτι προςπλεῖ σὺν δια-
κοσίαις ναυσί. Λακεδαιμόνιοι δὲ ἐξῄεσαν πανδημεὶ καὶ
οἱ ἄλλοι Πελοποννήσιοι πλὴν Ἀργείων, παραγγείλαν-
τος τοῦ ἑτέρου Λακεδαιμονίων βασιλέως Παυσανίου.
8 Ἐπεὶ δ' ἅπαντες ἠθροίσθησαν, ἀναλαβὼν αὐτοὺς πρὸς
τὴν πόλιν ἐστρατοπέδευσεν ἐν τῇ Ἀκαδημίᾳ τῷ κα-
9 λουμένῳ γυμνασίῳ. Λύσανδρος δὲ ἀφικόμενος εἰς Αἴ-
γιναν ἀπέδωκε τὴν πόλιν Αἰγινήταις, ὅσους ἐδύνατο
πλείστους ἀθροίσας αὐτῶν, ὡς δ' αὔτως καὶ Μηλί-
οις καὶ τοῖς ἄλλοις, ὅσοι τῆς αὐτῶν ἐστέροντο. Μετὰ
δὲ τοῦτο δῃώσας Σαλαμῖνα ὡρμίσατο πρὸς τὸν Πει-
ραιᾶ ναυσὶ πεντήκοντα καὶ ἑκατόν, καὶ τὰ πλοῖα
εἶργε τοῦ εἴςπλου.

10 Οἱ δ' Ἀθηναῖοι πολιορκούμενοι κατὰ γῆν καὶ

§. 7. καὶ ante εἰς Δεκ. deleverunt Schneid. II. Dind. cum B. D. C. Vict.

§. 8. Ἐπεὶ δ' A. B. C. D. E. Dind. II. III. pro Ἐπεὶ δέ. — Dind. III. Ἀκαδημείᾳ; Krüger. (Dion. Hal. p. 306.) legendum putat ἐν τῷ Ἀκ. καλουμένῳ γυμν.

§. 9. εἰς Αἴγιναν pro πρὸς Αἴγ. B. D. Y. Vict. Dind. —

§. 6. γνωρίμων] Plutarch. Nic. 2. τοὺς πλουσίους καὶ γνωρίμους opponit τῷ δήμῳ. Aristot. Polit. IV, 3. et 8. eosdem vocat καλοὺς κἀγαθούς.

§. 7. ἔπεμψε — ὅτι] i. e. ἔπεμψε λέγοντα vel ἔπεμψεν ἀγγέλλοντα — ὅτι. De sequenti indicativo v. ad §. 17.

πλὴν Ἀργείων] De his v. II, 4, 1.

§. 8. ἐν τῇ Ἀκαδημίᾳ τῷ καλουμένῳ γυμνασίῳ] Schneiderus quum mallet legere ἐν τῇ καλουμένῃ Ἀκαδημίᾳ τῷ γυμνασίῳ, seclusit verba τῷ καλουμένῳ γυμνασίῳ, quae Wolfius ex glossa fluxisse putabat. Sed Hertlinius (Progr. Werth. 1845. p. 16.) vulgatam lectionem defendit interpretans: „in gymnasio, cui Academiae est nomen". De articuli usu post appellandi verba praedicato additi citat Matth. gr. §. 268. Herodot. V, 77: οἱ δὲ ἱπποβόται ἐκαλέοντο οἱ παχέες τῶν Χαλκιδέων, Thucyd. II, 25: τὸν Ἰχθῦν καλούμενον τὴν ἄκραν, Arrian. Anab. II, 20, 4: εἰς τὸν Ἀντιλίβανον καλούμενον τὸ ὄρος, Diodor. XIV, 27: μέχρι τοῦ τῶν Καρδούχων καλουμένου ἔθνους, Polyb. I, 85, 7: περὶ τὸν τόπον τὸν Πρίονα καλούμενον. Quodsi vero quis exspectet ἐν τῷ τῇ Ἀκ. καλ. γυμν., comparari iubet Hier. 4, 5: τῷ μιαιφόνῳ μηδὲ τὸν συνόντα, et delegat ad Kühner. ad Comment. I, 6, 13. Sed omnes hi loci nostro loco non prorsus sunt similes. Desideramus exemplum, ubi verbi appellandi participio, cui articulus additur, antecedat praedicatum. Nam ut nunc verba posita sunt, nemo non dativum τῇ Ἀκαδημίᾳ iungit cum praepositione ἐν. Itaque dubitatio quaedam relinquitur, an τῷ delendum sit, vel, id quod mihi magis placet,

κατὰ θάλατταν ἠπόρουν, τί χρὴ ποιεῖν, οὔτε νεῶν οὔτε συμμάχων αὐτοῖς ὄντων οὔτε σίτου· ἐνόμιζον δ' οὐδεμίαν εἶναι σωτηρίαν, εἰ μὴ παθεῖν ἃ οὐ τιμωρούμενοι ἐποίησαν, ἀλλὰ διὰ τὴν ὕβριν ἠδίκουν ἀνθρώπους μικροπολίτας, οὐδ' ἐπὶ μιᾷ αἰτίᾳ ἑτέρᾳ ἢ ὅτι ἐκείνοις συνεμάχουν. Διὰ ταῦτα τοὺς ἀτίμους 11
ἐπιτίμους ποιήσαντες ἐκαρτέρουν καί, ἀποθνησκόντων ἐν τῇ πόλει λιμῷ πολλῶν, οὐ διελέγοντο περὶ διαλλαγῆς. Ἐπεὶ δὲ παντελῶς ἤδη ὁ σῖτος ἐπιλελοίπει, ἔπεμψαν πρέσβεις παρὰ Ἆγιν, βουλόμενοι ξύμμαχοι εἶναι Λακεδαιμονίοις ἔχοντες τὰ τείχη καὶ τὸν Πειραιᾶ, καὶ ἐπὶ τούτοις ξυνθήκας ποιεῖσθαι. Ὁ δὲ αὐτοὺς εἰς 12
Λακεδαίμονα ἐκέλευεν ἰέναι· οὐ γὰρ εἶναι κύριος αὐτός. Ἐπεὶ δ' ἀπήγγειλαν οἱ πρέσβεις ταῦτα τοῖς Ἀθηναίοις, ἔπεμψαν αὐτοὺς εἰς Λακεδαίμονα. Οἱ δ' ἐπεὶ 13
ἦσαν ἐν Σελλασίᾳ (πλησίον) τῆς Λακωνικῆς καὶ ἐπύ-

ἐδύνατο pro ἠδ. B. D. E. Vict. Dind. — B. αὐτῶν ἀθροίσας. — αὕτως pro αὔτως restituit Dind. — τῆς αὐτῶν pro τῶν αὐτῶν, quod tuetur Schwidop., dant B. D. C. Vict. Dind. — Cast. ἐστερέοντο et ὡρμήσατο.

§. 10. E. Dind. III. τοῦ μὴ pro εἰ μή.

§. 11. B. Dind. III. ἐπελελοίπει, v. ad I, 5, 10.

verba τῷ καλουμένῳ γυμνασίῳ pro glossemate sint habenda. — Quod attinet ad scripturam Ἀκαδημία, haec confirmatur h. l. et VI, 5, 49. omnibus codicibus; item duobus ceteris locis Xenophonteis, ubi hoc vocabulum reperitur: Hipparch. III, 1. et 14., nisi quod postremo loco solus margo cod. Vratisl. exhibet Ἀκαδημεία.

§. 9. τῆς αὐτῶν] Dindorfius affert Thucyd. VIII, 6: Καλλίγειτος καὶ Τιμαγόρας, φυγάδες τῆς ἑαυτῶν ἀμφότεροι.

ἐστέροντο] privati erant.

§. 10. εἰ μὴ παθεῖν] Verba οὐ τιμωρούμενοι, ἀλλὰ διὰ τὴν ὕβριν, magis Xenophontis quam Atheniensium ex mente dicta esse animadvertit Krügerus (*Histor. phil. Stud.* p. 253 seqq.) col. Thucyd. V, 85 seqq. Igitur, si non irrisionem, ut censet Spillerus (Quaest. de Xen. hist. gr. spec. p. 33.), tamen ironiam quandam auctoris produnt haec et quae dicta sunt §. 3. Hac de causa non dubitavi meliorum codicum revocare lectionem, praesertim quum urbis deditione σωτηρίαν quandam revera nacti sunt; etenim, si se non dedidissent, qui in urbe erant fame et morbis periissent omnes. Cf. verba Theramenis II, 3, 41.

οὐ τιμωρούμενοι] ut nunc Lacedaemonii, qui his verbis quodammodo excusantur.

ἠδίκουν] i. e. fecerant. Krüger. ad Dion. Hal. p. 304. Cf. supra I, 7, 20.

§. 11. ἀτίμους] V. Hermann. *Gr. Staatsalterth.* §. 124.

§. 13. (πλησίον) τῆς Λακωνικῆς] Polybius XVI, 21. exercitum pernoctasse ait ad Sellasiam, ut mane posset Laconicam incursare. Contra Pausanias II, 38. III, 1. in ipsa La-

ἤθοντο οἱ ἔφοροι αὐτῶν ἃ ἔλεγον ὄντα οἷάπερ καὶ
πρὸς Ἆγιν, αὐτόθεν αὐτοὺς ἐκέλευον ἀπιέναι, καὶ εἴ
14 τι δέονται εἰρήνης, κάλλιον ἥκειν βουλευσαμένους. Οἱ
δὲ πρέσβεις ἐπεὶ ἧκον οἴκαδε καὶ ἀπήγγειλαν ταῦτα
εἰς τὴν πόλιν, ἀθυμία ἐνέπεσε πᾶσιν· ᾤοντο γὰρ ἀν-
δραποδισθήσεσθαι, καὶ ἕως ἂν πέμπωσιν ἑτέρους πρέ-
15 σβεις, πολλοὺς τῷ λιμῷ ἀπολεῖσθαι. Περὶ δὲ τῶν τει-
χῶν τῆς καθαιρέσεως οὐδεὶς ἐβούλετο ξυμβουλεύειν·
Ἀρχέστρατος γὰρ εἰπὼν ἐν τῇ βουλῇ Λακεδαιμονίοις
κράτιστον εἶναι ἐφ᾽ οἷς προὐκαλοῦντο εἰρήνην ποιεῖ-
σθαι, ἐδέθη· προὐκαλοῦντο δὲ τῶν μακρῶν τειχῶν
ἐπὶ δέκα σταδίους καθελεῖν ἑκατέρου· ἐγένετο δὲ ψή-
16 φισμα μὴ ἐξεῖναι περὶ τούτων ξυμβουλεύειν. Τοιού-
των δὲ ὄντων, Θηραμένης εἶπεν ἐν ἐκκλησίᾳ, ὅτι, εἰ
βούλονται αὐτὸν πέμψαι παρὰ Λύσανδρον, εἰδὼς ἥξει
Λακεδαιμονίους, πότερον ἐξανδραποδίσασθαι τὴν πό-

§. 13. οἱ ἔφοροι αὐτῶν B. D. Vict. Dind. pro αὐτῶν οἱ ἔφ. — αὐτόθεν om. Iunt. Cast.

§. 15. ἐβούλετο B. C. D. E. Vict. Cast. Dind. pro ἠβ. — A. B. C. E. προεκαλοῦντο, mox idem A. C. E; προὐκαλοῦντο dederunt Schneid. H. Dind. — E. om. δὲ τῶν μακρῶν τειχῶν. — ἑκατέρου B. D. margg. Steph. et Leoncl. Schneid. II. Dind. pro ἑκάτερον.

conica ponere videtur Sellasiam. SCHN.

*αὐτόθεν*] *auf der Stelle.*

§. 15. *ἑκατέρου*] Lys. cont. Agor. §. 8: *εἰ κατασκαφείη τῶν τειχῶν τῶν μακρῶν ἐπὶ δέκα στάδια ἑκατέρου*, scil. *τοῦ βορείου καὶ τοῦ νοτίου τείχους.*

§. 16. *Τοιούτων δὲ ὄντων*] Haec explicanda sunt ex illo usu, quo participii absolute positi subiectum saepe omittitur, de quo v. ad I, 2, 29. Non aliter se habent Anab. III, 1, 40. *οὕτω γ᾽ ἐχόντων*, ibid. 2, 10. *οὕτω δ᾽ ἐχόντων*; nam haec ipsa verba idem fere valent quod *τοιούτων — ὄντων*, si quidem, ut per se patet, *τοιούτων* est praedicatum. Quare frustra quod est Anab. II, 5, 12. *τούτων δὲ ὄντων* hic reponendum censet Schmidtius in progr. Stettin. 1831. p. 10.

*παρὰ Λύσανδρον*] qui tum erat in Asia. V. Plutarch. Lys. 14.

*καὶ πλείω*] Dindorfium, qui *πλεῖον* necessarium esse commonstrare studuit, accurate refellit G. Sauppius in Annal. Lips. 1833. VII. p. 390 seq. cl. Plat. Menex. p. 379. ed. Bekk.: *ἡμέρας πλείω ἢ τρεῖς.* V. eundem Sauppium ad Comment. III, 11, 3.

*ἐπιτηρῶν, ὁπότε*] i. e. *τὸν καιρὸν φυλάττων, ἐν ᾧ —.* Pertinet ad illum usum, quo dicitur *μέμνημαι ὅτε*, de quo v. ad Oecon. XI, 10. Kühner. gr. max. §. 771, 6. Buttm. §. 139. g. adn. 2. Rost. gr. schol. §. 179, 7.

*ἅπαντα ὅ τι*] V. gramm. §. 3. ad *οὐδεὶς — πενθοῦντες* citatas. Aristoph. Nub. 348: *γίγνονται πάντ᾽ ὅ τι βούλονται.*

λιν βουλόμενοι ἀντέχουσι περὶ τῶν τειχῶν ἢ πίστεως ἕνεκα. Πεμφθεὶς δὲ διέτριβε παρὰ Λυσάνδρῳ τρεῖς μῆνας καὶ πλείω, ἐπιτηρῶν, ὁπότε Ἀθηναῖοι ἔμελλον διὰ τὸ ἐπιλελοιπέναι τὸν σῖτον ἅπαντα ὅ τι τις λέγοι ὁμολογήσειν. Ἐπεὶ δὲ ἧκε τετάρτῳ μηνί, ἀπήγγειλεν 17
ἐν ἐκκλησίᾳ, ὅτι αὐτὸν Λύσανδρος τέως μὲν κατέχει, εἶτα κελεύει εἰς Λακεδαίμονα ἰέναι· οὐ γὰρ εἶναι κύριος ὧν ἐρωτῷτο ὑπ' αὐτοῦ, ἀλλὰ τοὺς ἐφόρους. Μετὰ ταῦτα ᾑρέθη πρεσβευτὴς εἰς Λακεδαίμονα αὐτοκράτωρ δέκατος αὐτός. Λύσανδρος δὲ τοῖς ἐφόροις 18
ἔπεμψεν ἀγγελοῦντα μετ' ἄλλων Λακεδαιμονίων Ἀριστοτέλην, φυγάδα Ἀθηναῖον ὄντα, ὅτι ἀποκρίναιτο Θηραμένει κείνους κυρίους εἶναι εἰρήνης καὶ πολέμου. Θηραμένης δὲ καὶ οἱ ἄλλοι πρέσβεις ἐπεὶ ἦσαν 19
ἐν Σελλασίᾳ, ἐρωτώμενοι δὲ, ἐπὶ τίνι λόγῳ ἥκοιεν, εἶπον, ὅτι αὐτοκράτορες περὶ εἰρήνης, μετὰ ταῦτα οἱ

§. 16. εἶπεν ἐν ἐκκλ. dedi ex B. pro ἐν ἐκκλ. εἶπεν. — Vulg. ἀνέχουσι corr. Schneid.— Dind. III. καὶ πλεῖον. — E. λέγει.

§. 17. τῷ ante τετάρτῳ om. B. D. Vict. Dind. — E. Schneid. II. Dind. κατέχοι.— Schwidop. postulat εἶτα δέ. — E. Schneid. II. Dind. κελεύοι.

§. 18. Weisk. Dind. II. III. ἐκείνους.

§. 19. δὲ post ἐρωτώμενοι addunt B. D. Vict. Schneid. II. Dind.

De re hic narrata cf. Lys. in Agor. p. 119.

§. 17. τετάρτῳ μηνί] exeunte mense Martio anni 404. V. Plutarch. Lys. 15. Sievers. Comm. hist. p. 107.

κατέχει — κελεύει] Non dubitabam revocare indicativos, praesertim quum cod. B. altero tantum loco praebeat optativum. Praesens historicum in secundariis quoque enuntiationibus usurpatur. Supra I, 7, 5. II, 2, 7. Anab. I, 8, 1: ἐβόα —, ὅτι βασιλεὺς προςέρχεται. Supra §. 7. Propius etiam ad nostrum accedit locum Arrian. de Ven. VII, 2: ἤδη δὲ ἔγνων κύνα, ἥτις — διεδήλου, ὅτι ἀνιᾶται, οἴκοι μένουσα. „Amant enim Graeci pro sua ingenii mobilitate res praeteritas in ipsam praesentiam adducere, quo propius possint earum quasi ad vivum expressam imaginem intueri." HAAS. ad de Rep. Lac. II, 8. Heind. ad Plat. Protag. p. 320. D. Kühner. gr. schol. §. 255, 1. Rost. gr. schol. §. 151, 3, 1. Buttm. §. 137. adn. 7. Eadem natura est infinitivi praesentis, de quo v. ad Oecon. IV, 20. Ages. II, 25., supra I, 3, 19.

εἶτα] In εἶτα simul particulae δέ vim latere notum est. V. ad Oecon. V, 5.

οὐ γὰρ εἶναι] φάναι scil., quod verbum intelligas ex antecedenti κελεύει.

ᾑρέθη — εἰς Λακεδαίμονα] V. adn. ad I, 1, 23.

δέκατος αὐτός] i. e. cum aliis novem. Thucyd. I, 116. δεκάτον αὐτοῦ. III, 3. τρίτος αὐτός. Plutarch. Demosth. 16. πρεσβεύων δέκατος, non addito αὐτός.

ἔφοροι καλεῖν ἐκέλευον. Ἐπεὶ δ' ἧκον, ἐκκλησίαν ἐποίη-
σαν, ἐν ᾗ ἀντέλεγον Κορίνθιοι καὶ Θηβαῖοι μάλιστα,
πολλοὶ δὲ καὶ ἄλλοι τῶν Ἑλλήνων, μὴ σπένδεσθαι
20 Ἀθηναίοις, ἀλλ' ἐξαιρεῖν. Λακεδαιμόνιοι δὲ οὐκ ἔφα-
σαν πόλιν Ἑλληνίδα ἀνδραποδιεῖν, μέγα ἀγαθὸν εἰρ-
γασμένην ἐν τοῖς μεγίστοις κινδύνοις γενομένοις τῇ
Ἑλλάδι, ἀλλ' ἐποιοῦντο εἰρήνην, ἐφ' ᾧ τά τε μακρὰ
τείχη καὶ τὸν Πειραιᾶ καθελόντας καὶ τὰς ναῦς πλὴν
δώδεκα παραδόντας καὶ τοὺς φυγάδας καθέντας, τὸν
αὐτὸν ἐχθρὸν καὶ φίλον νομίζοντας Λακεδαιμονίοις
ἕπεσθαι καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, ὅποι ἂν
21 ἡγῶνται. Θηραμένης δὲ καὶ οἱ σὺν αὐτῷ πρέσβεις
ἐπανεφέροντο ταῦτα εἰς τὰς Ἀθήνας. Εἰσιόντας δ'
αὐτοὺς ὄχλος περιεχεῖτο πολύς, φοβούμενοι, μὴ ἄπρα-
κτοι ἥκοιεν· οὐ γὰρ ἔτι ἐνεχώρει μέλλειν διὰ τὸ πλῆ-

Post ἐκέλευον inserunt αὐτούς E. marg. Leoncl. Schneid. II. Dind. I. II.; Dind. III. uncinis seclusit.

§. 20. A. Ald. Iunt. Bryl. Cast. γενομένην (pro γενομένοις), quod recepit, suadente Zeunio, Weiskius, secluso εἰργασμένην. —

§. 19. ἐκέλευον] αὐτούς, quo non opus est, delevi, quia abest in optimis codd.

ἐξαιρεῖν] sc. τὴν πόλιν. Hic et antecedens infinitivus suspensus est a notione iubendi, quae latet in ἀντέλεγον. De re cf. Plutarch. Lys. 15.

§. 20. Λακεδαιμόνιοι] Auctore Aristide or. Leuctr. p. 120. Lacedaemoniorum tum aliquis dixisse ferebatur satius esse servare Athenas incolumes, ne Ἑλλὰς fieret ἑτερόφθαλμος.

μέγα ἀγαθὸν — τῇ Ἑλλάδι] Classenius haec verba habet pro insiticiis. Magis placeret Zeunii opinio, nisi obstarent codices.

ἐποιοῦντο εἰρήνην] Actum publicum, quo pacis conditiones continebantur, exstat apud Plutarch. Lys. 14. V. Sievers. Comm. hist. p. 93.

καθελόντας — νομίζοντας] Participia aoristi posita sunt de iis rebus, quae peragendae sunt, antequam pax fiat, praesentis participium de iis, quae ad futur. tempus pertinent.

πλὴν δώδεκα] Diodorus XIII, 107. solas decem et quidem longas naves concessas esse narrat. In conditionibus, ut Andocides de pace p. 95. tradit, fuit etiam: τῶν πόλεων πασῶν ἐκχωρῆσαι.

καθέντας] Καθιέναι de exsulibus dicitur, ut κατέρχεσθαι et κατιέναι. Sunt quidem aliquot loci, quibus verbi ἄγειν aor. I. inveniatur, ut Thucyd. II, 97. προσῆξαν., Antiph. de c. Her. p. 134, 46. ἄξαι, sed hanc ob causam Classenius h. l. κατάξαντας, revocare non debebat. Manifeste rarioris verbi καθέντας illud, quod non nisi in peioribus libris exstat, interpretamentum est.

§. 22. δέχεσθαι τὴν εἰρήνην] Hoc factum est die XVI Munychionis mensis ol. 93, 4., i. e. exeunte Martio a. 404. a. Chr. V. Sievers. p. 45.

§. 23. ὑπ' αὐλητρίδων] ad tibicines. Usitatius esset ὑπ' αὐλῶν. Non dissimile est apud Herodot. IX, 98: ὑπὸ κήρυκος προηγόρευε. Cf. Xen. de Rep.

θος τῶν ἀπολλυμένων τῷ λιμῷ. Τῇ δὲ ὑστεραίᾳ ἀπήγ- 22
γελλον οἱ πρέσβεις, ἐφ' οἷς οἱ Λακεδαιμόνιοι ποιοῖντο
τὴν εἰρήνην· προηγόρει δὲ αὐτῶν Θηραμένης λέγων,
ὡς χρὴ πείθεσθαι Λακεδαιμονίοις καὶ τὰ τείχη περι-
αιρεῖν. Ἀντειπόντων δέ τινων αὐτῷ, πολὺ δὲ πλειό-
νων ξυνεπαινεσάντων, ἔδοξε δέχεσθαι τὴν εἰρήνην. Μετὰ 23
δὲ ταῦτα Λύσανδρός τε κατέπλει εἰς τὸν Πειραιᾶ,
καὶ οἱ φυγάδες κατῄεσαν, καὶ τὰ τείχη κατέσκαπτον
ὑπ' αὐλητρίδων πολλῇ προθυμίᾳ, νομίζοντες ἐκείνην
τὴν ἡμέραν τῇ Ἑλλάδι ἄρχειν τῆς ἐλευθερίας.
(Καὶ ὁ ἐνιαυτὸς ἔληγεν, ἐν ᾧ μεσοῦντι Διονύ- 24
σιος ὁ Ἑρμοκράτους Συρακόσιος ἐτυράννησε, μάχῃ
μὲν πρότερον ἡττηθέντων ὑπὸ Συρακοσίων Καρχηδο-
νίων, σπάνει δὲ σίτου ἑλόντων Ἀκράγαντα, ἐκλιπόν-
των τῶν Σικελιωτῶν τὴν πόλιν.)

καθέντας pro vulg. κατάξαντας dant B. D. (C. καταθέντας) Vict. margg. Steph. et Leoncl. Dind. II. III.

§. 21. μέλλειν C. D. E. (B. μέλειν), Steph. Leoncl. Weisk. Schneid. Dind.; antea edebatur μένειν, quod est in A.

§. 22. πολὺ pro πολλῷ dant B. C. D. E. Vict. Dind.

Lac. V, 7: ὑπὸ φανοῦ — πορεύεσθαι. Kühner. gr. max. §. 617. I, 2. c. Rost. gr. max. §. 110. sub finem. De re cf. Plutarch. Lys. 15: πολλὰς μὲν ἐξ ἄστεος μετεπέμψατο αὐλητρίδας, πάσας δὲ τὰς ἐν τῷ στρατοπέδῳ συναγαγὼν τὰ τείχη κατέσκαπτε καὶ τὰς τριήρεις κατέφλεγε πρὸς τὸν αὐλόν, ἐστεφανωμένων καὶ παιζόντων ἅμα τῶν συμμάχων, ὡς ἐκείνην τὴν ἡμέραν ἄρχουσαν τῆς ἐλευθερίας. Etiam Thebarum muros sub cantu tibiarum Alexander iussit deleri, Tzetz. Chil. VII, 408. X, 413. Ceterum testibus Lysia (c. Eratosth. p. 109.), Plutarcho (Lys. 15.) et Diodoro (XIV, 3.) muri ab exercitu Peloponnesiorum demum uno vel duobus mensibus post deditam urbem eversi sunt. Eodem tempore triginta virorum tyrannis constituta est, i. e. mense Aprili vel Maio a. 404. V. ad II, 3, 2. Sievers. l. l. p. 46. 93 seq. et 95 seq.

§. 24. ἐν ᾧ μεσοῦντι — ἐτυράννησε] Hoc eo sensu dictum esse videtur, ut sit: tyrannidem occupavit, quam vim vocabulum τυραννεῖν nullo modo habet. Praeterea falsa sunt quae hic legimus. Nam teste Diodoro XIII, 109. Dionysius imperium invasit ea hieme, quae captum Agrigentum secuta est, nequaquam igitur medio anno eo, cuius exordium a veris initio statuendum est. V. Praefat. p. XXVIII seq. et XXX.

ἑλόντων Ἀκράγαντα] Hic quoque falsus est qui haec interpolavit. Agrigentum enim non B. P. anno 27., cuius finis hic indicatur, captum est, sed ol. 93, 3. (i. e. inter Iulium a. 406. et eundem mensem a. 405. a. Chr.), ut testatur Diodorus XIII, 31. Accedit, quod aperte repugnant inter se chronologiae rationes, si cum h. l. comparamus I, 5, 21. Hanc ob causam, suadente Brücknero (Progr. Suidn. 1838. p. 13.) hanc sectionem seclusi. V. etiam Sievers. p. 91.

# CAPUT III.

## ARGUMENTUM.

**Imperio Athenarum triginta viris tradito, Lysander Samum expugnat et magna e toto bello pecunia ditatus Spartam redit. Triginta viri quum leges conscribere deberent, magistratibus novis constitutis et praesidio harmostaque a Lacedaemoniis expetito, pro lubitu optimum quemque ad mortem ducebant. Critias princeps triginta virorum, qui e collegis Theramenem maxime haberet adversarium, lenius quippe sentientem, ne huic populus se applicaret, re cum reliquis composita, tria millia civium legit, qui summam rempublicam defenderent; reliquos arma tradere iubent. Hinc Theramenem in senatu Critias proditionis accusat. Egregie se defendit ille adeo, ut senatus eum absolvere velle videretur; sed calumnia usus Critias et armatis hominibus hominem ad supplicium abstrahi iubet.**

1 Τῷ δ' ἐπιόντι ἔτει (ᾧ ἦν Ὀλυμπιάς, ᾗ τὸ στά-
B. P. a. 28. διον ἐνίκα Κροκίνας Θετταλός, Ἐνδίου ἐν Σπάρτῃ ἐφορεύοντος, Πυθοδώρου δ' ἐν Ἀθήναις ἄρχοντος, ὃν Ἀθηναῖοι, ὅτι ἐν ὀλιγαρχίᾳ ᾑρέθη, οὐκ ὀνομάζουσιν,
2 ἀλλ' ἀναρχίαν τὸν ἐνιαυτὸν καλοῦσιν. Ἐγένετο δὲ αὕτη

Cap. III. §. 1. ᾧ pro ἐν ᾧ B. Dind. II. III.; Weisk. delet etiam ᾧ. — B. C. D. Vict. Κρωκίνας. — Ἐνδίου dedit Dind. III. pro Εὐδίου, quod Schneid. e margg. Steph. et Leoncl. mutavit in Εὐδίκου. — A. C. Y. Ald. Iunt. ἐν Ἀθήνῃσι.

Cap. III. §. 1. Τῷ δ' ἐπιόντι ἔτει] Ab initio belli Peloponnesiaci anno octavo et vicesimo. ᾧ ἦν Ὀλυμπιάς] Haec et sequentia verba produnt grammaticum, qui res ad constitutos archontum fastos referret. Accedit oratio ἀνακόλουθος et perperam quidem procedens. Brücknerus etiam verba Τῷ δ' ἐπιόντι spuria esse censet. Ἐνδίου] Huc ducit vulgata scriptura. Namque Ἔνδιος ephorus commemoratur Thucyd. V, 44. VIII, 6. 12. Unde consequitur, ut §. 10. quoque hoc nomen scribatur. — Ceterum auctore Lysia c. Agorat. p. 495. triginta viri omnes fuerunt inter quadringentos illos, qui a. 411. a. Chr. per quattuor menses reipublicae praeerant. V. Hinrichs l. l. p. 21. et 55. ἀναρχίαν] Haec durabat per sedecim vel septemdecim menses, per quos (v. ad II, 2, 23. et II, 4, 43.) magistratibus utebantur Athenienses non libera populi voluntate creatis. V. §. 11. Sievers. l. l. p. 47. Similiter Elei olympiades aliis ludorum praesidiis actas non numerabant, sed ἀνολυμπιάδας appellabant, ut narrat Pausan. VI, 22, 2.

ἡ ὀλιγαρχία ὧδε.) Ἔδοξε τῷ δήμῳ τριάκοντα ἄνδρας ἑλέσθαι, οἳ τοὺς πατρίους νόμους ξυγγράψουσι, καθ' οὓς πολιτεύσουσι. Καὶ ᾑρέθησαν οὗτοι· Πολυχάρης, Κριτίας, Μηλόβιος, Ἱππόλοχος, Εὐκλείδης, Ἱέρων, Μνησίλοχος, Χρέμων, Θηραμένης, Ἀρεσίας, Διοκλῆς, Φαιδρίας, Χαιρέλεως, Ἀναίτιος, Πείσων, Σοφοκλῆς, Ἐρατοσθένης, Χαρικλῆς, Ὀνομακλῆς, Θέογνις, Αἰσχίνης, Θεογένης, Κλεομήδης, Ἐρασίστρατος, Φείδων, Δρακοντίδης, Εὐμάθης, Ἀριστοτέλης, Ἱππόμαχος, Μνησιθείδης. Τούτων δὲ πραχθέντων, ἀπέπλει Λύσανδρος 3
πρὸς Σάμον, Ἆγις δ' ἐκ τῆς Δεκελείας ἀπαγαγὼν τὸ Ol. 94, 1.
πεζὸν στράτευμα διέλυσε κατὰ πόλεις ἑκάστους.

4 Κατὰ δὲ τοῦτον τὸν καιρὸν περὶ ἡλίου ἔκλειψιν Λυκόφρων ὁ Φεραῖος, βουλόμενος ἄρξαι ὅλης τῆς Θετταλίας, τοὺς ἐναντιουμένους αὐτῷ τῶν Θετταλῶν, Λαρισαίους τε καὶ ἄλλους, μάχῃ ἐνίκησε καὶ πολλοὺς ἀπέκτεινεν.

5 Ἐν δὲ τῷ αὐτῷ χρόνῳ καὶ Διονύσιος ὁ Συρακόσιος τύραννος μάχῃ ἡττηθεὶς ὑπὸ Καρχηδονίων Γέλαν καὶ Καμάριναν ἀπώλεσε. Μετ' ὀλίγον δὲ καὶ Λε-

§. 2. Vict. Dind. II. III. οἵδε pro οὗτοι. — Πολυχάρης B. D. Dind. II. III. pro Πολυάρχης.

§. 3. Τούτων δὲ B. D. Vict. Dind. II. III.; antea Τούτων δή.

§. 4. μάχῃ ἐνίκησε B. D. Dind. II. III.; antea ἐνίκ. μάχῃ.

§. 5. A. D. E. edd. ante Cast. Γέλλαν.

Sieversius autem (p. 96.) hanc anarchiam ita intelligit, ut, archontum magistratu anni 403. Iunio mense finito, novos archontes per turbulentam illam reipublicae tempestatem non fuisse creatos opinetur. Ceterum ἀναρχία vocabulum vix ante Diodorum invenitur, quem cf. XIII, 3. Voemelius, qui anarchiam inde a 7. die m. Iulii a. 404. incipere statuit, in eo lapsus est, quod novum annum a Iulio, non a mense Aprili ordiri putat. V. Praef. p. XXVI sq. et p. XXX.

§. 2. Ἔδοξε τῷ δήμῳ] Hac sollenni decreti formula abusus esse videtur Lysander, quum ab eo populus vi esset adactus. Quum enim muros destruere tardarent (v. ad II, 2, 23.), ille sub ruptae pacis praetextu per Theramenem legem curavit ferendam de re publica triginta viris tradenda; quam rogationem nisi acciperent Athenienses, ultima esse passuros minabatur. Sic populus decrevit quod iubebatur: quo facto demum muri sunt destructi. V. Sievers. l. l. p. 46. Qua ratione illi triginta creati sint, legimus apud Lys. contra Eratosth. p. 110.

Σοφοκλῆς] Non Sophocles poeta, qui iam ol. 93, 3. mortuus erat.

§. 4. περὶ ἡλίου ἔκλειψιν] quam, monente Dodwello, Septembris diei tertio assignant tabulae astronomicae.

§. 5. Ἐν δὲ τῷ αὐτῷ χρόνῳ] Pugnam, quae hic me-

*οντῖνοι Συρακοσίοις ξυνοικοῦντες ἀπέστησαν εἰς τὴν αὐτῶν πόλιν ἀπὸ Διονυσίου καὶ Συρακοσίων. Παραχρῆμα δὲ καὶ οἱ Συρακόσιοι ἱππεῖς ὑπὸ Διονυσίου εἰς Κατάνην ἀπεστάλησαν.*

6 *Οἱ δὲ Σάμιοι πολιορκούμενοι ὑπὸ Λυσάνδρου πάντῃ, ἐπεί, οὐ βουλομένων αὐτῶν τὸ πρῶτον ὁμολογεῖν, προςβάλλειν ἤδη ἔμελλεν ὁ Λύσανδρος, ὡμολόγησαν ἓν ἱμάτιον ἔχων ἕκαστος ἀπιέναι τῶν ἐλευθέ-*
7 *ρων, τὰ δ' ἄλλα παραδοῦναι· καὶ οὕτως ἐξῆλθον. Λύσανδρος δὲ τοῖς ἀρχαίοις πολίταις παραδοὺς τὴν πόλιν καὶ τὰ ἐνόντα πάντα καὶ δέκα ἄρχοντας καταστήσας φρουρεῖν ἀφῆκε τὸ τῶν ξυμμάχων ναυτικὸν κατὰ*
8 *πόλεις, ταῖς δὲ Λακωνικαῖς ναυσὶν ἀπέπλευσεν εἰς Λακεδαίμονα ἀπάγων τά τε τῶν αἰχμαλώτων νεῶν ἀκρω-*

§. 6. A. *οὐ βουλευομένων*, D. *βουλομένων*, unde Dind. *οὐ βουλομένων* dedit pro *βουλευομένων*.
§. 7. Cast. om. *τοῖς*. — *φρουρεῖν* B. C. D. E. Vict. margg. Steph. et Leoncl. Dind.; ceteri *φρουρούς*.
§. 8. C. *ἀπέπλει* pro *ἀπέπλευσεν*. — B. *ἀπαγαγών*. — *τοῦ* ante *Πειραιῶς* omisi cum B; v. 4, 26. — B. *καὶ ἔτι ἄλλο προεκτήσατο*; Vict. *ἐκτήσατο*.

moratur, narrat Diodorus XIII, 109 seq., sed pro rerum ab eo expositarum ordine, quum Dionysius victus a Carthaginiensibus dicatur ol. 93, 4., hic non esse potest nisi annus 405. a. Chr. Minoris momenti esse videtur, quod parum accurate Geloi et Camarinaei, qui in civitatem recepti erant Syracusarum, dicuntur Leontini, quum tum demum ita recte vocari possent, postquam Syracusis Leontinos secesserant, Diodor. XIII, 113. Indidem discimus equites Syracusanos Aetnam sive Catanam non missos esse a Dionysio, sed ibi refugium quaesivisse. Has ob causas hanc quoque paragraphum non a Xenophonte profectam esse suspicatur Brücknerus p. 14.

§. 7. *τοῖς ἀρχαίοις πολίταις*] Civibus antiquis, qui ab Atheniensibus fuerant eiecti, quadringentis, Thucyd. VIII, 21.

*φρουρεῖν*] Hoc mihi, ut Brücknero (*Zeitschr. f. A.-W.* 1839. no. 51.), additum esse videtur ab eo, qui *δέκα ἄρχοντας* interpretari vellet, quod ipse non intelligebat.

§. 8. *ἐλάμβανε*] Schneiderus exspectabat aoristum. Imperfectum significat passim in itinere, quod nondum confectum erat, accepisse coronas.

*οὓς — παρέδειξεν*] V. II, 1, 14.

§. 9. *εἰς ὃ ὁ ἑξάμηνος καὶ ὀκτὼ καὶ εἴκοσιν ἔτη τῷ πολέμῳ ἐτελεύτα*] Bellum si computatur ab illo Thebanorum in Plataeenses impetu, quem Thucyd. II, 2. duobus mensibus ante Pythodori archontis magistratum posuit, usque ad captas Athenas, septem fere et viginti anni conficiuntur, Thucyd. V, 26. Sin adnumerantur sex menses, quos Lysander et constituendo triginta virorum imperio et expeditioni in Samios susceptae insumpsit, scribendum erat *ἑπτά*,

τήρια καὶ τὰς ἐκ Πειραιῶς τριήρεις πλὴν δώδεκα καὶ
στεφάνους, οὓς παρὰ τῶν πόλεων ἐλάμβανε δῶρα
ἰδίᾳ, καὶ ἀργυρίου τετρακόσια καὶ ἑβδομήκοντα τά-
λαντα, ἃ περιεγένοντο τῶν φόρων, οὓς αὐτῷ Κῦρος
παρέδειξεν εἰς τὸν πόλεμον, καὶ εἴ τι ἄλλο προςεκτή-
σατο ἐν τῷ πολέμῳ. Ταῦτα δὲ πάντα Λακεδαιμονίοις 9
ἀπέδωκε, τελευτῶντος τοῦ θέρους (εἰς ὃ ὁ ἑξάμηνος
καὶ ὀκτὼ καὶ εἴκοσιν ἔτη τῷ πολέμῳ ἐτελεύτα, ἐν οἷς
ἔφοροι οἱ ἀριθμούμενοι οἵδε ἐγένοντο, Αἰνησίας πρῶ-
τος, ἐφ' οὗ ἤρξατο ὁ πόλεμος, πέμπτῳ καὶ δεκάτῳ
ἔτει τῶν μετ' Εὐβοίας ἅλωσιν τριακονταετίδων σπον-
δῶν, μετὰ δὲ τοῦτον οἵδε, Βρασίδας, Ἰσάνωρ, Σω- 10
στρατίδας, Ἔξαρχος, Ἀγησίστρατος, Ἀγγενίδας, Ὀνο-
μακλῆς, Ζεύξιππος, Πιτύας, Πλειστόλας, Κλεινόμα-

§. 9. *Ταῦτα δὲ* B. C. D. E. Vict. Dind.; ceteri *Ταῦτα δή*. — Vict. *εἰς ὃ ἑξάμ.* — Peter. legi vult *κἂν ὀκτώ*; Weissenborn. (Hellen. p. 199. n. 12.) *ἑπτὰ* vult reponi. — *οἱ* ante *ἀριθμούμενοι* addidit Schneid. II. ex B.

§. 10. Monente Heilandio Quaestt. de dial. Xen. p. 11. ex n. 1. Papias in lex. attulit *Εὔαρχος*.

non *ὀκτώ*. Facili igitur opera correcto hoc numero locus sanari posset, nisi satius esse videretur totam hanc inde a verbis *εἰς ὃ* et sequentem sectionem eidem tribuere grammatico, qui antea passim ephororum nomina Xenophonti obtrusit. V. quae de hac re dixi in Praef. p. XXVII. Quo autem modo fieri potuerit, ut in sequenti paragrapho non septem et viginti, sed undetriginta ephori enumerarentur, perspicue demonstrat Morus (Praef. p. XXIII.) Si nimirum anni numerantur olympici, per quos pugnabatur, inde ab ol. 87, 1. usque ad ol. 93, 4., conficiuntur octo et viginti anni, quibus accedunt illi sex menses. Qua in computatione interpolator eo lapsus est, quod primum annum, cuius duo tantum menses in bellum incidunt, pro pleno numeraret. Undetricesimum autem addidit ephorum, quia Lysander redisse videtur, postquam ille magistratum iam intravit. Ut enim e Thucyd. V, 36. intelligitur, ineunte auctumno (ab aequinoctio auctumnali) annus civilis Lacedaemoniorum et ephororum magistratus initium cepit. V. Ideler. chronol. I, 362. Müller. Dor. II. p. 125.

*καὶ ὀκτώ*] Peterus *καὶ* in *κἂν* mutato haec verba sic interpretatur: „hac exeunte aestate sex menses erant (s. deerant) et duodetriginta anni explerentur", sive: *„noch 6 Monate und die 28 Jahre wären vollgewesen"*: qui sensus quomodo ex verbis graecis eliciatur, equidem non video. Certe non solum „paullo durius", ut ipse confitetur V. D., sed prorsus barbare ita locutus esset Xenophon. Neque plus proficitur interpretatione Voemelii, qui (Progr. Francof. 1851. p. 4.) nostrum locum ita vertit: rediit domum Lysander praeterita aestate, qua finita belli tempus se-

χος, Ἴλαρχος, Λέων, Χαιρίλας, Πατησιάδας, Κλεοσθένης, Λυκάριος, Ἐπήρατος, Ὀνομάντιος, Ἀλεξιππίδας, Μισγολαΐδας, Ἰσίας, Ἄρακος, Εὐάρχιππος, Παντακλῆς, Πιτύας, Ἀρχύτας, Ἔνδιος, ἐφ' οὗ Λύσανδρος πράξας τὰ εἰρημένα οἴκαδε κατέπλευσεν).

11 Οἱ δὲ τριάκοντα ᾑρέθησαν μέν, ἐπεὶ τάχιστα τὰ μακρὰ τείχη καὶ τὰ περὶ τὸν Πειραιᾶ καθῃρέθη· αἱρεθέντες δὲ ἐφ' ᾧτε ξυγγράψαι νόμους, καθ' οὕστινας πολιτεύσοιντο, τούτους μὲν ἀεὶ ἔμελλον ξυγγράφειν τε καὶ ἀποδεικνύναι, βουλὴν δὲ καὶ τὰς ἄλλας ἀρχὰς
12 κατέστησαν, ὡς ἐδόκει αὐτοῖς. Ἔπειτα πρῶτον μὲν οὓς πάντες ᾔδεσαν ἐν τῇ δημοκρατίᾳ ἀπὸ συκοφαντίας ζῶντας καὶ τοῖς καλοῖς καὶ ἀγαθοῖς βαρεῖς ὄντας συλλαμβάνοντες ὑπῆγον θανάτου· καὶ ἥ τε βουλὴ ἡδέως αὐτῶν κατεψηφίζετο οἵ τε ἄλλοι, ὅσοι ξυνῄδεσαν
13 ἑαυτοῖς μὴ ὄντες τοιοῦτοι, οὐδὲν ἤχθοντο. Ἐπεὶ δὲ ἤρξαντο βουλεύεσθαι, ὅπως ἂν ἐξείη αὐτοῖς τῇ πόλει χρῆσθαι, ὅπως βούλοιντο, ἐκ τούτου πρῶτον μὲν πέμψαντες εἰς Λακεδαίμονα Αἰσχίνην τε καὶ Ἀριστοτέλην ἔπεισαν Λύσανδρον φρουροὺς σφίσι ξυμπρᾶξαι ἐλθεῖν, ἕως δὴ τοὺς πονηροὺς ἐκποδὼν ποιησάμενοι κατα-

B. C. D. Vict. margg. Steph. et Leoncl. Dind. *Χαιρίλας* pro *Χαιρίδας*, E. *Χεαιρίλας*; Heiland. l. d. scribi vult *Χαρίλας*. — Vulg. *Εὔδικος*; D. *Πρόδικος*; *Ἔνδιος* Dind. III., v. §. 1. — Cast. *ἐφ' ᾧ* pro *ἐφ' οὗ*.

§. 12. A. C. E. Ald. Iunt. om. *ὅσοι*; Cast. edidit *οἵ*. — A. C. *τοσοῦτοι* pro *τοιοῦτοι*.

§. 14. *ξυμπέμποντος* B. margg. Steph. et Leoncl. Wells.

mestre finitum est simulque 28 anni militares. Non enim *θέρη* scriptum est, sed *ἔτη*. Igitur sex menses accedere debent, sive recte 27, sive perperam 28 belli anni fuerint numerati. Accedit, quod superflue prorsus et inepte addita essent verba *εἰς ὃ ὁ ἑξάμηνος*, si nihil dicerent, nisi exeunte aestate tempus semestre finitum esse.

§. 10. *οἴκαδε κατέπλευσεν*] Plutarcho Lys.16. et Diodoro XIII, 106. testibus Gylippum cum spoliis domum misit, ipse in Thraciam abiit, unde rediit in patriam.

§. 11. *καθ' οὕςτινας*] V. Kühner. gr. max. §. 781, 4., eundem ad Comment. II, 1,30.

§.12. *συκοφαντίας*] Plutarch. de sollertia p. 137. ed. Hutt.: *ὥςπερ ἐν Ἀθήναις πρῶτός τις ὑπὸ τῶν τριάκοντα συκοφάντης ἀποθανὼν Ἐπιτήδειος ἐλέχθη καὶ δεύτερος ὁμοίως καὶ τρίτος· ἐκ τούτου δὲ κατὰ μικρὸν ἤδη προϊόντες ἥπτοντο τῶν ἐπιεικῶν, καὶ τέλος οὐδὲ τῶν ἀρίστων ἀπέσχοντο πολιτῶν.* Cf. Sallust. Cat. 50.

*ὅσοι ξυνῄδεσαν ἑαυτοῖς μὴ ὄντες τοιοῦτοι*] V. in-

στήσαιντο τὴν πολιτείαν· θρέψειν δὲ αὐτοὶ ὑπισχνοῦντο.
14 Ὁ δὲ πεισθεὶς τούς τε φρουροὺς καὶ Καλλίβιον ἁρμοστὴν ξυνέπραξεν αὐτοῖς πεμφθῆναι. Οἱ δ' ἐπεὶ τὴν φρουρὰν ἔλαβον, τὸν μὲν Καλλίβιον ἐθεράπευον πάσῃ θεραπείᾳ, ὡς πάντα ἐπαινοίη ἃ πράττοιεν, τῶν δὲ φρουρῶν τούτου ξυμπέμποντος αὐτοῖς, οὓς ἐβούλοντο ξυνελάμβανον, οὐκέτι τοὺς πονηρούς τε καὶ ὀλίγου ἀξίους, ἀλλ' ἤδη οὓς ἐνόμιζον ἥκιστα μὲν παρωθουμένους ἀνέχεσθαι, ἀντιπράττειν δέ τι ἐπιχειροῦντας πλείστους ἂν τοὺς συνεθέλοντας λαμβάνειν.
15 Τῷ μὲν οὖν πρώτῳ χρόνῳ ὁ Κριτίας τῷ Θηραμένει ὁμογνώμων τε καὶ φίλος ἦν· ἐπεὶ δὲ αὐτὸς μὲν προπετὴς ἦν ἐπὶ τὸ πολλοὺς ἀποκτείνειν, ἅτε καὶ φυγὼν ὑπὸ τοῦ δήμου, ὁ δὲ Θηραμένης ἀντέκοπτε λέγων, ὅτι οὐκ εἰκὸς εἴη θανατοῦν, εἴ τις ἐτιμᾶτο ὑπὸ τοῦ δήμου, τοὺς δὲ καλοὺς καὶ ἀγαθοὺς μηδὲν κακὸν εἰργάζετο, ἐπεὶ καὶ ἐγώ, ἔφη, καὶ σὺ πολλὰ δὴ τοῦ ἀρέσκειν ἕνεκα τῇ πόλει καὶ εἴπομεν καὶ ἐπράξαμεν·
16 ὁ δέ, ἔτι γὰρ οἰκείως ἐχρῆτο τῷ Θηραμένει, ἀντέλεγεν, ὅτι οὐκ ἐγχωροίη τοῖς πλεονεκτεῖν βουλομένοις μὴ οὐκ ἐκποδὼν ποιεῖσθαι τοὺς ἱκανωτάτους διακω-

Schneid. Weisk. Dind. pro ξυμπεσόντος. — Schaef. ἂν ἀνέχεσθαι. — συνεθέλοντας B. D., ξυνθέλοντας Y., Schneid. II. Dind. ξυνεθέλοντας, ceteri ξυνελθόντας.

§. 15. Cast. ἔπειτα pro ἐπεί. — A. Ald. Iunt. Bryl. Cast. ἐπὶ τῷ πολλούς. — ἀποκτείνειν B. C. D. Schneid. II. Dind.; vulg. ἀποκτεῖναι. — φυγὼν ὑπὸ monente Koeppenio dedit Schneid. pro φυγ. ἀπό.

fra II, 4, 17. Cyrop. III, 1, 19: *σύνοιδεν ἑαυτῷ ἐλευθερίας — ἐπιθυμήσας*. I, 6, 4: *συνειδέναι σαυτῷ δοκεῖς οὐ πώποτε ἀμελήσας αὐτῶν*. Buttmann. gr. §. 144. adn. 9. Kühner. gr. schol. §. 310. adn. 2. Rost. gr. schol. §. 184. adn. 10.

§. 13. τοὺς πονηρούς] „*die Schlechtgesinnten*", i. e. qui oligarchiae minus faverent.

§. 14. τῶν δὲ φρουρῶν] De hoc genitivo v. adn. ad Ages. I, 22., infra V, 2, 21. Adde Cyrop. II, 4, 18: *πέμπων ἐπὶ τὸν Κυαξάρην ᾔτει τῶν νεωτέρων* scil. *ἱππέων*. Rost. gr. schol. p. 413.

τούτου ξυμπέμποντος] Haec quum ad Callibium pertineant, non ad Lysandrum, scribendum videtur *πέμποντος*.

ἀνέχεσθαι] Particula ἄν non opus est, quia sequitur in altero enuntiationis membro, quod rarius quidem, sed tamen nonnunquam accidit, ut infra §. 27. V. Saupp. ad Comment. II, 1, 18.

§. 15. ἐπεὶ δέ] Apodosis deest. Excipitur oratio demum §. 18. verbis Ἐκ τούτου. V. ad I, 3, 18. De oratione obliqua in hac et seq. §. in rectam transeunte cf. I, 1, 27.

λύειν· εἰ δέ, ὅτι τριάκοντά ἐσμεν καὶ οὐχ εἷς, ἧττόν τι οἴει (ὥςπερ τυραννίδος) ταύτης τῆς ἀρχῆς χρῆναι
17 ἐπιμελεῖσθαι, εὐήθης εἶ. Ἐπεὶ δέ, ἀποθνησκόντων πολλῶν καὶ ἀδίκως, πολλοὶ δῆλοι ἦσαν ξυνιστάμενοί τε καὶ θαυμάζοντες, τί ἔσοιτο ἡ πολιτεία, πάλιν ἔλεγεν ὁ Θηραμένης, ὅτι, εἰ μή τις κοινωνοὺς ἱκανοὺς λήψοιτο τῶν πραγμάτων, ἀδύνατον ἔσοιτο τὴν ὀλιγαρ-
18 χίαν διαμένειν. Ἐκ τούτου μέντοι Κριτίας καὶ οἱ ἄλλοι τῶν τριάκοντα, ἤδη φοβούμενοι καὶ οὐχ ἥκιστα τὸν Θηραμένην, μὴ συῤῥυείησαν πρὸς αὐτὸν οἱ πολῖται, καταλέγουσι τριςχιλίους τοὺς μεθέξοντας δὴ
19 τῶν πραγμάτων. Ὁ δ' αὖ Θηραμένης καὶ πρὸς ταῦτα ἔλεγεν, ὅτι ἄτοπον δοκοίη ἑαυτῷ γε εἶναι τὸ πρῶτον μὲν βουλομένους τοὺς βελτίστους τῶν πολιτῶν κοινωνοὺς ποιήσασθαι τριςχιλίους, ὥςπερ τὸν ἀριθμὸν τοῦτον ἔχοντά τινα ἀνάγκην καλοὺς καὶ ἀγαθοὺς εἶναι, καὶ οὔτ' ἔξω τούτων σπουδαίους οὔτ' ἐντὸς τούτων πονηροὺς οἷόν τε εἴη γενέσθαι· ἔπειτα δ', ἔφη, ὁρῶ

§. 16. C. E. Ald. Iunt. τυραννίδα.
§. 18. οἱ ἐκ, quae verba vulgo leguntur post ἄλλοι et sunt non nisi in A, delevit Schneid. II.; Dind. II. III. delevit cum Vict. etiam τῶν, quod retinuerant Schneid. Dind. I. — Vulg. συῤῥύησαν Portus mutavit in συῤῥυῶσι, Schneid. Dind. I. II. in συῤῥείησαν, quod est in B. (C. συρείησαν, E. συρύησαν), Dind. III. cum Matth. Iacobs. et Schmidtio in συῤῥυείησαν.
§. 19. ἑαυτῷ γε B. D. Y. Vict. Schneid. II. Dind.; ceteri om. γε. — Post τριςχιλίους cum Leonclavio Wells. inserit κατα-

§. 16. ὥςπερ τυραννίδος] Morus interpretatur: „ut si civibus invitis et vi raptum esset." Immo contrariam desideramus sententiam: quasi non esset tyrannis. Quare aut, ut censet Iacobsius, haec verba ex interpretamento orta et delenda sunt, aut scribi necesse est ὡς μὴ τυραννίδος.
§. 18. οἱ ἄλλοι τῶν τριάκοντα] Dicuntur quidem II, 4, 21. 23. 38. τριάκοντα, etiam postquam nonnulli triginta virorum ceciderunt; sed commendatur τῶν τριάκοντα loco II, 4, 8., ubi item est Κριτίας τε καὶ οἱ ἄλλοι τῶν τριάκοντα, praesertim quum ex Gailii editione non intelligatur, num codd. B. C. D. E. τῶν praebeant, an omittant.
§. 19. κοινωνοὺς ποιήσασθαι] Haec iungenda sunt cum τριςχιλίους, ita ut ad τοὺς βελτίστους τῶν πολιτῶν illa verba cogitando debeant repeti. Dindorfius apposite comparat Anab. III, 4, 13: Τισσαφέρνης ἐπεφάνη, οὕς τε αὐτὸς ἱππέας (scil. ἔχων) ἦλθεν ἔχων καὶ τὴν Ὀρόντου δύναμιν. Adde Thucyd. I, 134: καὶ αὐτὸν ἐμέλλησαν μὲν ἐς τὸν Καιάδαν (scil. ἐμβάλλειν), οὗπερ τοὺς κακούργους ἐμβάλλειν εἰώθεσαν, quem locum affert Classenius.
ὥςπερ — ἔχοντα] V. Buttmann. §. 145. adn. 7. Rost. gr. schol. §. 182, 2. adn. 4. Kühner. gr. schol. §. 312, 6. c.

ἔγωγε δύο ἡμᾶς τὰ ἐναντιώτατα πράττοντας, βιαίαν τε
τὴν ἀρχὴν καὶ ἥττονα τῶν ἀρχομένων κατασκευαζο-
μένους. Ὁ μὲν ταῦτ' ἔλεγεν. Οἱ δ' ἐξέτασιν ποιήσαν- 20
τες τῶν μὲν τρισχιλίων ἐν τῇ ἀγορᾷ, τῶν δ' ἔξω τοῦ
καταλόγου ἄλλων ἀλλαχοῦ, ἔπειτα κελεύσαντες ἐπὶ τὰ
ὅπλα, ἐν ᾧ ἐκεῖνοι ἀπεληλύθεσαν, πέμψαντες τοὺς
φρουροὺς καὶ τῶν πολιτῶν τοὺς ὁμογνώμονας αὐτοῖς
τὰ ὅπλα πάντων πλὴν τῶν τρισχιλίων παρείλοντο, καὶ
ἀνακομίσαντες ταῦτα εἰς τὴν ἀκρόπολιν ξυνέθηκαν ἐν
τῷ ναῷ. Τούτων δὲ γενομένων, ὡς ἐξὸν ἤδη ποιεῖν 21
αὐτοῖς ὅ τι βούλοιντο, πολλοὺς μὲν ἔχθρας ἕνεκα
ἀπέκτεινον, πολλοὺς δὲ χρημάτων. Ἔδοξε δ' αὐτοῖς,
ὅπως ἔχοιεν καὶ τοῖς φρουροῖς χρήματα διδόναι, καὶ
τῶν μετοίκων ἕνα ἕκαστον λαβεῖν καὶ αὐτοὺς μὲν
ἀποκτεῖναι, τὰ δὲ χρήματα αὐτῶν ἀποσημήνασθαι.
Ἐκέλευον δὲ καὶ τὸν Θηραμένην λαβεῖν ὅντινα βούλοιτο. 22
Ὁ δ' ἀπεκρίνατο, Ἀλλ' οὐ δοκεῖ μοι, ἔφη, καλὸν
εἶναι φάσκοντας βελτίστους εἶναι ἀδικώτερα τῶν συ-

λέξασθαι. — A. Ald. Iunt. ἀνάγκη, quod cum Brod. correxit Steph. — A. Ald. Iunt. Bryl. Steph. ὁρῶ δ' ἔγωγε. — ἡμᾶς dedit Schneid. II. cum B. E. pro ὑμᾶς. — Ald. Iunt. Cast. om. τὰ ante ἐναντ.

§. 20. τῶν δ' ἔξω dedit Schneid. II. e B. C. pro τῶν δὲ ἔξω. — A. E. ἀπεληλύθησαν, quod Schneid. mutavit in ἀπεληλύθεσαν; antea ἀπεληλύθεισαν.

§. 21. B. om. μὲν post πολλοὺς et τοῖς ante φρουροῖς.

καὶ — οἷόν τ' εἴη] tanquam praecessisset ὡς εἰ ὁ ἀριθμὸς οὗτος ἔχοι.

§. 20. ἔξω τοῦ καταλόγου] Sunt iidem, quos Isocrates c. Euthynum p. 400, 2. et c. Callimachum p. 374, 16. ad τὸν μετὰ Πεισάνδρου κατάλογον pertinere ait. Fortasse, ut opinatur Sievers. p. 98., Pisandro mandatum erat a triginta viris, ut τοὺς ἔξω τοῦ καταλόγου in alias tabulas referret. Eundem catalogum Lysias p. 172, 16. dicit τὸν κατάλογον Ἀθηναίων, qui cum contemtu quodam patriae τοῖς τρισχιλίοις oppositi esse videntur Sieversio.

κελεύσαντες ἐπὶ τὰ ὅπλα] Cf. infra §. 54: ἐκέλευσε τοὺς ἕνδεκα ἐπὶ Θηραμένην. Anab. 1, 5, 13: παραγγέλλει εἰς τὰ ὅπλα. Rem Weiskius bene sic explicat: Volebant triginta illi omnes Athenienses arma sua proferre. Quod quum hi facerent, φρουροὶ illi singulis et dispersis per urbem, prout quemque armatum prodire viderant, facile arma adimebant. ἐκεῖνοι sunt igitur οἱ ἔξω τοῦ καταλόγου.

§. 21. τῶν μετοίκων] De genitivo partitivo v. adn. ad §. 14.

ἕνα ἕκαστον] τῶν τριάκοντα.

ἀποσημήνασθαι] pro-

κοφαντῶν ποιεῖν. Ἐκεῖνοι μὲν γὰρ παρ' ὧν χρήματα
λαμβάνοιεν ζῆν εἴων, ἡμεῖς δὲ ἀποκτενοῦμεν μηδὲν
ἀδικοῦντας, ἵνα χρήματα λαμβάνωμεν; πῶς οὐ ταῦτα
23 τῷ παντὶ ἐκείνων ἀδικώτερα; Οἱ δ' ἐμποδὼν νομίζοντες
αὐτὸν εἶναι τῷ ποιεῖν ὅ τι βούλοιντο, ἐπιβουλεύουσιν
αὐτῷ, καὶ ἰδίᾳ πρὸς τοὺς βουλευτὰς ἄλλος πρὸς
ἄλλον διέβαλλον ὡς λυμαινόμενον τὴν πολιτείαν. Καὶ
παραγγείλαντες νεανίσκοις, οἳ ἐδόκουν αὐτοῖς θρασύ-
τατοι εἶναι, ξιφίδια ὑπὸ μάλης ἔχοντας παραγενέσθαι
24 ξυνέλεξαν τὴν βουλήν. Ἐπεὶ δὲ ὁ Θηραμένης παρῆν,
ἀναστὰς ὁ Κριτίας ἔλεξεν·
Ὦ ἄνδρες βουλευταί, εἰ μέν τις ὑμῶν νομίζει
πλέονας τοῦ καιροῦ ἀποθνήσκειν, ἐννοησάτω, ὅτι, ὅπου
πολιτεῖαι μεθίστανται, πανταχοῦ ταῦτα γίγνεται· πλεί-
στους δ' ἀνάγκη ἐνθάδε πολεμίους εἶναι τοῖς εἰς ὀλι-
γαρχίαν μεθιστᾶσι διά τε τὸ πολυανθρωποτάτην τῶν
Ἑλληνίδων τὴν πόλιν εἶναι καὶ διὰ τὸ πλεῖστον χρό-
25 νον ἐν ἐλευθερίᾳ τὸν δῆμον τεθράφθαι. Ἡμεῖς δὲ
γνόντες μὲν τοῖς οἵοις ἡμῖν τε καὶ ὑμῖν χαλεπὴν πολι-
τείαν εἶναι δημοκρατίαν, γνόντες δὲ, ὅτι Λακεδαιμονίοις
τοῖς περισώσασιν ἡμᾶς ὁ μὲν δῆμος οὔποτ' ἂν φίλος
γένοιτο, οἱ δὲ βέλτιστοι ἀεὶ ἂν πιστοὶ διατελοῖεν, διὰ
ταῦτα σὺν τῇ Λακεδαιμονίων γνώμῃ τήνδε τὴν πολι-

§. 22. B. om. τῷ ante παντὶ et cum E. dat ἀδικοῦντες.

§. 23. παραγγείλαντες B. D. C. Vict. Cast. seqq. edd.; ceteri παρήγγειλαν. — τοῖς ante νεανίσκοις om. B. D. C. Bryl. seqq. edd. excepta Dind. III.; eodem ducit quod est in Ald. Iunt. παρήγγειλαν τοῖς νεανίσκοις.

§. 24. Cum B. omisi ὧδε, quod legebatur post ἔλεξεν. Cf. §. 35. — ἐνθάδε, quod est in B. Y., defuit ante Schneid. II.

§. 25. μὲν post γνόντες om. Ald. Iunt. Bryl. Cast. — Vulg. τοῖς οἵοις τε ἡμῖν καὶ cum Reiz. et Weiskio correxit Schneid.

scriptione publicare. Cf. 4, 13. Hanc rem accuratius narrat Lysias contra Eratosth. p. 6 seq.

§. 23. νεανίσκοις] Articulum delevi, quia de his adolescentibus nondum sermo fuit, neque unde noti sint, liquet.

§. 24. πλέονας τοῦ καιροῦ] iusto plures. Cf. infra V, 3, 5: τοῦ καιροῦ ἐγγυτέρω τοῦ τείχους. Symp. II, 19: μείζω τοῦ καιροῦ τὴν γαστέρα ἔχων.

ἀποθνήσκειν] interfici, ut II, 1, 3. V, 2, 6. VI, 4, 33.

μεθιστᾶσι] Intellige τὴν πολιτείαν.

§. 25. τοῖς οἵοις ἡμῖν τε καὶ ὑμῖν] iis qui tales sunt, quales et nos et vos sumus, i. e. et nobis et vobis, qui in tali sumus statu. V. Rost. gr. schol. p. 470.

§. 26. ἐναντίον] De omis-

τεῖαν καθίσταμεν. Καὶ ἐάν τινα αἰσθανώμεθα ἐναντίον 26
τῇ ὀλιγαρχίᾳ, ὅσον δυνάμεθα, ἐκποδὼν ποιούμεθα·
πολὺ δὲ μάλιστα ἡμῖν δοκεῖ δίκαιον εἶναι, εἴ τις ἡμῶν
αὐτῶν λυμαίνεται ταύτῃ τῇ καταστάσει, δίκην αὐτὸν
διδόναι. Νῦν οὖν αἰσθανόμεθα Θηραμένην τουτονὶ 27
οἷς δύναται ἀπολλύντα ἡμᾶς τε καὶ ὑμᾶς. Ὡς δὲ
ταῦτα ἀληθῆ, ἢν κατανοῆτε, εὑρήσετε οὔτε ψέγοντα
οὐδένα μᾶλλον Θηραμένους τουτουὶ τὰ παρόντα οὔτε
ἐναντιούμενον, ὅταν τινὰ ἐκποδὼν βουλώμεθα ποιήσασθαι τῶν δημαγωγῶν. Εἰ μὲν τοίνυν ἐξ ἀρχῆς ταῦτα
ἐγίγνωσκε, πολέμιος μὲν ἦν, οὐ μέντοι πονηρός γ' ἂν
δικαίως ἐνομίζετο· νῦν δὲ αὐτὸς μὲν ἄρξας τῆς πρὸς 28
Λακεδαιμονίους πίστεως καὶ φιλίας, αὐτὸς δὲ τῆς τοῦ δήμου καταλύσεως, μάλιστα δὲ ἐξορμήσας ὑμᾶς τοῖς πρώτοις ὑπαγομένοις εἰς ὑμᾶς δίκην ἐπιτιθέναι, νῦν, ἐπεὶ καὶ ὑμεῖς καὶ ἡμεῖς φανερῶς ἐχθροὶ τῷ δήμῳ γεγενήμεθα, οὐκέτ' αὐτῷ τὰ γιγνόμενα ἀρέσκει, ὅπως αὐτὸς μὲν αὖ ἐν τῷ ἀσφαλεῖ καταστῇ, ἡμεῖς δὲ δίκην
δῶμεν τῶν πεπραγμένων. Ὥςτε οὐ μόνον ὡς ἐχθρῷ 29
αὐτῷ προςήκει, ἀλλὰ καὶ ὡς προδότῃ ὑμῶν τε καὶ ἡμῶν διδόναι τὴν δίκην. Καίτοι τοσούτῳ μὲν δεινότερον προδοσία πολέμου, ὅσῳ χαλεπώτερον φυλάξασθαι τὸ ἀφανὲς τοῦ φανεροῦ, τοσούτῳ δ' ἔχθιον,

II., Schneid. I. cum Zeunio *οἵοις πέρ.*

§. 26. *ἐναντία*, quod habent A. E. Ald. Iunt. Mor. Weisk., mutarunt Bryl. Cast. in *ἐναντιᾶν*, Schneid. II. cum B. C. D. Vict. in *ἐναντίον*, quod iam receperat Wells. e margg. Steph. et Leoncl.; Brückner. postulat *ἐναντίον ὄντα.* — Vict. *δοκεῖ ἡμῖν.*

§. 27. *ταῦτα* ante *ἐγίγν.* om. A. C. E. Ald. Iunt. Bryl. Cast. — D. E. *ἐγίνωσκε.*

§. 28. B. C. D. *ἐξορμ. ὑμᾶς*, unde et hic et paullo post pro *ἡμᾶς* scripsi *ὑμᾶς*.

so *ὄντα* v. adn. ad Oecon. III, 11., Hier. VI, 3: *διὰ τὸ μηδεμίαν ἐνορᾶν εὔνοιαν ἐμοὶ παρ' αὐτῶν.*

§. 27. *Ὡς δὲ ταῦτα ἀληθῆ — εὑρήσετε*] Bene Dindorfius: „Post hoc sequi debebat *μαρτύριον* vel tale quid, quod latet in oratione ad iudices conversa: *ἢν κατανοῆτε, εὑρήσετε.* Infra §. 34: *ὡς δ' εἰκότα ποιοῦμεν, καὶ τάδε ἐννοήσατε.*" Adde VI, 1, 11: *εἰ δὲ εἰκότα λογίζομαι, σκόπει, ἔφη, καὶ ταῦτα.* Eodem loco, quo illis duobus locis *τάδε* et *ταῦτα*, hic sunt verba *οὔτε ψέγοντα κτλ.*

§. 28. *ὑμᾶς — εἰς ὑμᾶς*] Ita recte scribi commonstrat Brücknerus (*Zeitschr. f. A.-W.* 1839. no. 51.) Patet enim e II, 3, 12. triginta tyrannos reorum nomina detulisse senatui, hunc autem eos damnasse.

ὅσῳ πολεμίοις μὲν ἄνθρωποι καὶ σπένδονται αὖθις καὶ πιστοὶ γίνονται, ὃν δὲ προδιδόντα λαμβάνωσι, τούτῳ οὔτε ἐσπείσατο πώποτε οὐδεὶς οὔτ' ἐπίστευσε τοῦ λοιποῦ. Ἵνα δὲ εἰδῆτε, ὅτι οὐ καινὰ ταῦτα οὗτος ποιεῖ, ἀλλὰ φύσει προδότης ἐστίν, ἀναμνήσω ὑμᾶς τὰ τούτῳ πεπραγμένα. Οὗτος γὰρ ἐξ ἀρχῆς μὲν τιμώμενος ὑπὸ τοῦ δήμου κατὰ τὸν πατέρα Ἅγνωνα, προπετέστατος ἐγένετο τὴν δημοκρατίαν μεταστῆσαι εἰς τοὺς τετρακοσίους, καὶ ἐπρώτευεν ἐν ἐκείνοις. Ἐπεὶ

§. 29. Vulg. *πολέμιοι* Mor. in *πολεμίοις* mutavit; Schmidt. p. 11. *πολέμιοι* revocandum censet. — *γίνονται* scripsi cum B. C. D. E. pro *γίγν.* — *ὃν δὲ* pro *ὃν δ' ἂν* dedi ex B. D. — Vulg. *οὔτ' ἂν σπείσαιτο*; C. *οὔτε πείσαιτο*; marg. Leoncl. *οὔτε πιστεῦσαι*; *οὔτε ἐπίστευσε* B. D. Vict. Dind.

§. 30. A. C. D. E. Ald. Iunt. Bryl. Cast. *Οὗτος μὲν ἐξ ἀρχῆς τιμώμενος.* — Ante Dind. scribebatur *Ἅγνωνα.* — A. C. E. Ald. Iunt. Bryl. Cast. *ἐν* om. ante *ἐκείνοις.*

§. 29. *ὃν δὲ — λαμβάνωσι*] Non dubitabam optimorum librorum fidem hic quoque sequi. Nam quod dicunt, pronomen relativum sine *ἂν* coniungi apud poetas quidem, nonnunquam etiam apud Thucydidem et Platonem cum coniunctivo, non item apud „eos prosae orationis scriptores, qui familiarem sermonem exprimant'', hoc sana ratione carere equidem arbitror. V. Poppo. ad Cyrop. II, 2, 25., Sauppium et Kühnerum ad Comment. I, 6, 13., Rost. gr. max. §. 123. adn. 1., Kühner. gr. max. §. 796., Buttmann. §. 139. B. adn. 1. Id quod poetis tragicis, qui eadem dialecto attica utuntur, et Thucydidi conceditur, liceat oportet etiam Xenophonti, qui cur altius et supra familiaris sermonis tenuitatem surgere — si hoc in hac quaestione alicuius est momenti — non debeat, nullo modo patet. Hanc ob causam, ubi meliores codices omittunt, addi non debet particula *ἄν*. Quare iam me poenitet Hier. VII, 2. non cum codd. Lips. et Par. A. edidisse *ὅντινα ἀεὶ τιμῶντες τυγχάνωσι*. Etiam Vectig. I, 1. unum codicem B. non tanti faciam, ut scribendum *ὁποῖοί τινες ἂν οἱ προστάται ὦσι* existimem. V. Haasium ad Remp. Lac. IX, 5. De Thucydide v. Poppo. P. I. Vol. I. p. 141., eund. ad Cyrop. III, 3, 50., de Platone Schneid. ad Civit. VI, 508. D., Buttmann. ad Alcib. I, 60. V. etiam Matth. gr. §. 527. adn. 2.

§. 30. *κατὰ τὸν πατέρα*] ad exemplum patris. De Theramene, Nicia et Thucydide dicit Plutarch. Nic. 2: *καὶ πατρικὴν ἔχοντες εὔνοιαν καὶ φιλίαν πρὸς τὸν δῆμον.* Cf. Thucyd. VIII, 89 seq. Fuit autem Theramenes ab Hagnone non genitus, sed in filii locum receptus. V. schol. ad Aristoph. Ran. 540., Hinrichs. l. l. p. 33.

§. 31. *καὶ γὰρ — ἀμφότερον*] Schol. Aristoph. Ran. 47: *ὁ κόθορνος εἰς ἀμφοτέρους τοὺς πόδας ἁρμόζει, ἔνθεν καὶ Θηραμένης ἐλέγετο, ὅτι τοῖς καιροῖς καθομιλεῖν δύναται· οἱ δὲ, ὅτι ἀνδράσι καὶ γυναιξὶν ἁρμόττει. Ὁ δὲ Ξενοφῶν ἐν Ἑλληνικοῖς ἀμφοτέροις τοῖς ποσὶν ἁρμόζειν αὐτόν φησιν.* Respicere videtur scholiasta non h. l. sed §. 47. Quare cum Ruhnkenio (Dissert. de Antiph. p. 816.)

δ' ᾔσθετο ἀντίπαλόν τι τῇ ὀλιγαρχίᾳ ξυνιστάμενον, πρῶτος αὖ ἡγεμὼν τῷ δήμῳ ἐπ' ἐκείνους ἐγένετο· ὅθεν δήπου καὶ κόθορνος ἐπικαλεῖται· καὶ γὰρ ὁ κό- 31
θορνος ἁρμόττειν μὲν τοῖς ποσὶν ἀμφοτέροις δοκεῖ, ἀποβλέπει δ' ἐπ' ἀμφότερον. Δεῖ δέ, ὦ Θηράμενες, ἄνδρα τὸν ἄξιον ζῆν οὐ προάγειν μὲν δεινὸν εἶναι εἰς πράγματα τοὺς ξυνόντας, ἢν δέ τι ἀντικόπτῃ, εὐθὺς μεταβάλλεσθαι, ἀλλ' ὥςπερ ἐν νηῒ διαπονεῖσθαι, ἕως ἂν εἰς οὖρον καταστῶσιν· εἰ δὲ μή, πῶς ἀφίκοιντό

§. 31. γὰρ post δήπου, quod Mor. Schneid. Dind. secludunt, delevi; B. δήπου habet supra lineam. — Verba καὶ γὰρ — ἀμφότερον Schneid. seclusit; vulg. ἐπ' ἀμφοτέρων monentibus Port. Steph. Leoncl. in ἐπ' ἀμφότερον mutarunt Wells. Schneid. Dind. I. II.; Dind. III. cum B. C. D. Vict. scribit ἀπ' ἀμφοτέρων. — εἰς πράγματα τοὺς ξυνόντας B. C. Dind. pro τοὺς ξυν. εἰς πρ., sed B. C. dant ἐς pro εἰς. — Post πῶς Dind. III. e nescio quo cod. inserit ἄν.

et Moro, si non cuncta illa, tamen certe verba ἀποβλέπει δ' ἐπ' ἀμφότερον pro glossa habenda censeo, quae si a Xenophonte profecta essent, cum iis quae antecedunt melius sine dubio essent iuncta, fortasse sic: ὥςπερ καὶ ἐκεῖνος ἀποβλέπει ἐπ' ἀμφότερον vel potius ἐπ' ἀμφοτέρους. Cf. §. 47. Dum vero in verborum contextu locum teneant haec verba, scribendum est ἐπ' ἀμφότερον, non ἀπ' ἀμφοτέρων, quod eum sensum, quem ei tribuunt, non habet. Sauppius enim (*NN. Jahrbb.* 1833. p. 392.) et Schmidtius (Progr. Stettin. 1831. p. 11.) cum Pirkheimero vertunt: cothurnus enim ambobus congruere videtur pedibus, etsi ab utrisque dissentiat, et ille Plutarch. praecept. reip. ger. 32. in verbis: ἀλλ' ἐνταῦθα δεῖ μάλιστα τὸν Θηραμένους κόθορνον ὑποδούμενον ἀμφοτέροις ὁμιλεῖν καὶ μηδετέροις προςτίθεσθαι, eundem fere sensum inesse dicit. Sed ἀποβλέπειν nusquam est dissentire. Referendum potius ἀποβλέπει ad Theramenem et ἐπ' ἀμφότερον significat: in utrasque partes.

Δεῖ — οὐ — δεινὸν εἶναι] Haec iungenda sunt.

ἄνδρα τὸν ἄξιον ζῆν] Capitis nimirum accusabatur Theramenes a Critia.

ἕως ἂν εἰς οὖρον καταστῶσιν] donec eo navem promoveant, ubi secundus aspiret ventus. Nihil apud veteres frequentius quam rei publicae cum navi comparatio. V. interprr. ad Horat. Od. I, 14.

πῶς ἀφίκοιντο] In interrogationibus optativus potentialis nonnunquam obvenit sine ἄν. Oecon. XIX, 16: καὶ περὶ αὐλητῶν μὴ δυναίμην ἀναπεῖσαι —; ubi v. adn. Adde Matth. gr. §. 515. adn. Kühner. gr. max. §. 466. e. Rost. gr. max. §. 120, 5. Sententia in mera cogitatione posita est; deinde demum in mentem venit scriptori addere sententiam conditionalem, quoniam antecedentes particulae εἰ δὲ μή non perspicue dicerent, quid vellet. V. adn. ad Hier. VII, 7., ubi nunc scriberem πῶς γὰρ φαίημεν. De εἰ δὲ μὴ — εἰ v. adn. ad Oecon. XV, 2: εἰ δὲ μή, οὐδὲ τῆς ἐπιμελείας ἔφησθα ὄφελος οὐδὲν γίγνεσθαι, εἰ μή τις ἐπίσταιτο κτλ.

ποτε ἔνθα δεῖ, εἰ, ἐπειδάν τι ἀντικόψῃ, εὐθὺς εἰς
32 τἀναντία πλέοιεν; Καὶ εἰσὶ μὲν δήπου πᾶσαι μεταβολαὶ πολιτειῶν θανατηφόροι, σὺ δὲ διὰ τὸ εὐμετάβολος εἶναι πλείστοις μὲν μεταίτιος εἶ ἐξ ὀλιγαρχίας ὑπὸ τοῦ δήμου ἀπολωλέναι, πλείστοις δ' ἐκ δημοκρατίας ὑπὸ τῶν βελτιόνων. Οὗτος δέ τοί ἐστιν ὃς ταχθεὶς ἀνελέσθαι ὑπὸ τῶν στρατηγῶν τοὺς καταδύντας Ἀθηναίων ἐν τῇ περὶ Λέσβον ναυμαχίᾳ αὐτὸς οὐκ ἀνελόμενος, ὅμως τῶν στρατηγῶν κατηγορῶν ἀπέκτεινεν
33 αὐτούς, ἵνα αὐτὸς περισωθείη. Ὅςτις γε μὴν φανερός ἐστι τοῦ μὲν πλεονεκτεῖν ἀεὶ ἐπιμελόμενος, τοῦ δὲ καλοῦ καὶ τῶν φίλων μηδὲν ἐντρεπόμενος, πῶς τούτου χρή ποτε φείσασθαι; πῶς δ' οὐ φυλάξασθαι εἰδότας αὐτοῦ τὰς μεταβολάς, ὡς μὴ καὶ ἡμᾶς ταὐτὸ δυνασθῇ ποιῆσαι; Ἡμεῖς οὖν τοῦτον ὑπάγομεν καὶ ὡς ἐπιβουλεύοντα καὶ ὡς προδιδόντα ἡμᾶς τε καὶ ὑμᾶς. Ὡς δ' εἰκότα ποιοῦμεν, καὶ τάδ' ἐννοήσατε.
34 Καλλίστη μὲν γὰρ δήπου δοκεῖ πολιτεία εἶναι ἡ Λακεδαιμονίων· εἰ δὲ ἐκείνῃ ἐπιχειρήσειέ τις τῶν ἐφόρων ἀντὶ τοῦ τοῖς πλείοσι πείθεσθαι ψέγειν τε τὴν ἀρχὴν καὶ ἐναντιοῦσθαι τοῖς πραττομένοις, οὐκ ἂν οἴεσθε αὐτὸν καὶ ὑπ' αὐτῶν τῶν ἐφόρων καὶ ὑπὸ τῆς ἄλλης ἁπάσης πόλεως τῆς μεγίστης τιμωρίας ἀξιωθῆναι; Καὶ ὑμεῖς οὖν, ἐὰν σωφρονῆτε, οὐ τούτου, ἀλλ' ὑμῶν αὐτῶν φείσεσθε, ὡς οὗτος σωθεὶς μὲν πολλοὺς ἂν μέγα φρονεῖν ποιήσειε τῶν ἐναντία γινω-

§. 33. ἐπιμελόμενος, quod praebet D. (B. ἐπιμελώμενος), recepit Dind. II. III. pro ἐπιμελούμενος.

§. 34. E. ἡ δ' ἐκείνῃ, Schneid. II. cum Steph. et marg. Leoncl. εἰ δὲ (ἐν) ἐκείνῃ. — Dind. II. fortasse legendum putabat προςταττομένοις. — αὐτῶν addiderunt B. D. Vict. Steph. Leoncl. Wells. Schneid. II. Dind. — γινωσκόντων scripsi cum B. C. D. pro γιγν.

§. 35. δήπου addunt B. D. Vict. Steph. Leoncl. Schneid. II. Dind. — προςταχθέν μοι Vict. margg. Steph. et Leoncl. Schneid. II. Dind. pro προςταχθέντα με. — ἐκεῖνοι δ' scripsi cum B. C.

§. 32. πᾶσαι — θανατηφόροι] omnes rerum publicarum mutationes caedes secum ferunt.

ὑπὸ τῶν βελτιόνων] ab optimatibus.

§. 34. τῶν ἔξω] exsulum.

§. 35. κατηγοροῦντα] eo quod eos accusaverim. V. adn. ad Hier. II, 3.

οὐκ ἦρχον] Cf. I, 7, 4.

προςταχθέν μοι] quum mandatum esset mihi. De accusativo absoluto quem vocant v. adn. ad Oecon. XX, 10., Ages. I, 36. II, 12., Rost.

σκόντων ὑμῖν, ἀπολόμενος δὲ πάντων καὶ τῶν ἐν τῇ πόλει καὶ τῶν ἔξω ὑποτέμοι ἂν τὰς ἐλπίδας.

Ὁ μὲν ταῦτ' εἰπὼν ἐκαθέζετο· Θηραμένης δὲ 35
ἀναστὰς ἔλεξεν· Ἀλλὰ πρῶτον μὲν μνησθήσομαι, ὦ ἄνδρες, ὃ τελευταῖον κατ' ἐμοῦ εἶπε. Φησὶ γάρ με τοὺς στρατηγοὺς ἀποκτεῖναι κατηγοροῦντα. Ἐγὼ δὲ οὐκ ἦρχον δήπου κατ' ἐκείνων λόγου, ἀλλ' ἐκεῖνοι ἔφασαν, προςταχθέν μοι ὑφ' ἑαυτῶν, οὐκ ἀνελέσθαι τοὺς δυςτυχοῦντας ἐν τῇ περὶ Λέσβον ναυμαχίᾳ. Ἐγὼ δὲ ἀπολογούμενος, ὡς διὰ τὸν χειμῶνα οὐδὲ πλεῖν, μὴ ὅτι ἀναιρεῖσθαι τοὺς ἄνδρας δυνατὸν ἦν, ἔδοξα τῇ πόλει εἰκότα λέγειν, ἐκεῖνοι δ' ἑαυτῶν κατηγορεῖν ἐφαίνοντο. Φάσκοντες γὰρ οἷόν τε εἶναι σῶσαι τοὺς ἄνδρας, προέμενοι ἀπολέσθαι αὐτούς, ἀποπλέοντες
ᾤχοντο. Οὐ μέντοι θαυμάζω γε τὸν Κριτίαν παρανε- 36
νομηκέναι· ὅτε γὰρ ταῦτα ἦν, οὐ παρὼν ἐτύγχανεν, ἀλλ' ἐν Θετταλίᾳ μετὰ Προμηθέως δημοκρατίαν κατεσκεύαζε καὶ τοὺς πενέστας ὥπλιζεν ἐπὶ τοὺς δε-
σπότας. Ὧν μὲν οὖν οὗτος ἐκεῖ ἔπραττε μηδὲν ἐνθάδε 37
γένοιτο· τάδε γε μέντοι ὁμολογῶ ἐγὼ τούτῳ, εἴ τις ὑμᾶς μὲν τῆς ἀρχῆς βούλεται παῦσαι, τοὺς δ' ἐπιβουλεύοντας ὑμῖν ἰσχυροὺς ποιεῖ, δίκαιον εἶναι τῆς μεγίστης αὐτὸν τιμωρίας τυγχάνειν· ὅςτις μέντοι ὁ ταῦτα πράττων ἐστίν, οἴομαι ἂν ὑμᾶς κάλλιστα κρίνειν, τά τε πεπραγμένα καὶ ἃ νῦν πράττει ἕκαστος
ἡμῶν εἰ κατανοήσετε. Οὐκοῦν μέχρι μὲν τοῦ ὑμᾶς 38

D. E. pro ἐκεῖνοι δέ. — ἀπολέσθαι αὐτούς dedi e B. pro αὐτοὺς ἀπολ.

§. 36. E. παρενομηκέναι; Wolf. coniecit παρανενοηκέναι, Wyttenbach. παρακηκοέναι. — Vulg. κατασκευασείων; A., a sec. m. E. Ald. Iunt. κατασκευαζείων; E. a pr. m. C. Bryl. Cast. κατασκευάζων; Vict. κατασκεύαζε; Steph. κατεσκεύαζε, quod recepit Dind.

§. 37. ποιεῖ B. Vict. Schneid. II. Dind. pro ποιεῖν. — οἴομαι pro οἶμαι B. C. D. E. Dind.

gr. schol. p. 495., Kühner. gr. schol. §. 312.

οὐκ ἀνελέσθαι] menon sustulisse. Cf. §. 32.

Φάσκοντες γάρ] Nam quum servari eos potuisse dicerent (cf. I, 7, 5.), nihilominus ipsi cum classe discesserant atque illos exstingui passi fuerant.

§. 36. παρανενομηκέναι] i. e. iniuste me accusavisse. Addit antem Theramenes ὅτε γὰρ κτλ. ironice, ac si Critias scire non potuisset id quod bene sciebat.

τοὺς πενέστας] Erant pe-

τε καταστῆναι εἰς τὴν βουλὴν καὶ ἀρχὰς ἀποδειχθῆ-
ναι καὶ τοὺς ὁμολογουμένως συκοφάντας ὑπάγεσθαι
πάντες ταὐτὰ ἐγιγνώσκομεν· ἐπεὶ δέ γε οὗτοι ἤρξαντο
ἄνδρας καλούς τε καὶ ἀγαθοὺς ξυλλαμβάνειν, ἐκ τού-
39 του κἀγὼ ἠρξάμην τἀναντία τούτοις γιγνώσκειν. Ἤιδειν
γάρ, ὅτι ἀποθνήσκοντος μὲν Λέοντος τοῦ Σαλαμινίου,
ἀνδρὸς καὶ ὄντος καὶ δοκοῦντος ἱκανοῦ εἶναι, ἀδι-
κοῦντος δ' οὐδὲ ἕν, οἱ ὅμοιοι τούτῳ φοβήσοιντο, φο-
βούμενοι δὲ ἐναντίοι τῇδε τῇ πολιτείᾳ ἔσοιντο· ἐγί-
γνωσκον δὲ, ὅτι ξυλλαμβανομένου Νικηράτου τοῦ Νι-
κίου, καὶ πλουσίου καὶ οὐδὲν πώποτε δημοτικὸν οὔτε
αὐτοῦ οὔτε τοῦ πατρὸς πράξαντος, οἱ τούτῳ ὅμοιοι
40 δυςμενεῖς ὑμῖν γενήσοιντο. Ἀλλὰ μὴν καὶ Ἀντιφῶν-
τος ὑφ' ὑμῶν ἀπολλυμένου, ὃς ἐν τῷ πολέμῳ δύο
τριήρεις εὖ πλεούσας παρείχετο, ἠπιστάμην, ὅτι καὶ
οἱ πρόθυμοι τῇ πόλει γεγενημένοι πάντες ὑπόπτως
ὑμῖν ἕξοιεν. Ἀντεῖπον δὲ καί, ὅτε τῶν μετοίκων ἕνα
ἕκαστον λαβεῖν ἔφασαν χρῆναι· εὔδηλον γὰρ ἦν, ὅτι

§. 38. καταστῆναι A. C. D. (E. κατεθῆναι) Vict. Steph. Leoncl. Wells. Weisk. Schneid. II. Dind. pro καταστῆσαι. — D. Vict. Cast. Dind. ὁμολογουμένους. — ταὐτὰ cum Steph. dedit Morus pro ταῦτα. — γὲ post δὲ addunt B. C. Dind. — C. οὗτος ἤρξατο.

§. 39. Vict. om. μέν. — Marg. Leoncl. φοβηθήσοιτο. — A. a pr. m. C. E. Ald. Iunt. Bryl. Cast. margg. Steph. et Leoncl. ἐναντία. — Iunt. Cast. τῇδε πολιτείᾳ.

§. 40. B. C. D. ὑφ' ἡμῶν. — εὐ πλεούσας pro ἐςπλ. A. B. Vict. margg. Leoncl. et Steph. Wells. seqq. edd.; D. ἐκπλ., C. πλεούσας. — B. C. D. E. ἡμῖν ἕξοιεν.

nestae eadem conditione apud Thessalos, qua in Laconica Helotes. — Haec Theramenes dicit ad irridendum Critiam, qui in Thessalia fecit contraria iis quae nunc facit. De Critiae in Thessaliam fuga cf. etiam Comment. I, 2, 24.

§. 38. καταστῆναι εἰς τὴν βουλήν] Weiskius comparat Cyrop. I, 5, 7. κατέστην εἰς τόδε τὸ τέλος.

ὁμολογουμένως] Demosth. c. Aphob. de fals. test. §. 14. τὸν ὁμολογουμένως δοῦλον. §. 39. τοὺς ὁμολογουμένως δούλους. Plutarch. Timol. 1. τῶν ὁμολογουμένως τυράννων. His et multis aliis exemplis Hertlinius (Progr. Werth. 1836. p. 13.) comprobavit non solum adverbia veluti ἀληθῶς et ὀρθῶς, sed etiam γνησίως, ψιλῶς et ὁμολογουμένως adiectivorum instar usurpari. V. etiam Baiterum ad Isocr. Panegyr. 33.

§. 40. τῶν μετοίκων ἕνα ἕκαστον] ut supra §. 21.

§. 41. δυναίμεθα] Ex optimi libri et alterius scriptura opinari licet scriptum fuisse a Xenophonte ὅπως — ἐδυνάμεθα, i. e. ut possemus. Etenim ὀλίγοι γενόμενοι vertendum: si pauci facti essemus. Cf. §. 42: ἕως — ἐμέλλο-

τούτων ἀπολομένων καὶ οἱ μέτοικοι ἅπαντες πολέμιοι τῇ πολιτείᾳ ἔσοιντο. Ἀντεῖπον δὲ καί, ὅτε τὰ ὅπλα τοῦ 41
πλήθους παρῃροῦντο, οὐ νομίζων χρῆναι ἀσθενῆ τὴν πόλιν ποιεῖν· οὐδὲ γὰρ τοὺς Λακεδαιμονίους ἑώρων τούτου ἕνεκα βουλομένους περισῶσαι ἡμᾶς, ὅπως ὀλίγοι γενόμενοι μηδὲν δυναίμεθα αὐτοὺς ὠφελεῖν· ἐξῆν γὰρ αὐτοῖς, εἰ τούτου γε δέοιντο, καὶ μηδένα λιπεῖν ὀλίγον ἔτι χρόνον τῷ λιμῷ πιέσαντας. Οὐδέ γε τὸ 42
φρουροὺς μισθοῦσθαι ξυνήρεσκέ μοι, ἐξὸν αὐτῶν τῶν πολιτῶν τοσούτους προςλαμβάνειν, ἕως ῥᾳδίως οἱ ἄρχοντες ἐμέλλομεν τῶν ἀρχομένων κρατήσειν. Ἐπεί γε μὴν πολλοὺς ἑώρων ἐν τῇ πόλει τῇ ἀρχῇ τῇδε δυςμενεῖς, πολλοὺς δὲ φυγάδας γιγνομένους, οὐκ αὖ ἐδόκει μοι οὔτε Θρασύβουλον οὔτε Ἄνυτον οὔτε Ἀλκιβιάδην φυγαδεύειν· ᾔδειν γάρ, ὅτι οὕτω γε τὸ ἀντίπαλον ἰσχυρὸν ἔσοιτο, εἰ τῷ μὲν πλήθει ἡγεμόνες ἱκανοὶ προςγενήσοιντο, τοῖς δ' ἡγεῖσθαι βουλομένοις ξύμμαχοι πολλοὶ φανήσοιντο. Ὁ ταῦτα οὖν νομοθετῶν ἐν τῷ φανερῷ 43

§. 41. B. βουλουμένους et δυνάμεθ', E. δυνάμεθα; δυναίμεθ' D. Schneid. II. Dind. II. III. pro δυναίμεθα. — Brückner. (*Zeitschr. f. A.-W.* 1839. no. 51.) postulat εἰ τούτου γ' ἐδέοντο.

§. 42. Ald. Iunt. Bryl. Cast. μισθοῦσαι. — γιγνομένους B. D. Schneid. II. Dind. pro γενομένους. — οὐκ αὖ pro οὐκ ἂν dederunt B. C. D. Weisk. Schneid. II. Dind.

§. 43. ταῦτα pro ταῦτ' B. C. D. E. Schneid. Dind. — C. ἐν τ. φ. νουθετῶν; etiam marg. Leoncl. νουθετῶν, quod verbum Wells. Schneid. II. Dind. receperunt pro νομοθετῶν.

μεν. V. Rost. gr. max. §. 123, 13. Kühner. §. 778. Krüger. gr. 54, 8. adn. 8.

εἰ τούτου γε δέοιντο] Brückneri emendatione non opus est, quia haec verba intelligere licet de eo animo, quem etiam praesenti tempore erga Athenienses habeant Lacedaemonii.

§. 42. ἕως — κρατήσειν] donec facile subditis superiores evaderemus. Cf. adn. ad §. 41.

Θρασύβουλον — Ἄνυτον] Utrumque, recuperata libertate, plurimum auctoritate valuisse refert Isocr. c. Callim. p. 236.

§. 43. νομοθετῶν] Huius verbi significatio loci sententiae multo magis convenit quam verbi νουθετῶν. Antea enim sermo erat de rebus a Critia institutis vel eius consilio sub quadam legum forma exactis, velut de civibus proscribendis, eiiciendis, armis spoliandis et de arcessendo et conducendo praesidio. Has res commode dicitur Critias νομοθετῶν, i. e. per leges instituens. Itaque non erat, quod unius codicis C. scriptura vulgatae lectioni, quam optimi libri tuentur, praeferretur.

πότερα εὐμενὴς ἂν δικαίως ἢ προδότης νομίζοιτο; Οὐχ οἱ ἐχθροὺς, ὦ Κριτία, κωλύοντες πολλοὺς ποιεῖσθαι, οὐδ' οἱ ξυμμάχους πλείστους διδάσκοντες κτᾶσθαι, οὗτοι τοὺς πολεμίους ἰσχυροὺς ποιοῦσιν, ἀλλὰ πολὺ μᾶλλον οἱ ἀδίκως τε χρήματα ἀφαιρούμενοι καὶ τοὺς οὐδὲν ἀδικοῦντας ἀποκτείνοντες, οὗτοί εἰσιν οἱ καὶ πολλοὺς τοὺς ἐναντίους ποιοῦντες καὶ προδιδόντες οὐ μόνον τοὺς φίλους, ἀλλὰ καὶ ἑαυτοὺς δι' αἰσχροκέρ-
44 δειαν. Εἰ δὲ μὴ ἄλλως γνωστὸν, ὅτι ἀληθῆ λέγω, ὧδε ἐπισκέψασθε. Πότερον οἴεσθε Θρασύβουλον καὶ Ἄνυτον καὶ τοὺς ἄλλους φυγάδας ἃ ἐγὼ λέγω μᾶλλον ἂν ἐνθάδε βούλεσθαι γίγνεσθαι ἢ ἃ οὗτοι πράττουσιν; Ἐγὼ μὲν γὰρ οἶμαι νῦν μὲν αὐτοὺς νομίζειν ξυμμάχων πάντα μεστὰ εἶναι· εἰ δὲ τὸ κράτιστον τῆς πόλεως προςφιλῶς ἡμῖν εἶχε, χαλεπὸν ἂν ἡγεῖσθαι εἶ-
45 ναι καὶ τὸ ἐπιβαίνειν ποι τῆς χώρας. Ἃ δ' αὖ εἶπεν, ὡς ἐγώ εἰμι οἷος ἀεί ποτε μεταβάλλεσθαι, κατανοήσατε καὶ ταῦτα. Τὴν μὲν γὰρ ἐπὶ τῶν τετρακοσίων πολιτείαν καὶ αυτὸς δήπου ὁ δῆμος ἐψηφίσατο διδασκόμενος,

οὐδ' pro οὐδὲ B. C. D. E. Schneid. II. Dind. — Fortasse legendum οὐχ οὗτοι τοὺς π.

§. 44. A. C. E. Ald. Iunt. εἶναι pro οἶμαι; Bryl. ἐγὼ μὲν γὰρ ἡγεῖσθαι νῦν μὲν αὐτοὺς νομίζων, idem Cast., nisi quod νομίζω scripsit. — C. χαλεπῶς. — A. C. E. Ald. Iunt. Bryl. ἡγεῖσθε. — καὶ ἐπιβαίνειν A. Ald. Iunt. Cast. — Dind. II. mavult που τῆς χ.

§. 45. Praepos. ἐπὶ ante τῶν τετρακ. addunt B. Y. Schneid. II. Dind.

οὗτοι] De hoc pronomine demonstrativo cum vi quadam illato v. adn. ad Ages. I, 35: τοὺς δ' ἀξιοῦντας καὶ τὰς τῶν θεῶν τιμὰς καρποῦσθαι, τούτους (i. e. hos qui tales sunt) ποιήσας μηδ' ἀντιβλέπειν τοῖς Ἕλλησι δύνασθαι κτλ. Ibid. II, 6. IV, 4. Hier. I, 17. alibi.

§. 44. ἃ ἐγὼ λέγω], quae ego dico et volo, scilicet ut moderate nostra utamur in cives potentia.

§. 45. Ἃ δ'] Quodsi. V. ad Oecon. XV, 6.

§. 46. ἀνίεσαν] De tyrannis quadringentis Thrasybuli legatis et exercitui non cedentibus interpretatur Morus e Thucyd. VIII, 81—90., rectius Weiskius respecto Thucyd. VIII, 70. ἀνιέναι πόλεμον: remittere actiones hostiles.

ἐπὶ τῷ χώματι ἔρυμα] agger seu moles mari opposita, quam memorat Demosth. c. Polycl. p. 1208 et 1229., ubi scholiasta ait fuisse οἰκοδόμημα ἐν τῷ λιμένι προβεβλημένον προςορμίσεως ἕνεκα καὶ ἀγορᾶς ναυτῶν.

εἰς ὃ ἐβούλοντο — δεξάμενοι] V. de hac re Thucyd. VIII, 90., Hinrichs. de Theram.,

ὡς οἱ Λακεδαιμόνιοι πάσῃ πολιτείᾳ μᾶλλον ἂν ἢ δημοκρατίᾳ πιστεύσειαν. Ἐπεὶ δέ γε ἐκεῖνοι μὲν οὐδὲν ἀνίεσαν, οἱ δὲ ἀμφὶ Ἀριστοτέλην καὶ Μελάνθιον καὶ Ἀρίσταρχον στρατηγοῦντες φανεροὶ ἐγένοντο ἐπὶ τῷ χώματι ἔρυμα τειχίζοντες, εἰς ὃ ἐβούλοντο τοὺς πολεμίους δεξάμενοι ὑφ' αὑτοῖς καὶ τοῖς ἑταίροις τὴν πόλιν ποιήσασθαι, εἰ ταῦτ' αἰσθόμενος ἐγὼ διεκώλυσα, τοῦτ' ἐστὶ προδότην εἶναι τῶν φίλων; 46

47 Ἀποκαλεῖ δὲ κόθορνόν με, ὡς ἀμφοτέροις πειρώμενον ἁρμόττειν. Ὅστις δὲ μηδετέροις ἀρέσκει, τοῦτον, ὦ πρὸς τῶν θεῶν, τί ποτε καὶ καλέσαι χρή; Σὺ γὰρ δὴ ἐν μὲν τῇ δημοκρατίᾳ πάντων μισοδημότατος ἐνομίζου, ἐν δὲ τῇ ἀριστοκρατίᾳ πάντων μισοχρηστότατος γεγένησαι.

48 Ἐγὼ δ', ὦ Κριτία, ἐκείνοις μὲν ἀεί ποτε πολεμῶ τοῖς οὐ πρόσθεν οἰομένοις καλὴν ἂν δημοκρατίαν εἶναι, πρὶν ἂν καὶ οἱ δοῦλοι καὶ οἱ δι' ἀπορίαν δραχμῆς ἂν ἀποδόμενοι τὴν πόλιν δραχμῆς μετέχοιεν, καὶ τοῖςδέ γ' αὖ ἀεὶ ἐναντίος εἰμί, οἳ οὐκ οἴονται καλὴν ἂν ἐγγενέσθαι ὀλιγαρχίαν, πρὶν ἂν εἰς τὸ ὑπ' ὀλίγων τυραννεῖσθαι

§. 46. Cast. ἤνυσαν pro ἀνίεσαν. — ἑταίροις Y. Schneid. II. Dind. pro ἑτέροις. — αἰσθόμενος B. D. Schneid. Dind. pro αἰσθανόμενος.

§. 47. Vict. ἐν τῇ δημοκρ. particula μὲν omissa.

§. 48. C. οὐκ οἰομ. πρόσθεν pro οὐ πρόσθεν οἰομένοις. — Bryl. Cast. καλλίστην pro καλήν. — ἂν post πρὶν Dind. bis om. — Pro altero δραχμῆς Wyttenbach. scribi voluit ἀρχῆς, quod placuit Schneidero et Weiskio. — A. E. Ald. Iunt. Bryl. Cast. αν ἀεὶ pro αὖ ἀεί. — Cast. iterum καλλίστην pro καλήν.

Crit. et Thrasyb. rebus et ingenio p. 55.

— §. 47. τί — καλέσαι χρή;] V. Kühner. gr. schol. §. 280, 4. Rost. gr. schol. p. 398 seq. Buttmann. gr. §. 131. adn. 11.

§. 48. πρὶν ἄν] Etiam II, 4, 18. Dindorfius ἄν post πρίν et V, 4, 47. post ἕως delet, quanquam constat inter viros grammaticos ἄν post coniunctiones et pronomina relativa in oratione obliqua poni solere, si sententia in rectam orationem mutata illam particulam asciscat. H. l. in oratione recta dicendum erat: οὐ πρόσθεν καλὴ δημοκρατία ἔσται sive εἴη ἄν, πρὶν ἄν — μετέχωσι. V. Kühner. gr. max. §. 810. a. Rost. §. 121, 5. c. Poppo ad Anab. I, 3, 17. III, 2, 12. Alterum ἄν (post δραχμῆς positum) non ad verbum finitum spectare, sed ad ἀποδόμενοι per se intelligitur. Verte: qui drachma rempublicam venderent (si possent).

δραχμῆς μετέχοιεν] i. e. senatores fierent. Etenim drachma erat salarium diurnum senatorum Atheniensium.

τὴν πόλιν καταστήσειαν. Τὸ μέντοι σὺν τοῖς δυναμένοις καὶ μεθ' ἵππων καὶ μετ' ἀσπίδων ὠφελεῖν, διὰ τούτων τὴν πολιτείαν πρόσθεν ἄριστον ἡγούμην εἶναι
49 καὶ νῦν οὐ μεταβάλλομαι. Εἰ δ' ἔχεις εἰπεῖν, ὦ Κριτία, ὅπου ἐγὼ ξὺν τοῖς δημοτικοῖς ἢ τυραννικοῖς τοὺς καλούς τε κἀγαθοὺς ἀποστερεῖν πολιτείας ἐπεχείρησα, λέγε· ἐὰν γὰρ ἐλεγχθῶ ἢ νῦν ταῦτα πράττων ἢ πρότερον πώποτε πεποιηκώς, ὁμολογῶ τὰ πάντων ἐσχατώτατα παθὼν ἂν δικαίως ἀποθνήσκειν.
50 Ὡς δ' εἰπὼν ταῦτα ἐπαύσατο, καὶ ἡ βουλὴ δήλη ἐγένετο εὐμενῶς ἐπιθορυβήσασα, γνοὺς ὁ Κριτίας, ὅτι, εἰ ἐπιτρέψει τῇ βουλῇ διαψηφίζεσθαι περὶ αὐτοῦ, ἀναφεύξοιτο, καὶ τοῦτο οὐ βιωτὸν ἡγησάμενος, προσελθὼν καὶ διαλεχθείς τι τοῖς τριάκοντα ἐξῆλθε καὶ ἐπιστῆναι ἐκέλευσε τοὺς τὰ ἐγχειρίδια ἔχοντας φανερῶς
51 τῇ βουλῇ ἐπὶ τοῖς δρυφάκτοις. Πάλιν δ' εἰςελθὼν εἶπεν, Ἐγώ, ὦ βουλή, νομίζω προστάτου ἔργον εἶναι

διὰ τούτων B. D. Vict. Dind. II. III. pro διὰ τοῦτο; Schmidt. vult τὴν διὰ τοῦτο πολιτείαν, Schneid. τὴν διὰ τούτων πολιτείαν. — ἡγούμην B. D. margg. Steph. et Leoncl. Mor. seqq. edd. pro ἡγουμένην.

§. 49. ταῦτα post πώποτε om. B. D. C. Steph. Leoncl. Dind. II. III.; E. om. πώποτε.

§. 50. B. Schneid. II. Dind. ἐπιτρέψοι. — Vict. ψηφίζεσθαι. —

Τὸ μέντοι — ἡγούμην εἶναι] Omissis ceteris coniecturis, quibus vexarunt interpretes hunc locum, commemoratu dignam habemus emendationem Schneideri, ad quam commendandam Sauppius attulit Demosth. Lept. 480, 27. αἱ δι' ὀλίγων πολιτεῖαι. Sed invitis libris corrigere vulgatam nolim, dum defendi possit. Habemus enim hic anacoluthon, quale ab hoc tenui quod vocant dicendi genere non abhorreat. Dicturus Xenophon erat fere hoc: Τὸ μέντοι σὺν τοῖς δυναμένοις (ὠφελεῖν) καὶ μεθ' ἵππων καὶ μετ' ἀσπίδων ὠφελεῖν τὴν πολιτείαν ἀρίστην παρέχειν ἡγούμην. Mutato autem enuntiationis tenore post ὠφελεῖν pergit διὰ τούτων (i. e. per eos qui civitatem armis et equis iuvare possunt) τὴν πολιτείαν — εἶναι, ut nunc τὸ — ὠφελεῖν quodammodo absolute positum videatur. Cf. V, 4, 1: τοὺς εἰςαγαγόντας — τὴν τούτων ἀρχήν. V, 4, 40: ἀναστρέφοντες — ἀπέθανον αὐτῶν δώδεκα. VI, 3, 19: ἀπογραψάμενοι — οἱ Θηβαῖοι — οἱ πρέσβεις αὐτῶν.

§. 49. πώποτε] Subsequens ταῦτα, quod facile irrepere poterat, omisi, quamvis Hertlinius (Progr. Werth. 1845. p. 19.) pluribus quam opus erat exemplis saepe idem vocabulum exiguo recurrere spatio commonstret.

§. 50. ἐπιτρέψει] Cf. supra II, 2, 13., infra V, 2, 13. Anab. V, 6, 34: ἠπείλουν αὐτῷ, ὅτι, εἰ λήψονται ἀποδιδράσκοντα, τὴν δίκην ἐπιθήσοιεν, et alia mixtae structurae exempla, quae

οἷον δεῖ, ὃς ἂν ὁρῶν τοὺς φίλους ἐξαπατωμένους μὴ ἐπιτρέπῃ. Καὶ ἐγὼ οὖν τοῦτο ποιήσω. Καὶ γὰρ οἵδε οἱ ἐφεστηκότες οὔ φασιν ἡμῖν ἐπιτρέψειν, εἰ ἀνήσομεν ἄνδρα τὸν φανερῶς τὴν ὀλιγαρχίαν λυμαινόμενον. Ἔστι δὲ ἐν τοῖς καινοῖς νόμοις τῶν μὲν ἐν τοῖς τρισχιλίοις ὄντων μηδένα ἀποθνήσκειν ἄνευ τῆς ὑμετέρας ψήφου, τῶν δ' ἔξω τοῦ καταλόγου κυρίους εἶναι τοὺς τριάκοντα θανατοῦν. Ἐγὼ οὖν, ἔφη, Θηραμένην τουτονὶ ἐξαλείφω ἐκ τοῦ καταλόγου, ξυνδοκοῦν ἅπασιν
ἡμῖν. Καὶ τοῦτον, ἔφη, ἡμεῖς θανατοῦμεν. Ἀκούσας 52
ταῦτα ὁ Θηραμένης ἀνεπήδησεν ἐπὶ τὴν Ἑστίαν καὶ εἶπεν, Ἐγὼ δ', ἔφη, ὦ ἄνδρες, ἱκετεύω τὰ πάντων ἐννομώτατα, μὴ ἐπὶ Κριτίᾳ εἶναι ἐξαλείφειν μήτε ἐμὲ μήτε ὑμῶν ὃν ἂν βούληται, ἀλλ' ὅνπερ νόμον οὗτοι ἔγραψαν περὶ τῶν ἐν τῷ καταλόγῳ, κατὰ τοῦτον καὶ
ὑμῖν καὶ ἐμοὶ τὴν κρίσιν εἶναι. Καὶ τοῦτο μέν, ἔφη, 53
μὰ τοὺς θεούς, οὐκ ἀγνοῶ, ὅτι οὐδέν μοι ἀρκέσει ὅδε

Marg. Leoncl. ἀποφεύξοιτο, cf. VI, 5, 40. — δρυφάκτοις B. Steph., monente Leonclavio, et seqq. edd. pro δρυφράκτοις; item §. 55.

§. 51. B. ὑμῖν ἐπιτρέψειν. — ἅπασιν ἡμῖν B. D. Weisk. Schneid. II. Dind. pro ἅπασιν ὑμῖν.

§. 52. B. Y. marg. Leoncl. τοὺς — ἐννομωτάτους.

Kühnerus collegit ad Anab. I, 3, 14: εἰ μὴ βούλεται ἀπάγειν. Codicis B. scriptura est e correctione orta. Cf. infra V, 1, 34.

§. 51. ὃς ἂν — μὴ ἐπιτρέπῃ] Cf. Anab. II, 6, 6: ταῦτ' οὖν φιλοπολέμου δοκεῖ ἀνδρὸς ἔργα εἶναι, ὅστις, ἐξὸν εἰρήνην ἄγειν —, αἱρεῖται πολεμεῖν. Thucyd. IV, 18: σωφρόνων δ' ἀνδρῶν, οἵτινες τἀγαθὰ ἐς ἀμφίβολον ἀσφαλῶς ἔθεντο, ubi plura huius generis congessit Poppo. V. etiam Kühnerum ad Anab. II, 5, 21: παντάπασι δὲ ἀπόρων ἐστὶ καὶ ἀμηχάνων καὶ ἀνάγκῃ ἐχομένων, καὶ τούτων πονηρῶν, οἵτινες ἐθέλουσι δι' ἐπιορκίας τε πρὸς θεοὺς καὶ ἀπιστίας πρὸς ἀνθρώπους πράττειν τι. Omnibus his locis duae confunduntur structurae, h. l. νομίζω προστάτου ἔργον εἶναι οἷον δεῖ — ὁρῶντα — μὴ ἐπιτρέπειν, et νομίζω προστάτην εἶναι οἷον δεῖ, ὃς ἂν ὁρῶν — ἐπιτρέπῃ.

οἵδε οἱ ἐφεστηκότες] οἱ τὰ ἐγχειρίδια ἔχοντες.

καινοῖς νόμοις] quos Nicomachus suggerere solebat ex tempore et loco. V. Lys. c. Nicom. p. 849.

τῶν δ' ἔξω] Genitivus pendat a κυρίους, cui per epexegesin subiungitur θανατοῦν.

§. 52. Ἑστίαν] Diodorus: βουλαίαν Ἑστίαν, ad quam supplices saepe confugiebant. V. Andoc. de myster. p. 22. §. 44., de reditu p. 82: ἐπὶ τὴν ἑστίαν ἐκαθέζοντο ἱκετεύοντες μὴ στρεβλωθῆναι.

οὗτοι] οἱ τριάκοντα.

καὶ ὑμῖν καὶ ἐμοὶ τὴν κρίσιν εἶναι] ut — et de

ὁ βωμός, ἀλλὰ βούλομαι καὶ τοῦτο ἐπιδεῖξαι, ὅτι οὗτοι
οὐ μόνον εἰσὶ περὶ ἀνθρώπους ἀδικώτατοι, ἀλλὰ καὶ
περὶ θεοὺς ἀσεβέστατοι. Ὑμῶν μέντοι, ἔφη, ὦ ἄνδρες
καλοὶ κἀγαθοί, θαυμάζω, εἰ μὴ βοηθήσετε ὑμῖν αὐ-
τοῖς, καὶ ταῦτα γιγνώσκοντες, ὅτι οὐδὲν τὸ ἐμὸν ὄνομα
54 εὐεξαλειπτότερον ἢ τὸ ὑμῶν ἑκάστου. Ἐκ δὲ τούτου
ἐκέλευσε μὲν ὁ τῶν τριάκοντα κῆρυξ τοὺς ἕνδεκα ἐπὶ
τὸν Θηραμένην· ἐκεῖνοι δὲ εἰσελθόντες σὺν τοῖς ὑπη-
ρέταις, ἡγουμένου αὐτῶν Σατύρου τοῦ θρασυτάτου
τε καὶ ἀναιδεστάτου, εἶπε μὲν ὁ Κριτίας, Παραδίδο-
μεν ὑμῖν, ἔφη, Θηραμένην τουτονὶ κατακεκριμένον κατὰ
τὸν νόμον· ὑμεῖς δὲ λαβόντες καὶ ἀπαγαγόντες οἱ ἕν-
55 δεκα οὗ δεῖ τὰ ἐκ τούτων πράσσετε. Ὡς δὲ ταῦτα
εἶπεν, εἷλκε μὲν ἀπὸ τοῦ βωμοῦ ὁ Σάτυρος, εἷλκον
δὲ οἱ ὑπηρέται. Ὁ δὲ Θηραμένης, ὥσπερ εἰκός, καὶ
θεοὺς ἐπεκαλεῖτο καὶ ἀνθρώπους καθορᾶν τὰ γιγνό-

§. 53. B. εὐσεβέστατοι et ἐξαλειπτότερον.

§. 54. Marg. Leoncl. et Steph. ἐκάλεσε pro ἐκέλευσε. — E. ἡγουμένων. — B. om. τοῦ. — τε καί B. Dind. III. pro αὐτῶν καί. — οἷ δεῖ et πράττετε Dind.

§. 55. E. Ald. Iunt. ὁμοίως Σατ.; Bryl. Cast. ὁμοίων. — δρυφάκτοις, v. §. 50.

vobis et de me cognoscatur.

§. 54. ἐκέλευσε — τοὺς ἕνδεκα ἐπὶ τὸν Θηραμένην] V. §. 20. et de undecim viris I, 7, 10.

ἐκεῖνοι δὲ εἰσελθόντες] Nominativi non habent verbum. Quod dicendi genus Xenoph. magis usitatum quam aliis bonis scriptoribus hoc quidem loco paullo durius esse videtur quam infra VI, 5, 31. et iis locis, quos attuli ad Oecon. XII, 8. XVII, 2. Nominativi explicandi sunt ex anacoluthia, ut infra III, 5, 23. IV, 1, 24. Cyrop. V, 4, 34: τῆς γὰρ μεγίστης πόλεως Βαβυλῶνος ἐγγὺς οὖσα, ὅσα μὲν ὠφελεῖσθαί ἐστιν ἀπὸ μεγάλης πόλεως, ταῦτα ἀπελαύομεν. III, 2, 28: δεῖσθαι δὲ τούτων νομίζων, τῶν μὲν ὑμετέρων ἡδύ μοι φείδεσθαι. VIII, 8, 6: ἦν δὲ αὐτοῖς νόμιμον μηδὲ προχοΐδας εἰςφέρεσθαι εἰς τὰ συμπόσια, δηλονότι νομίζοντες κτλ. V. Haasium ad de rep. Lac. VIII, 4.

οὗ δεῖ] Hoc recte dici intelligitur ex multis exemplis, quae collegit Lobeckius ad Phryn. p. 43 seq. Cyrop. V, 4, 15: οὗ (δὴ) κατέφυγε, i. e. quo confugerat et tum erat. H. l. intellige οἷ ἄγεσθαι et οὗ εἶναι δεῖ. V. adn. ad Ages. VI, 6: ὅπου ἴοι, ubi Dindorfius item scripsit ὅποι. Adde Haasium ad de rep. Lac. VI, 3. p. 138.

τὰ ἐκ τούτων πράσσετε] „besorgt ihr das Weitere." Cf. Plutarch. Poplic. 6: ἀποστρέψας πρὸς τοὺς ὑπηρέτας τὸ πρόσωπον, ὑμέτερον, εἶπε, τὸ λοιπὸν ἤδη ἔργον, quem locum affert Classenius.

§. 55. ἀγνοοῦντες] per synesin pertinet ad βουλή. Sic supra II, 2, 21: ὄχλος — πολύς, φοβούμενοι. V. adn. ad Oecon. IV, 7. ἀριθμὸν — τούτους.

μενα. Ἡ δὲ βουλὴ ἡσυχίαν εἶχεν ὁρῶσα καὶ τοὺς ἐπὶ τοῖς δρυφάκτοις ὁμοίους Σατύρῳ καὶ τὸ ἔμπροσθεν τοῦ βουλευτηρίου πλῆρες τῶν φρουρῶν, καὶ οὐκ ἀγνοοῦντες, ὅτι ἐγχειρίδια ἔχοντες παρῆσαν. Οἱ δ' 56
ἀπήγαγον τὸν ἄνδρα διὰ τῆς ἀγορᾶς μάλα μεγάλῃ τῇ φωνῇ δηλοῦντα οἷα ἔπασχε. Λέγεται δ' ἓν ῥῆμα καὶ τοῦτο αὐτοῦ. Ὡς εἶπεν ὁ Σάτυρος, ὅτι οἰμώξοιτο, εἰ μὴ σιωπήσειεν, ἐπήρετο. Ἂν δὲ σιωπῶ, οὐκ ἄρ', ἔφη, οἰμώξομαι; καὶ ἐπεί γε ἀποθνήσκειν ἀναγκαζόμενος τὸ κώνειον ἔπιε, τὸ λειπόμενον ἔφασαν ἀποκοτταβίσαντα εἰπεῖν αὐτόν· Κριτίᾳ τοῦτ' ἔστω τῷ καλῷ. Καὶ τοῦτο μὲν οὐκ ἀγνοῶ, ὅτι ταῦτα ἀποφθέγματα οὐκ ἀξιόλογα, ἐκεῖνο δὲ κρίνω τοῦ ἀνδρὸς ἀγαστόν, τὸ τοῦ θανάτου παρεστηκότος μήτε τὸ φρόνιμον μήτε τὸ παιγνιῶδες ἀπολιπεῖν ἐκ τῆς ψυχῆς.

§. 56. ἄρ' B. Schneid. II. Dind. pro ἄρα. — οἰμώξοιτο C. D. et a pr. m. E. Vict. marg. Steph. Wells. Schneid. II. Dind. pro οἰμώξειεν. — Classen. cum Schneid. et Weiskio postulat τοιαῦτα ἀποφθ. — C. ἐκεῖνο δὲ τοῦ ἀνδρὸς κρίνω ἀγαστόν; Cast. ἀγαθόν.

§. 56. οἰμώξοιτο] Sic minationi exprimendae inservit hoc verbum saepius. Classenius comparat Plutarch. Phoc. 21: ἀποκρινομένου δὲ τοῦ Φωκίωνος οἰμώξεσθαι τὸν Ἅρπαλον, εἰ μὴ παύσεται διαφθείρων τὴν πόλιν. Lucian. Timon. 45: ἀλλ' εὖ γε ἐποίησεν ἀφικόμενος, οἰμώξεται γὰρ πρὸ τῶν ἄλλων.

ἀποκοτταβίσαντα] Cicero in Quaest. Tuscul. I, 40. interpretatur: „reliquum sic e poculo eiecit, ut id resonaret; quo sonitu reddito, arridens, propino, inquit, hoc pulchro Critiae." In conviviis enim Graecorum amantes ex cottabo augurium capiebant atque, ut addit Cicero, solebant nominare, cui poculum tradituri essent.

ταῦτα] Hoc est subiectum, ἀποφθ. οὐκ ἀξιόλογα praedicatum.

# CAPUT IV.

## ARGUMENTUM.

Tum Thrasybulus Thebis, quo multi Atheniensium exsules se contulerant, cum paucis profectus Phylen castellum occupat, et crescente suorum numero mox tyrannorum copias ad oppugnationem Phyles profectas vincit. Hi ut haberent perfugium, Eleusina occupant, incolis nefaria fraude circumventis. Iam Thrasybulus noctu Piraeum occupat et mox in Munychia fundit adversarios, qua in pugna cecidit Critias. Tandem populus abrogato triginta virorum imperio decemviros creat. Quum in Piraeo exsules se magis magisque confirmarent, rursus Lysander accitu maxime triginta virorum cum fratre nauarcho venit, ut exsules terra marique obsessos ad deditionem compellerent. Quae res quum ex sententia succedere videretur, Pausanias invidens Lysandro nomine quidem subsidio ei venit, sed re ipsa Thrasybulo. Itaque post levia cum ipso proelia clam ad utriusque factionis Athenienses misit eosque permovit, ut Lacedaemoniorum arbitrio se suaque ad restituendam concordiam permitterent. Lacedaemonii ergo miserunt quindecim legatos, qui cum Pausania res Atheniensium his conditionibus composuerunt, ut hi inter se pacem haberent et ad sua quisque negotia praeter magistratus redirent; si qui eorum, qui fuissent in urbe, tutum sibi in ea locum non putarent, iis potestas esset Eleusina migrandi. Paullo post quum hi ex Eleusine bellum moverent, eorum ducibus circumventis Athenienses lege *ἀμνηστίας* discordias omnes sustulerunt.

---

1 *Θηραμένης μὲν δὴ οὕτως ἀπέθανεν· οἱ δὲ τριάκοντα, ὡς ἐξὸν ἤδη αὐτοῖς τυραννεῖν ἀδεῶς, προεῖπον μὲν τοῖς ἔξω τοῦ καταλόγου μὴ εἰςιέναι εἰς τὸ ἄστυ,*

Cap. IV. §. 1. *ἵν' αὐτοὶ* pro *ἵνα αὐτοὶ* B. D. C. Schneid. II. Dind.

§. 2. A. C. E. Ald. Iunt. Cast. *σύν τε τριςχ.* articulo omisso.

§. 3. Iunt. *ἐκπολιορκησείαντες*; Cast. *ἐκπολιορκήσαντες*. — Vulg. *αὐτοῖς* ante *τὰς ἐφ.* om. B. D. Vict. Schneid. II. Dind. —

Cap. IV. §. 1. *καὶ τὰ Μέγαρα καὶ τὰς Θήβας*] Xen. omittit atrox Lacedaemoniorum edictum, qui, a tyrannis, iam exsulum multitudinem metuentibus, impulsi, vetuerunt, ne quae civitas Atheniensium exsules reciperet. Huic edicto non obtemperabant Argivi, Megarenses atque Thebani. Plutarch. Lys. 27. Pelop. 6. Diodor. XIV, 6. Sievers. p. 53. 99. Hinrichs. p. 39.

§. 2. *ὡς σὺν ἑβδομήκοντα*] i. e. cum septuaginta circiter. De *ὡς* transposito cf. adn. ad Oecon. XVIII, 8: *ὡς εἰς στενώτατον*, quanquam ibi aliam habet significationem.

*καὶ μάλ'*] De usu emphatico

ἦγον δὲ ἐκ τῶν χωρίων, ἵν' αὐτοὶ καὶ οἱ φίλοι τοὺς τούτων ἀγροὺς ἔχοιεν. Φευγόντων δὲ εἰς τὸν Πειραιᾶ, καὶ ἐντεῦθεν πολλοὺς ἄγοντες ἐνέπλησαν καὶ τὰ Μέγαρα καὶ τὰς Θήβας τῶν ὑποχωρούντων.

Ἐκ δὲ τούτου Θρασύβουλος ὁρμηθεὶς ἐκ Θηβῶν 2
ὡς σὺν ἑβδομήκοντα Φυλὴν χωρίον καταλαμβάνει ἰσχυρόν. Οἱ δὲ τριάκοντα ἐβοήθουν ἐκ τοῦ ἄστεος σύν τε τοῖς τρισχιλίοις καὶ σὺν τοῖς ἱππεῦσι, καὶ μάλ' εὐημερίας οὔσης. Ἐπεὶ δὲ ἀφίκοντο, εὐθὺς μὲν θρασυνόμενοί τινες τῶν νέων προσέβαλον πρὸς τὸ χωρίον καὶ ἐποίησαν μὲν οὐδέν, τραύματα δὲ λαβόντες ἀπῆλθον. Βουλομένων δὲ τῶν τριάκοντα ἀποτειχίζειν, ὅπως 3
ἐκπολιορκήσειαν αὐτοὺς ἀποκλείσαντες τὰς ἐφόδους τῶν ἐπιτηδείων, ἐπιγίγνεται τῆς νυκτὸς χιὼν παμπληθὴς καὶ τῇ ὑστεραίᾳ. Οἱ δὲ νιφόμενοι ἀπῆλθον εἰς τὸ ἄστυ, μάλα συχνοὺς τῶν σκευοφόρων ὑπὸ τῶν ἐκ Φυλῆς ἀποβαλόντες. Γιγνώσκοντες δὲ, ὅτι καὶ ἐκ τῶν 4
ἀγρῶν λεηλατήσοιεν, εἰ μή τις φυλακὴ ἔσοιτο, διαπέμπουσιν εἰς τὰς ἐσχατιὰς ὅσον πεντεκαίδεκα στάδια ἀπὸ Φυλῆς τούς τε Λακωνικοὺς πλὴν ὀλίγων φρουροὺς καὶ τῶν ἱππέων δύο φυλάς. Οὗτοι δὲ στρατοπεδευσάμενοι ἐν χωρίῳ λασίῳ ἐφύλαττον. Ὁ δὲ Θρασύβου- 5
λος, ἤδη συνειλεγμένων εἰς τὴν Φυλὴν περὶ ἑπτακοσίους, λαβὼν αὐτοὺς καταβαίνει τῆς νυκτός· θέμενος δὲ τὰ ὅπλα ὅσον τρία ἢ τέτταρα στάδια ἀπὸ τῶν φρουρῶν ἡσυχίαν εἶχεν. Ἐπεὶ δὲ πρὸς ἡμέραν ἐγί- 6
γνετο, καὶ ἤδη ἀνίσταντο ὅποι ἐδεῖτο ἕκαστος ἀπὸ τῶν ὅπλων, καὶ οἱ ἱπποκόμοι ψήχοντες τοὺς ἵππους ψόφον

Ante Dind. II. scribebatur οἵδε νιφ. — ὑπὸ τῶν reposuit Dind. pro ἀπὸ τῶν.

§. 5. Pro Φυλὴν ante Brod. et Leonclavium edebatur βουλήν, quod est etiam in B. C. D. E.

§. 6. Cum Leonclavio Schneid. postulat ὅπου ἔκειτο.

particulae καί, quam hic deleri voluit Morus, v. ad I, 5, 13.

§. 4. τὰς ἐσχατιάς] Boeotiae fines.

§. 6. ἀνίσταντο ὅποι ἐδεῖτο] In verbo ἀνίσταντο latet simul notio eundi. Item infra VII, 1, 16. Audacius etiam dictum est quod legimus I, 1, 23: ἑάλωσαν εἰς Ἀθήνας, ubi v. adn. Adde Rost. gr. max. §. 139, 9. c., qui citat Plat. Phaed. p. 116. A: ταῦτ' εἰπὼν ἐκεῖνος μὲν ἀνίστατο εἰς οἴκημά τι ὡς λουσόμενος, ad quem locum v. Stallbaumium.

ἀπὸ τῶν ὅπλων] ex castris. Item Anab. II, 4, 15: πρὸ τῶν ὅπλων, III, 1, 3. 33.

ἐποίουν, ἐν τούτῳ ἀναλαβόντες οἱ περὶ Θρασύβουλον τὰ ὅπλα δρόμῳ προςέπιπτον· καὶ ἔστι μὲν οὓς αὐτῶν κατέβαλον, πάντας δὲ τρεψάμενοι ἐδίωξαν ἓξ ἢ ἑπτὰ στάδια, καὶ ἀπέκτειναν τῶν μὲν ὁπλιτῶν πλέον ἢ εἴκοσι καὶ ἑκατόν, τῶν δὲ ἱππέων Νικόστρατόν τε τὸν καλὸν ἐπικαλούμενον καὶ ἄλλους δὲ δύο, ἔτι καταλα-
7 βόντες ἐν ταῖς εὐναῖς. Ἐπαναχωρήσαντες δὲ καὶ τρόπαιον στησάμενοι, συσκευασάμενοι ὅπλα τε ὅσα ἔλαβον καὶ σκεύη ἀπῆλθον ἐπὶ Φυλῆς. Οἱ δὲ ἐξ ἄστεος ἱππεῖς βοηθήσαντες τῶν μὲν πολεμίων οὐδένα ἔτι εἶδον, προςμείναντες δέ ἕως τοὺς νεκροὺς ἀνείλοντο οἱ
8 προςήκοντες, ἀνεχώρησαν εἰς ἄστυ. Ἐκ δὲ τούτου οἱ τριάκοντα οὐκέτι νομίζοντες ἀσφαλῆ σφίσι τὰ πράγματα ἐβουλήθησαν Ἐλευσῖνα ἐξιδιώσασθαι, ὥςτε εἶναι σφίσι καταφυγήν, εἰ δεήσειε. Καὶ παραγγείλαντες τοῖς ἱππεῦσιν ἦλθον εἰς Ἐλευσῖνα Κριτίας τε καὶ οἱ ἄλλοι τῶν τριάκοντα· ἐξέτασίν τε ποιήσαντες ἐν τοῖς ἱππεῦσι, φάσκοντες εἰδέναι βούλεσθαι πόσοι εἶεν καὶ πόσης

*κατέβαλον* B. D. (E. *κατέβαλων*) Schneid. II. Dind.; antea *κατέλαβον*. — *δὲ* ante *δύο* seclusit Classenius. — *ἔτι καταλαβ.* pro vulg. *ἐπικαταλαβ.* dant Schneid. Weisk. Dind. cum B. C. D. E. Vict. margg. Leoncl. et Steph.

§. 7. D. *τρόπαιον στήσαντες.* — B. Dind. II. III. *καὶ* inserunt post *στησάμενοι.* — *εἰς ἄστυ* B. D. C. et E. a pr. m. Vict. Dind. II. III. pro *εἰς τὸ ἄστυ.*

§. 8. B. D. Vict. Schneid. II. Dind. *δεήσειε*, ceteri *δεήσοι.* — E. om. *τὲ* post *ἐξέτασιν.* — Classen. scripsit *ἐν τοῖς Ἐλευ-*

*καὶ ἄλλους δὲ δύο*] De particularum *καὶ* — *δέ* iunctura apud Xenophontem longe frequentissima v. ad Oecon. I, 3. et Kühnerum ad Comment. I, 1, 3. Antecedit non solum saepissime *καί*, velut Comment. I, 1, 15., Cyrop. I, 1, 2. 4. al., sed interdum etiam *τέ*, velut Comment. I, 1, 3: *οὗτοί τε γὰρ ὑπολαμβάνουσιν* —, *κἀκεῖνος δὲ οὕτως ἐνόμιζεν.* Cyrop. V, 3, 43: *οἵ τε ἄρχοντες καὶ πάντες δὲ οἱ σωφρονοῦντες.* V. Bornem. ad Comment. I, 1, 3., qui tamen Ages. I, 25. *τὲ* — *καὶ* — *δέ* ambiguae esse auctoritatis male dicit.

§. 7. *στησάμενοι*] *καὶ* particula post hoc verbum facile poterat inseri, non facile excidere. De participiis *ἀσυνδέτως* positis v. Sauppium et Kühnerum ad Comment. I, 1, 18. et maxime ad Anab. I, 1, 7: *ὁ δὲ Κῦρος ὑπολαβὼν τοὺς φεύγοντας, συλλέξας στράτευμα ἐπολιόρκει Μίλητον.* V. etiam adn. ad Oecon. XIX, 15.

§. 8. *ἐν τοῖς ἱππεῦσι*] De Eleusiniis, et non solum de equitibus, sed de omnibus, qui arma ferre possent, sermonem esse ex iis quae statim sequuntur cognoscitur. V. Hinrichs. l. l. p. 40. Quapropter Classenius non male suspicatur librarium

φυλακῆς προςδεήσοιντο, ἐκέλευον ἀπογράφεσθαι πάντας, τὸν δ' ἀπογραψάμενον ἀεὶ διὰ τῆς πυλίδος ἐπὶ τὴν θάλατταν ἐξιέναι. Ἐπὶ δὲ τῷ αἰγιαλῷ τοὺς μὲν ἱππέας ἔνθεν καὶ ἔνθεν κατέστησαν, τὸν δ' ἐξιόντα ἀεὶ οἱ ὑπηρέται ξυνέδουν. Ἐπεὶ δὲ πάντες ξυνειλημμένοι ἦσαν, Λυσίμαχον τὸν ἵππαρχον ἐκέλευον ἀναγαγόντα
παραδοῦναι αὐτοὺς τοῖς ἕνδεκα. Τῇ δ' ὑστεραίᾳ εἰς 9
τὸ Ὠιδεῖον παρεκάλεσαν τοὺς ἐν τῷ καταλόγῳ ὁπλίτας καὶ τοὺς ἄλλους ἱππέας. Ἀναστὰς δὲ Κριτίας ἔλεξεν· Ἡμεῖς, ἔφη, ὦ ἄνδρες, οὐδὲν ἧττον ὑμῖν κατασκευάζομεν τὴν πολιτείαν ἢ ἡμῖν αὐτοῖς. Δεῖ οὖν ὑμᾶς, ὥςπερ καὶ τιμῶν μεθέξετε, οὕτω καὶ τῶν κινδύνων μετέχειν. Τῶν οὖν ξυνειλεγμένων Ἐλευσινίων καταψηφιστέον ἐστίν, ἵνα ταὐτὰ ἡμῖν καὶ θαῤῥῆτε καὶ φοβῆσθε. Δείξας δέ τι χωρίον, εἰς τοῦτο ἐκέλευσε
φανερὰν φέρειν τὴν ψῆφον. Οἱ δὲ Λακωνικοὶ φρουροὶ 10
ἐν τῷ ἡμίσει τοῦ Ὠιδείου ἐξωπλισμένοι ἦσαν· ἦν δὲ ταῦτα ἀρεστὰ καὶ τῶν πολιτῶν ὅσοις τὸ πλεονεκτεῖν μόνον ἔμελεν.

σινίοις pro ἐν τοῖς ἱππεῦσι; Palmerius voluit ξὺν τοῖς ἱππεῦσι, quod probat Sturz. in lex. — A. C. E. πόσης φυλακῆς πόσοι προςδ.; D. Ald. Iunt. πόσοι εἶεν καὶ πόσοι φυλ., sed D. supra πόσοι scriptum habet ης. — ἐκέλευον B. C. D. Vict. marg. Leoncl. Dind. II. III.; ceteri ἐκέλευσαν. — D. ἀνάγοντα; Morus coni. ἀπαγαγόντα.

§. 9. Τῇ δ' ὑστ. A. B. C. D. E. Dind.; antea Τῇ δὲ ὑστ. — Pro ξυνειλεγμένων coni. Mor. et recepit Dind. II. III. ξυνειλημμένων.

§. 10. B. marg. Leoncl. οἷς pro ὅσοις.

ad antecedentia aberrantem ἐν τοῖς ἱππεῦσι scripsisse pro ἐν τοῖς Ἐλευσινίοις. Minus recte Dindorfius ἐν hic idem esse quod σύν dicit. Quos autem comparat, loci Anab. V, 3, 3: ἐξέτασις ἐν τοῖς ὅπλοις γίγνεται καὶ ἀριθμός, et Cyrop. II, 4, 1: ἐξέτασιν δέ ποτε πάντων τοῦ Κύρου ποιουμένου ἐν τοῖς ὅπλοις, ubi ἐν τοῖς ὅπλοις simpliciter est in armis, non comprobant quod vult. V. Krüger. ad Anab. l. d. ed. mai. Hoc loco ἐν est inter, verti autem potest, ut recte monuit Schneiderus, ac si scriptum esset τῶν ἱππέων vel potius τῶν Ἐλευσινίων. Mihi vero verba ἐν τοῖς ἱππεῦσι, quibus facile carere possumus, inserta esse videntur ab eo, qui, quorum fieret recensus, non dici miraretur.

ἀναγαγόντα] a mari in urbem.

§. 9. τὸ Ὠιδεῖον] erat Athenis aedificium publicum, a Pericle exstructum, audiendis concentibus musicis et recitationibus poetarum destinatum. Plutarch. Pericl. c. 13. Hinrichs. l. l. p. 40.

τοὺς ἄλλους ἱππέας] i. e. equites, qui alii erant. V. adn. ad Ages. I, 13: οἱ μὲν ἄλλοι σύμμαχοι.

Ἐκ δὲ τούτου λαβὼν ὁ Θρασύβουλος τοὺς ἀπὸ Φυλῆς περὶ χιλίους ἤδη ξυνειλεγμένους, ἀφικνεῖται τῆς νυκτὸς εἰς τὸν Πειραιᾶ. Οἱ δὲ τριάκοντα ἐπεὶ ᾔσθοντο ταῦτα, εὐθὺς ἐβοήθουν ξύν τε τοῖς Λακωνικοῖς καὶ ξὺν τοῖς ἱππεῦσι καὶ τοῖς ὁπλίταις· ἔπειτα ἐχώρουν κατὰ τὴν εἰς τὸν Πειραιᾶ ἁμαξιτὸν ἀναφέ-
11 ρουσαν. Οἱ δὲ ἀπὸ Φυλῆς ἔτι μὲν ἐπεχείρησαν μὴ ἀνιέναι αὐτούς· ἐπεὶ δὲ μέγας ὁ κύκλος ὢν πολλῆς φυλακῆς ἐδόκει δεῖσθαι οὔπω πολλοῖς οὖσι, ξυνεσπειράθησαν ἐπὶ τὴν Μουνυχίαν. Οἱ δ' ἐκ τοῦ ἄστεος εἰς τὴν Ἱπποδάμειον ἀγορὰν ἐλθόντες πρῶτον μὲν ξυνετάξαντο, ὥςτε ἐμπλῆσαι τὴν ὁδόν, ᾗ φέρει πρός τε τὸ ἱερὸν τῆς Μουνυχίας Ἀρτέμιδος καὶ τὸ Βενδίδειον· καὶ ἐγένοντο βάθος οὐκ ἔλαττον ἢ ἐπὶ πεντήκοντα
12 ἀσπίδων. Οὕτω δὲ ξυντεταγμένοι ἐχώρουν ἄνω. Οἱ δὲ ἀπὸ Φυλῆς ἀντανέπλησαν μὲν τὴν ὁδόν, βάθος δὲ οὐ πλέον ἢ εἰς δέκα ὁπλίτας ἐγένοντο. Ἐτάχθησαν μέντοι ἐπ' αὐτοῖς πελτοφόροι τε καὶ ψιλοὶ ἀκοντισταί, ἐπὶ δὲ τούτοις οἱ πετροβόλοι. Οὗτοι μέντοι συχνοὶ ἦσαν· καὶ

εὐθὺς ἐβοήθουν dedi ex B. pro vulg. ἐβοήθουν εὐθύς; post εὐθὺς B. D. Vict. Schneid. II. Dind. om. αὐτοῖς, quod E. non nisi in marg. addit; Leoncl. Steph. Koeppen. malebant αὐτοί, Wyttenb. αὐτόσε; C. om. εὐθύς.

§. 11. Οἱ δ' ἐκ A. B. C. D. Dind. pro Οἱ δὲ ἐκ.

§. 12. C. ἀντανεπλήρωσαν, secunda syllaba (αν) supra lineam scripta. — Vulg. ἐπ' αὐτούς, monente Leoncl., correxit Schneid. — A. Ald. Iunt. Bryl. Cast. αὐτόθι, E. αὐτόθη pro αὐτόθεν. — B. προςίεσαν pro προςήεσαν.

ξυνειλεγμένων] Mori emendationem, quae mihi quoque placet, invitis libris recipere nolui, praesertim quum II, 1,28. de hominibus vi comprehensis et in unum locum collectis idem verbum usurpatum videamus.

§. 10. ἀναφέρουσαν] De participii transpositione v. ad I, 1, 23.

§. 11. ἔτι μὲν — ἐπεὶ δέ] Locum hunc et Anab. VI, 2, 15: Ξενοφῶν δὲ ἔτι μὲν ἐπεχείρησεν ἐπλεῦσαι, θυομένῳ δὲ αὐτῷ ἐσήμηνεν ὁ θεὸς συστρατεύεσθαι, et Plat. Protag. p. 310. C: καὶ ἔτι μὲν ἐνεχείρησα εὐθὺς παρὰ σὲ ἰέναι, ἔπειτά μοι λίαν πόῤῥω ἔδοξε τῶν νυκτῶν εἶναι, inter se contulit Heindorfius. DIND.

καὶ ἐγένοντο — ἀσπίδων] Altitudo aciei non minus quinquaginta scutatos continebat.

§. 13. ἡμέραν πέμπτην] Cf. Cyrop. VI, 3, 11: καὶ χθὲς δὲ καὶ τρίτην ἡμέραν τὸ αὐτὸ τοῦτο ἔπραττον. Rost. gr. max. §. 104, 9. Matth. gr. §. 425, 3. d.

οὗτοι δή] Iniuria Dindorfius infra VII, 2, 5. correxit ἐν δὲ τούτῳ. Hic autem, ubi οὗτοι

γὰρ αὐτόθεν προςεγένοντο. Ἐν ᾧ δὲ προςῄεσαν οἱ ἐναντίοι, Θρασύβουλος τοὺς μετ᾽ αὐτοῦ θέσθαι κελεύσας τὰς ἀσπίδας καὶ αὐτὸς θέμενος, τὰ δ᾽ ἄλλα ὅπλα ἔχων, κατὰ μέσον στὰς ἔλεξεν· Ἄνδρες πολῖται, τοὺς 13
μὲν διδάξαι, τοὺς δὲ ἀναμνῆσαι ὑμῶν βούλομαι, ὅτι εἰσὶ τῶν προσιόντων οἱ μὲν τὸ δεξιὸν ἔχοντες, οὓς ὑμεῖς ἡμέραν πέμπτην τρεψάμενοι ἐδιώξατε, οἱ δ᾽ ἐπὶ τοῦ εὐωνύμου ἔσχατοι, οὗτοι δὴ οἱ τριάκοντα, οἳ ἡμᾶς καὶ πόλεως ἀπεστέρουν οὐδὲν ἀδικοῦντας καὶ οἰκιῶν ἐξήλαυνον καὶ τοὺς φιλτάτους τῶν ἡμετέρων ἀπεσημαίνοντο. Ἀλλὰ νῦν τοι παραγεγένηνται οὗ οὗτοι μὲν οὔποτε ᾤοντο, ἡμεῖς δὲ ἀεὶ εὐχόμεθα. Ἔχοντες γὰρ 14
ὅπλα μὲν ἐναντίοι αὐτοῖς καθέσταμεν· οἱ δὲ θεοί, ὅτι ποτὲ καὶ δειπνοῦντες ξυνελαμβανόμεθα καὶ καθεύδοντες καὶ ἀγοράζοντες, οἱ δὲ καὶ οὐχ ὅπως ἀδικοῦντες, ἀλλ᾽ οὐδ᾽ ἐπιδημοῦντες ἐφυγαδευόμεθα, νῦν φανερῶς ἡμῖν ξυμμαχοῦσι. Καὶ γὰρ ἐν εὐδίᾳ χειμῶνα ποιοῦσιν, ὅταν ἡμῖν ξυμφέρῃ, καὶ ὅταν ἐγχειρῶμεν, πολλῶν ὄντων ἐναντίων, ὀλίγοις οὖσι τρόπαια ἵστασθαι διδόασι·

§. 13. ἡμέραν πέμπτην B. D. E. margg. Steph. et Leoncl. Schneid. II. Dind.; ceteri ἡμέρᾳ πέμπτῃ. — οὗτοι δὴ D. (fortasse etiam C.) Dind. II. III.; antea οὗτοι δέ. — B. οἳ ὑμᾶς; E. om. οἵ. — A. D. E. edd. ante Cast. πόλεων; πόλεως etiam Vict. — Cum Porto Koeppen. voluit τὰ φίλτατα, Wyttenb. τὰ ἡμέτερα ἀπεσημαίνοντο καὶ τοὺς φιλτάτους ἀπέκτεινον.

§. 14. Dind. III. ὅπλα ἐναντίοι μέν. — Bryl. Cast. Leoncl. inserunt εἰδότες post οἱ δὲ θεοί. — Schwidop. cum Moro οἳ τότε καὶ scribi vult. — A. C. D. E. Ald. Iunt. Steph. Leoncl. οὐχ οὕτως. — ἐγχειρῶμεν B. D. et a pr. m. E. margg. Steph. et Leoncl. Dind. II. III. pro ἐπιχ.

7 *γύλῳ, ὅτι μόνος Ἐρετριέων μηδίσας ἔφυγεν. Ἦν δὲ ἃς ἀσθενεῖς οὔσας καὶ κατὰ κράτος ὁ Θίβρων ἐλάμβανε· Λάρισάν γε μὴν τὴν Αἰγυπτίαν καλουμένην,*

§. 5. Ante Morum, exceptis Bryl. et Wells., edebatur *ἐπύθοντο*. — Palmer. pro *ὁρῶν* coni. *ὀῤῥωδῶν*.

§. 6. *Ἁλίσαρναν* D. Schneid. sqq. edd. pro *Ἁλισαρνίαν*. — *Γάμβρειον* et *Παλαιγάμβρειον* Dind. pro *Γαμβριον* et *Παλαιγάμβριον*. — *Γρύνειον* B. D. F. Dind. pro *Γρύνιον*.

§. 7. *Λάρισαν* C. E. et §. 8. B. C. Dind. pro *Λάρισσαν*. — C. *τεμνόμενος*. — *ἐνέβαλον* A. B. C. Dind. pro *ἐνέβαλλον*.

*πᾶσαι γάρ*] In eandem sententiam alloquitur milites Xenoph. Anab. VI, 6, 12.

*τὸ ἱππικόν*] suum equitatum, valde imbecillum, ut recte monet Dindorf. contra Schneiderum, cui addendum videbatur *τὸ πολέμιον*.

§. 6. *σωθέντες — συνέμιξαν αὐτῷ*] Cf. Anab. VII, 8, 24. Secundum Diod. XIV, 36 iam antea Thibro Magnesiam expugnaverat, et si Isocrati in Panegyr. 144 fides est habenda, totam Lydiam vastaverat.

*Δημαράτου*] De huius Lacedaemone pulsi regis in Asiam migratione v. Herod. VI, 36—70.

*ἐκ βασιλέως*] Hunc praepositionis *ἐκ* usum apud Atticos rariorem, apud Herodotum frequentissimum notat Kuehner. ad Anab. I, 1, 6: *ἐκ βασιλέως δεδομέναι*

§. 7. *ἦν δὲ ἅς*] V. Buttm. gr. §. 150. 21. Rost. §. 177. adn. 5.

*τὴν Αἰγυπτίαν*] Cur Aegyptia appelletur Larisa, docet Xenoph. in Cyrop. VII, 1, 4. Primo agitur de iis urbibus, quae sponte sua Thibroni se dederunt, deinde de iis, quas sine magna opera accepit in ditionem, postremo de iis, quas magna vi capere conatus est Thibro.

ἐπεὶ οὐκ ἐπείθετο, περιστρατοπεδευσάμενος ἐπολιόρκει. Ἐπεὶ δὲ ἄλλως οὐκ ἐδύνατο ἑλεῖν, φρεατίαν τεμόμενος ὑπόνομον ὤρυττεν ὡς ἀφαιρησόμενος τὸ ὕδωρ αὐτῶν. Ὡς δ' ἐκ τοῦ τείχους ἐκθέοντες πολλάκις ἐνέβαλον εἰς τὸ ὄρυγμα καὶ ξύλα καὶ λίθους, ποιησάμενος αὖ χελώνην ξυλίνην ἐπέστησεν ἐπὶ τῇ φρεατίᾳ. Καὶ ταύτην μέντοι ἐκδραμόντες οἱ Λαρισαῖοι νύκτωρ κατέκαυσαν. Δοκοῦντος δ' αὐτοῦ οὐδὲν ποιεῖν, πέμπουσιν οἱ ἔφοροι ἀπολιπόντα Λάρισαν στρατεύεσθαι ἐπὶ Καρίαν.

Ἐν Ἐφέσῳ δὲ ἤδη ὄντος αὐτοῦ, ὡς ἐπὶ Καρίαν 8
πορευομένου, Δερκυλίδας ἄρξων ἀφίκετο ἐπὶ τὸ στράτευμα, ἀνὴρ δοκῶν εἶναι μάλα μηχανητικός· καὶ ἐπεκαλεῖτο δὲ Σίσυφος. Ὁ μὲν οὖν Θίβρων ἀπῆλθεν

§. 8. Dind. πορευσομένου. — Ante Dindorfium scribebatur Δερκυλλίδας. — V. εἶναι καὶ μάλα. — μηχανητικός B. D. I. marg. Leoncl. Dind. pro μηχανικός. — ἐφείη B. C. D. E. F. V. Dind., A. edd. ἐφήει, ceteri ἐφίει.

*φρεατίαν — ὤρυττε*] puteo facto canalem fodit ad urbem pertinentem, qui aquam ex urbe in puteum deduceret. Apte Hertlinius comparat Heliod. IX, 4: φρεατίαν βαθύναντες ὑπόνομον ἐκοίλαινον.

*χελώνην ξυλίνην*] quae contegeret puteum, qui ad urbem proxime erat situs. Quem quum lapidum et humi congestu obruere vellent oppidani, ut aqua repressa per fossam in urbem rediret, id prohibiturus erat Thibro testudine lignea puteo imposita.

*πέμπουσιν — στρατεύεσθαι*] Eadem ratione infinitivus ponitur post ἔρχεται III, 4, 27, ubi v. adn.

§. 8. *ὡς ἐπὶ Καρίαν πορευομένου*] Larisa relicta iam in itinere erat Thibro, eam regionem petens, in quam ire iussus erat. De ὡς cum ἐπὶ iuncto v. Buttm. gr. §. 149. 1. 1. Rost. gr. mai. §. 104. adn. 19.

*ἀφίκετο*] a. 399 a. Ch. auctumno.

*μηχανητικός*] μηχανικός est sollers, ingeniosus, quod alienum est ab h. l. Cf. Comment. III, 1, 6. Ibi callida, dolosa mens, qua opus sit duci, exprimitur per ἀγχίνους, ἐπίβουλος, ἐπιθετικός. Talis autem dux Hipparch. V, 2 dicitur μηχανητικός. Atque Dercylidam talem fuisse et hanc ipsam ob causam in Asiam missum esse Ephorus narrat apud Athen. XI, p. 500: Λακεδαιμόνιοι ἀντὶ Θίβρωνος Δερκυλίδαν ἔπεμψαν ἐς τὴν Ἀσίαν ἀκούοντες, ὅτι πάντα πράττειν εἰώθασιν οἱ περὶ τὴν Ἀσίαν βάρβαροι μετὰ ἀπάτης καὶ δόλου. Διόπερ Δερκυλίδαν ἔπεμψαν, ἥκιστα νομίζοντες ἐξαπατηθήσεσθαι· ἦν γὰρ οὐδὲν ἐν τῷ τρόπῳ Λακωνικόν, οὐδ' ἁπλοῦν ἔχων, ἀλλὰ πολὺ τὸ πανοῦργον καὶ θηριῶδες· διὸ καὶ Σκύθον (vel potius Σίσυφον, quod reponi vult cum Porsono Cobet. in Or. de arte interp. p. 58. sq.) αὐτὸν οἱ Λακεδαιμόνιοι προςηγόρευον.

*Σίσυφος*] Etym. Magn. p. 501: Σίσυφος εἴρηται οἱονεὶ σιόσυφος ὁ ἔχων ἐκ σιῶν, τοῦτ' ἔστι τῶν θεῶν, τὴν σοφίαν. Heiland. Quaest. de dial. Xen. p. 5.

οἴκαδε καὶ ζημιωθεὶς ἔφυγε· κατηγόρουν γὰρ αὐτοῦ
οἱ σύμμαχοι, ὡς ἐφείη ἁρπάζειν τῷ στρατεύματι τοὺς
9 φίλους. Ὁ δὲ Δερκυλίδας ἐπεὶ παρέλαβε τὸ στρά-
τευμα, γνοὺς ὑπόπτους ὄντας ἀλλήλοις τὸν Τισσα-
φέρνην καὶ τὸν Φαρνάβαζον, κοινολογησάμενος τῷ
Τισσαφέρνει ἀπήγαγεν εἰς τὴν Φαρναβάζου χώραν
τὸ στράτευμα, ἑλόμενος θατέρῳ μᾶλλον ἢ ἅμα ἀμ-
φοτέροις πολεμεῖν. Ἦν δὲ καὶ πρόσθεν Δερκυλίδας
πολέμιος τῷ Φαρναβάζῳ· ἁρμοστὴς γὰρ γενόμενος ἐν
Ἀβύδῳ ἐπὶ Λυσάνδρου ναυαρχοῦντος, διαβληθεὶς
ὑπὸ Φαρναβάζου, ἐστάθη τὴν ἀσπίδα ἔχων, ὃ δοκεῖ
κηλὶς εἶναι τοῖς σπουδαίοις Λακεδαιμονίων· ἀταξίας
10 γὰρ ζημίωμά ἐστι. Καὶ διὰ ταῦτα δὴ πολὺ ἥδιον
ἐπὶ τὸν Φαρνάβαζον ᾔει. Καὶ εὐθὺς μὲν τοσούτῳ
διέφερεν εἰς τὸ ἄρχειν τοῦ Θίβρωνος, ὥςτε παρήγαγε
τὸ στράτευμα διὰ τῆς φιλίας χώρας μέχρι τῆς Φαρ-
ναβάζου Αἰολίδος οὐδὲν βλάψας τοὺς συμμάχους.

Ἡ δὲ Αἰολὶς αὕτη ἦν μὲν Φαρναβάζου, ἐσατράπευε δὲ αὐτῷ τῆς χώρας, ἕως μὲν ἔζη, Ζῆνις Δαρδανεύς· ἐπεὶ δὲ ἐκεῖνος νόσῳ ἀπέθανε, παρασκευαζομένου τοῦ Φαρναβάζου ἄλλῳ δοῦναι τὴν σατραπείαν, Μανία ἡ τοῦ Ζήνιος γυνή, Δαρδανὶς καὶ αὐτή,

§. 9. γὰρ ante γενόμενος ex codd. unus B. servavit; Bryl. Cast. ὅ τι ἁρμοστὴς γενόμενος. — Ante Λακεδαιμονίων om. τῶν B. C. D. F. I. V. Dind. — D. V. om. δὴ post ταῦτα.

§. 10. οὐδὲν βλάψας B. C. D. F. I. V. marg. Leoncl. Dind. pro μηδὲν βλ. — δ' αὐτῷ ταύτης τῆς B. D. I. Y. Leoncl Steph. Wells. Dind., ceteri δ' αὐτῷ τῆς, nisi quod Schneid. edidit δὲ (om. αὐτῷ) ταύτης τῆς. — ἐπειδὴ B. D. F. Dind. pro ἐπεί. — καὶ αὐτὴ B. V. Schwidop. Dind. pro καὶ αὕτη. — Schneid. τὸν στόλον — δῶρα B. C. D. E. F. I. K. V. marg. Leoncl. Dind. pro χρήματα.

ἁρπάζειν] rara notione: diripere, spoliare. Cf. Anab. I, 2, 27: τὴν χώραν — ἀφαρπάζεσθαι. Dindorf. comparat Anab. VII, 3, 31: ἄνδρας —, οὓς οὐ ληΐζεσθαι δεήσει.

§. 9. ἑλόμενος — μᾶλλον] quum mallet.

§. 10. διέφερεν] Respicias quod in Thibrone vituperatur §. 8. extr.

καὶ αὐτή] Optimo codici obsecutus sum, quanquam καὶ αὕτη huic loco non minus convenit quam καὶ οὗτος VI, 4, 34. VII, 1, 8. Utrum praeferendum sit, ex ipsa sententia rarius cognosci potest. Nec multum iuvat quod de differentia utriusque formulae brevius docet Krueger. gr. §. 51. 7. adn. 12.

δῶρα] Interpretamentum esse videtur ex §. 12 huc illatum scripturae χρήματα, quam tamen invitis libris praestantioribus revocare non ausus sum.

ἀναζεύξασα στόλον καὶ δῶρα λαβοῦσα, ὥςτε καὶ αὐτῷ Φαρναβάζῳ δοῦναι καὶ παλλακίσιν αὐτοῦ χαρίσασθαι καὶ τοῖς δυναμένοις μάλιστα παρὰ Φαρναβάζῳ, ἐπορεύετο. Ἐλθοῦσα δ᾽ εἰς λόγους εἶπεν, Ὦ Φαρνάβαζε, 11
ὁ ἀνήρ σοι ὁ ἐμὸς καὶ τἆλλα φίλος ἦν καὶ τοὺς φόρους ἀπεδίδου, ὥςτε σὺ ἐπαινῶν αὐτὸν ἐτίμας. Ἢν οὖν ἐγώ σοι μηδὲν χεῖρον ἐκείνου ὑπηρετῶ, τί σε δεῖ ἄλλον σατράπην καθιστάναι; ἢν δέ τί σοι μὴ ἀρέσκω, ἐπὶ σοὶ δήπου ἔσται ἀφελομένῳ ἐμὲ ἄλλῳ δοῦναι τὴν ἀρχήν. Ἀκούσας ταῦτα ὁ Φαρνάβαζος 12
ἔγνω δεῖν τὴν γυναῖκα σατραπεύειν. Ἡ δ᾽ ἐπεὶ κυρία τῆς χώρας ἐγένετο, τούς τε φόρους οὐδὲν ἧττον τἀνδρὸς ἀπεδίδου καὶ πρὸς τούτοις, ὁπότε ἀφικνοῖτο πρὸς Φαρνάβαζον, ἀεὶ ἦγε δῶρα αὐτῷ, καὶ ὁπότε ἐκεῖνος εἰς τὴν χώραν καταβαίνοι, πολὺ πάντων τῶν ὑπάρχων κάλλιστα καὶ ἥδιστα ἐδέχετο αὐτόν, καὶ ἅς 13
τε παρέλαβε πόλεις διεφύλαττεν αὐτῷ καὶ τῶν οὐχ ὑπηκόων προςέλαβεν ἐπιθαλαττιδίας Λάρισάν τε καὶ Ἁμαξιτὸν καὶ Κολωνάς, ξενικῷ μὲν Ἑλληνικῷ προςβαλοῦσα τοῖς τείχεσιν, αὐτὴ δ᾽ ἐφ᾽ ἁρμαμάξης θεωμένη· ὃν δ᾽ ἐπαινέσειε, τούτῳ δῶρα ἀμέμπτως ἐδί-

§. 11. B. C. ἐς λόγον, Cast. ἐς τοὺς λόγους. — A. C. E. F. edd. vett. om. οὖν post ἦν.
§. 12. Cast. ἀφικνεῖτο.
§. 13. Λάρισαν B. D. Dind. pro Λάρισσαν. — V. φερομένη pro θεωμένη, sed supra scripto m. pr. γρ. θεωμένη. — λαμπρότατα B. F. I. marg. Leoncl. Dind. pro λαμπρότατον. — σύμβουλον B. D. Dind. pro ξύμβ.

ὥςτε — δοῦναι] ut dare posset. V. ad III, 4, 17.

§. 11. εἰς λόγους] Singulari numero nusquam locus est in hac formula nisi ubi certum quoddàm colloquium significatur velut Cyrop. II, 2, 7: ἀφίκετο δ᾽ οὖν καὶ εἰς τόνδε ποτὲ τὸν λόγον.

ἐπαινῶν] otiose ac languide additum. Exspectamus potius ἐξαιρέτως vel simile quid.

§. 13. Λάρισαν] Diodor. XIV, 38, ubi Dercylidam ait has easdem Troadis urbes in potestatem suam redegisse, habet: ἐπὶ τὰς ἐν Τρῳάδι πόλεις· Ἁμαξιτὸν οὖν καὶ Κολωνὰς καὶ Ἀρίσβαν εἷλεν ἐξ ἐφόδου. Plinius in agro Troiano Dardanium et Arisben oppida habet V. 5. 33. Stephanus Byz. a Mitylenaeis conditam ait; Arisben autem, Lesbi oppidum, terrae motu subversum, nominat Plinius V. 5. 39. Etsi igitur ex Diodori loco mallet quis legere h. l. Ἀρίσβαν, habet tamen vulgata situm etiam satis commodum Larisae, quae a vicina Hamaxito dicebatur Λάρισα ἡ καθ᾽ Ἁμαξιτὸν, teste Strabone XIII. p. 620. Schneiderus.

ἀμέμπτως] largiter. Sic Cyrop. IV, 2, 37: ἀμέμπτως δέ-

δον, ὥςτε λαμπρότατα τὸ ξενικὸν κατεσκευάσατο. Συνεστρατεύετο δὲ τῷ Φαρναβάζῳ καὶ ὁπότε εἰς Μυσοὺς ἢ Πισίδας ἐμβάλοι, ὅτι τὴν βασιλέως χώραν κακουργοῦσιν. Ὥςτε καὶ ἀντετίμα αὐτὴν μεγαλοπρεπῶς ὁ Φαρνάβαζος καὶ σύμβουλον ἔστιν ὅτε παρεκά-
14 λει. Ἤδη δ' οὔσης αὐτῆς ἐτῶν πλέον ἢ τετταράκοντα, Μειδίας, θυγατρὸς ἀνὴρ αὐτῆς ὤν, ἀναπτερωθεὶς ὑπό τινων, ὡς αἰσχρὸν εἴη γυναῖκα μὲν ἄρχειν, αὐτὸν δ' ἰδιώτην εἶναι, τοὺς μὲν ἄλλους μάλα φυλαττομένης αὐτῆς, ὥςπερ ἐν τυραννίδι προςῆκεν, ἐκείνῳ δὲ πιστευούσης καὶ ἀσπαζομένης, ὥςπερ ἂν γυνὴ γαμβρὸν ἀσπάζοιτο, εἰςελθὼν ἀποπνῖξαι αὐτὴν λέγεται. Ἀπέκτεινε δὲ καὶ τὸν υἱὸν αὐτῆς τό τε εἶδος ὄντα πάγκα-
15 λον καὶ ἐτῶν ὄντα ὡς ἑπτακαίδεκα. Ταῦτα δὲ ποιήσας Σκῆψιν καὶ Γέργιθα ἐχυρὰς πόλεις κατέσχεν, ἔνθα καὶ τὰ χρήματα μάλιστα ἦν τῇ Μανίᾳ. Αἱ δὲ ἄλλαι πόλεις οὐκ ἐδέχοντο αὐτόν, ἀλλὰ Φαρναβάζῳ ἔσωζον αὐτὰς οἱ ἐνόντες φρουροί. Ἐκ δὲ τούτου ὁ Μειδίας πέμψας δῶρα τῷ Φαρναβάζῳ ἠξίου ἔχειν τὴν χώραν ὥςπερ ἡ Μανία. Ὁ δ' ἀπεκρίνατο φυλάττειν αὐτά, ἔστ' ἂν αὐτὸς ἐλθὼν σὺν αὐτῷ ἐκείνῳ λάβῃ τὰ δῶρα· οὐ γὰρ ἂν ἔφη ζῆν βούλεσθαι μὴ τιμωρή-
16 σας Μανίᾳ. Ὁ δὲ Δερκυλίδας ἐν τούτῳ τῷ καιρῷ ἀφικνεῖται, καὶ εὐθὺς μὲν ἐν μιᾷ ἡμέρᾳ Λάρισαν καὶ

§. 14. D. *ἀνὴρ ὢν αὐτῆς.* — *μάλα* ex B. addunt Schneid. Dind. — Leoncl. malebat *προσῆκον*, Wolf. Schneid. dant *προσήκει* pro *προσῆκεν.* — *συμμάχους* B. D. Dind. pro *ξυμμ.*

§. 15. V. *ἐκεῖνα*, D. *ἐκεῖνος* pro *ἐκείνῳ.* — B. *λάβοι* pro *λάβῃ.*

§. 16. Edd. vett. om. *μὲν* ante *ἐν μιᾷ.* — *Λάρισαν* B. D. Dind. pro *Λάρισσαν.* — *εἰς τὰ* Dind. pro *πρὸς τά.* — Edd. vett. *εἵποντο* pro *περιείποντο.*

*χεσθαι τοὺς ἄνδρας*, laute excipere viros.

*λαμπρότατα*] Vulgatum *λαμπρότατον* haud scio an revocandum sit comparatis Oecon. IV, 7: *καὶ τούτους δοκίμους ἵπποις τε καὶ ὅπλοις κατεσκευασμένους παρέχωσι*, ubi v. adn. Ages. VIII, 8: *πολὺ μέντοι ἔγωγε κάλλιον κρίνω τὸ τὴν αὑτοῦ ψυχὴν ἀνάλωτον κατασκευάσαι.* Hellen. III, 2, 11: *κατασκευάσας — ἔκπλεω πάντα τὰ ἐπιτήδεια.*

§. 14. *ὥςπερ — προςῆκεν*] h. e. *ὥςπερ προςῆκεν αὐτῇ τυραννίδα ἐχούσῃ.* Ita imperfectum nihil habet offensionis.

*εἰςελθών*] Polyaenus VIII, 54, ubi eandem rem narrat: *ἐπειςελθὼν αὐτὴν διεχρήσατο.*

§. 16. *ὁ δὲ Δερκυλίδας*] Quae §§. 10—15 narrantur facta erant ante adventum Dercylidae, ad quem iam redit Xenophon.

*ἐλευθεροῦσθαι*] ut in libertatem se vindicarent.

Ἀμαξιτὸν καὶ Κολωνὰς τὰς ἐπιθαλαττίους πόλεις ἑκούσας παρέλαβε· πέμπων δὲ καὶ πρὸς τὰς Αἰολίδας πόλεις ἠξίου ἐλευθεροῦσθαί τε αὐτὰς καὶ εἰς τὰ τείχη δέχεσθαι καὶ συμμάχους γίγνεσθαι. Οἱ μὲν οὖν Νεανδρεῖς καὶ Ἰλιεῖς καὶ Κοκυλῖται ἐπείθοντο· καὶ γὰρ οἱ φρουροῦντες Ἕλληνες ἐν αὐταῖς, ἐπεὶ ἡ Μανία ἀπέθανεν, οὐ πάνυ τι καλῶς περιείποντο· ὁ δ' ἐν Κε- 17
βρῆνι, μάλα ἰσχυρῷ χωρίῳ, τὴν φυλακὴν ἔχων, νομίσας, εἰ διαφυλάξειε Φαρναβάζῳ τὴν πόλιν, τιμηθῆναι ἂν ὑπ' ἐκείνου, οὐκ ἐδέχετο τὸν Δερκυλίδαν. Ὁ δὲ ὀργιζόμενος παρεσκευάζετο προςβάλλειν. Ἐπεὶ δὲ θυομένῳ αὐτῷ οὐκ ἐγίγνετο τὰ ἱερὰ τῇ πρώτῃ, τῇ ὑστεραίᾳ πάλιν ἐθύετο. Ὡς δὲ οὐδὲ ταῦτα ἐκαλλιερεῖτο, πάλιν τῇ τρίτῃ· καὶ μέχρι τεττάρων ἡμερῶν ἐκαρτέρει θυόμενος, μάλα χαλεπῶς φέρων· ἔσπευδε γάρ, πρὶν Φαρνάβαζον βοηθῆσαι, ἐγκρατὴς γενέσθαι πάσης τῆς Αἰολίδος. Ἀθηνάδας δέ τις Σικυώνιος 18
λοχαγός, νομίσας τὸν μὲν Δερκυλίδαν φλυαρεῖν διατρίβοντα, αὐτὸς δ' ἱκανὸς εἶναι τὸ ὕδωρ ἀφελέσθαι τοὺς Κεβρηνίους, προςδραμὼν σὺν τῇ ἑαυτοῦ τάξει ἐπειρᾶτο τὴν κρήνην συγχοῦν. Οἱ δὲ ἔνδοθεν ἐπεξελθόντες αὐτόν τε συνέτρωσαν καὶ δύο ἀπέκτειναν καὶ τοὺς ἄλλους παίοντες καὶ βάλλοντες ἀπήλασαν. Ἀχθομένου δὲ τοῦ Δερκυλίδου καὶ νομίζοντος ἀθυμοτέ-

§. 17. E. edd. vett. om. δὲ post ὡς.

§. 18. E. edd. vett. om. τοὺς ante ἄλλους. — K. αὐτόν τε ἀπέκτειναν καὶ δύο συνέτρωσαν. — καὶ ante τὴν addunt B. D. E. F. I. Leoncl. Steph. Schneid. sqq. edd. — Ante καὶ εἶπον om. οἱ B. C. D. V. Schneid. Dind. — ἀρέσκοι D. Mor. sqq. edd. pro ἀρέσκει.

δέχεσθαι] ἑαυτόν scil.

§. 17. ἐγίγνετο τὰ ἱερά] Sic dici solet sine καλά, quod additum est Cyrop. II, 4, 18. Anab. VI, 4, 9. Cf. etiam Anab. VI, 5, 8: καὶ ἐγένετο ἐπὶ τοῦ πρώτου καλὰ τὰ σφάγια.

οὐδὲ ταῦτα ἐκαλλιερεῖτο] idem valet quod οὐδὲ ταῦτα τὰ ἱερὰ καλὰ ἦν. Quare non est cur cum Moro scribamus ταύτῃ pro ταῦτα.

§. 18. οἱ δὲ ἔνδοθεν] h. e. οἱ δὲ ἔνδον (ἐκ τῆς πόλεως) ἐπεξελθόντες. Sic §. 22 propter sequens verbum ὁρῶντες dicitur οἱ δὲ ἀπὸ τῶν πύργων pro οἱ δ' ἐν τοῖς πύργοις, de quo attractionis genere v. Rost. gr. mai. §. 110b, 2b, cc. p. 564 sq. gr. schol. §. 163, 61 c, cc. Buttm. §. 151. I. 8.

ἀθυμοτέραν καὶ τὴν προςβολήν] Poetarum more oppugnatio ἀθυμοτέρα dicitur, quum proprie oppugnantes dicendi essent ἀθυμότεροι. — καὶ est praeterea, h. e. praeter indignationem.

*ραν καὶ τὴν προςβολὴν ἔσεσθαι. ἔρχονται ἐκ τοῦ τείχους παρὰ τῶν Ἑλλήνων κήρυκες καὶ εἶπον, ὅτι ἃ μὲν ὁ ἄρχων ποιοίη οὐκ ἀρέσκοι σφίσιν, αὐτοὶ δὲ βούλοιντο σὺν τοῖς Ἕλλησι μᾶλλον ἢ σὺν τῷ βαρβάρῳ*

19 *εἶναι. Ἔτι δὲ διαλεγομένων αὐτῶν ταῦτα, παρὰ τοῦ ἄρχοντος αὐτῶν ἧκε λέγων, ὅτι ὅσα λέγοιεν οἱ πρόσθεν καὶ αὐτῷ δοκοῦντα λέγοιεν. Ὁ οὖν Δερκυλίδας εὐθὺς ὥςπερ ἔτυχε κεκαλλιερηκὼς ταύτῃ τῇ ἡμέρᾳ, ἀναλαβὼν τὰ ὅπλα ἡγεῖτο πρὸς τὰς πύλας· οἱ δ᾽ ἀναπετάσαντες ἐδέξαντο. Καταστήσας δὲ καὶ ἐνταῦθα φρουροὺς εὐθὺς ᾔει ἐπὶ τὴν Σκῆψιν καὶ*

20 *τὴν Γέργιθα. Ὁ δὲ Μειδίας προςδοκῶν μὲν τὸν Φαρνάβαζον, ὀκνῶν δ᾽ ἤδη τοὺς πολίτας, πέμψας πρὸς τὸν Δερκυλίδαν εἶπεν, ὅτι ἔλθοι ἂν εἰς λόγους, εἰ ὁμήρους λάβοι. Ὁ δὲ πέμψας αὐτῷ ἀπὸ πόλεως ἑκάστης τῶν συμμάχων ἕνα ἐκέλευσε λαβεῖν τούτων ὁπόσους τε καὶ ὁποίους βούλοιτο. Ὁ δὲ λαβὼν δέκα ἐξῆλθε καὶ συμμίξας τῷ Δερκυλίδᾳ ἠρώτα, ἐπὶ τίσιν ἂν σύμμαχος γένοιτο. Ὁ δ᾽ ἀπεκρίνατο, ἐφ᾽ ᾧτε τοὺς πολίτας ἐλευθέρους τε καὶ αὐτονόμους ἐᾶν. Καὶ ἅμα*

21 *ταῦτα λέγων ᾔει πρὸς τὴν Σκῆψιν. Γνοὺς δὲ ὁ Μειδίας, ὅτι οὐκ ἂν δύναιτο κωλύειν βίᾳ τῶν πολιτῶν, εἴασεν αὐτὸν εἰςιέναι. Ὁ δὲ Δερκυλίδας θύσας τῇ Ἀθηνᾷ ἐν τῇ τῶν Σκηψίων ἀκροπόλει τοὺς μὲν τοῦ Μειδίου φρουροὺς ἐξήγαγε, παραδοὺς δὲ τοῖς πολίταις τὴν πόλιν καὶ παρακελευσάμενος, ὥςπερ Ἕλληνας καὶ*

§. 19. K. *ὁ δὲ* pro *ὁ οὖν*. — D. *καὶ αὐτὸς* pro *εὐθὺς*. — F. *καὶ* inserit ante *κεκαλλιερηκώς*. — K. *ἀναπετάσαντες τὰς πύλας*.

§. 20. K. *ἐκ πόλεως* pro *ἀπὸ πόλεως*.

§. 21. *Σκηψίων* est in B., ante Leonclavium legebatur *Σκήψεων*. — *τοῦ* ante *Μειδίου* addunt B. Schneid. Dind. — *δὲ* post *παραδοὺς* addunt F. Dind. — *ἡγεῖτο* B. C. D. F. K. V. Y. Dind. pro *ᾔει*, E. *ἥειτο*.

§. 19. *λέγων*] *τις*. V. ad II, 1, 8. VI, 5, 25.

§. 20. *ἐξῆλθε*] Scepsi scil., quo Midias, interfecta socru, se contulerat. Eodem mox pergit Dercylidas.

*συμμίξας*] collocutus, ut Cyrop. VIII, 1, 46, saepius apud Herodotum. Polyaenus hanc rem sic narrat: *Δερκυλίδας ὤμοσε Μειδίᾳ τῷ τυράννῳ τῆς Σκήψεως, ἐφ᾽ ᾧ προελθόντα ταχὺ καὶ ὁμιλήσαντα πάλιν εἰς τὴν πόλιν ἀφεῖναι· καὶ δὴ ὁ μὲν τύραννος προῆλθε. Δερκυλίδας δὲ προσέταξεν ἀνοῖξαι τὰς πύλας· εἰ δὲ μή, φονεύσειν αὐτὸν ἠπείλησεν. ἐπεὶ δὲ φοβηθεὶς ἀνέῳξεν, ἀφίημί σε, ἔφη, νῦν εἰς τὴν πόλιν, τοῦτο γὰρ ὤμοσα, κἀγὼ δὲ μετὰ τῆς ἐμῆς δυνάμεως εἰςέρχομαι.*

ἐλευθέρους χρή, οὕτω πολιτεύειν, ἐξελθὼν ἡγεῖτο ἐπὶ τὴν Γέργιθα. Συμπροὔπεμπον δὲ πολλοὶ αὐτὸν καὶ τῶν Σκηψίων τιμῶντές τε καὶ ἡδόμενοι τοῖς πεπραγμένοις. Ὁ δὲ Μειδίας παρεπόμενος αὐτῷ ἠξίου τὴν τῶν Γεργιθίων πόλιν παραδοῦναι αὐτῷ. Καὶ ὁ 22
Δερκυλίδας μέντοι ἔλεγεν, ὡς τῶν δικαίων οὐδενὸς ἀτυχήσοι· ἅμα δὲ ταῦτα λέγων ᾔει πρὸς τὰς πύλας σὺν τῷ Μειδίᾳ, καὶ τὸ στράτευμα ἠκολούθει αὐτῷ εἰρηνικῶς εἰς δύο. Οἱ δ' ἀπὸ τῶν πύργων καὶ μάλα ὑψηλῶν ὄντων ὁρῶντες τὸν Μειδίαν σὺν αὐτῷ οὐκ ἔβαλλον· εἰπόντος δὲ τοῦ Δερκυλίδου, Κέλευσον, ὦ Μειδία, ἀνοῖξαι τὰς πύλας, ἵνα ἡγῇ μὲν σύ, ἐγὼ δὲ σὺν σοὶ εἰς τὸ ἱερὸν ἔλθω κἀνταῦθα θύσω τῇ Ἀθηνᾷ, ὁ Μειδίας ὤκνει μὲν ἀνοίγειν τὰς πύλας, φοβούμενος δέ, μὴ παραχρῆμα συλληφθῇ, ἐκέλευεν ἀνοῖξαι. Ὁ δ' ἐπεὶ εἰςῆλθεν, ἔχων αὖ τὸν Μειδίαν ἐπο- 23
ρεύετο πρὸς τὴν ἀκρόπολιν· καὶ τοὺς μὲν ἄλλους στρατιώτας ἐκέλευσε θέσθαι περὶ τὰ τείχη τὰ ὅπλα, αὐτὸς δὲ σὺν τοῖς περὶ αὐτὸν ἔθυε τῇ Ἀθηνᾷ. Ἐπεὶ δ' ἐτέθυτο, ἀνεῖπε καὶ τοὺς Μειδίου δορυφόρους θέσθαι τὰ ὅπλα ἐπὶ τῷ στόματι τοῦ ἑαυτοῦ στρατεύματος ὡς μισθοφορήσοντας· Μειδίᾳ γὰρ οὐδὲν ἔτι δεινὸν εἶναι. Ὁ μέντοι Μειδίας ἀπορῶν, ὅ τι ποιοίη, 24
εἶπεν, Ἐγὼ μέντοι νῦν ἄπειμι, ἔφη, ξένιά σοι παρα-

§. 22. ἀτυχήσοι B. D. F. V. Dind., ἀτυχήσειν A. Ald. Iunt., ceteri ἀτυχήσει. — εἰρηνικῶς εἰς δύο B. D. V. Dind., ceteri ἐς δύο εἰρηνικῶς. — συν σοὶ εἰς τὸ ἱερὸν B. D. F. Dind. pro εἰς τὸ ἱερὸν σὺν σοί. — ἐκέλευεν B. D. Dind. pro ἐκέλευσεν.

§. 23. K. ὁ δ' ἐπειδὴ. — αὖ τὸν B. D. K. V. marg. Leoncl. Dind. pro αὐτὸν, Iacobs. coni. ἀεὶ τὸν. — K. εἰς τὴν ἀκρ., B. om. τὴν. — B. marg. Leoncl. ἐκέλευε pro ἐκέλευσε. — B. D. V. δὲ τέθυτο. — V. ἔτι δεινὸν οὐδέν.

§. 24. D. ἐγὼ μὲν τοίνυν. — καὶ post ἀλλήλους addunt B. D. F.

§. 22. εἰς δύο] binis binos sequentibus, ut saepissime ἄγειν, ἡγεῖσθαι εἰς δύο, εἰς τρεῖς etc.

οἱ δ' ἀπὸ τῶν πύργων] Cyrop. V, 4, 18: οἱ ἀπὸ τῶν πύργων ἡμῖν — ἐπαρήξουσι. V. ad §. 18. III, 5, 23.

ἐκέλευεν] Malim aoristum qui sententiae aptissimus est post imperfectum ὤκνει. V. ad IV, 5, 3. Sed cf. etiam V, 4, 6, 37.

§. 23. ἐκέλευσε — ἔθυε] De transitu ab aoristo ad imperfectum v. ad III, 4, 24.

ὡς μισθοφορήσοντας] Dercylidae scil. quae statim sequuntur verba ironice dicta sunt: Midiae nihil metuendum est, nimirum quia iam nihil est nisi

σκευάσων. Ὁ δέ, Οὐ μὰ Δί', ἔφη, ἐπεὶ αἰσχρὸν ἐμὲ
τεθνηκότα ξενίζεσθαι ὑπὸ σοῦ, ἀλλὰ μὴ ξενίζειν σέ.
Μένε οὖν παρ' ἡμῖν· ἐν ᾧ δ' ἂν τὸ δεῖπνον παρα-
σκευάζηται, ἐγὼ καὶ σὺ τὰ δίκαια πρὸς ἀλλήλους καὶ
25 διασκεψόμεθα καὶ ποιήσομεν. Ἐπεὶ δ' ἐκαθέζοντο,
ἠρώτα ὁ Δερκυλίδας, Εἰπέ μοι, ὦ Μειδία, ὁ πατήρ
σε ἄρχοντα τοῦ οἴκου κατέλιπε; Μάλιστα, ἔφη. Καὶ
πόσαι σοι οἰκίαι ἦσαν; πόσοι δὲ χῶροι; πόσαι δὲ νο-
μαί; ἀπογράφοντος δ' αὐτοῦ, οἱ παρόντες τῶν Σκη-
26 ψίων εἶπον, Ψεύδεταί σε οὗτος, ὦ Δερκυλίδα. Ὑμεῖς
δέ γ', ἔφη, μὴ λίαν μικρολογεῖσθε. Ἐπειδὴ δὲ ἀπε-
γέγραπτο τὰ πατρῷα, Εἰπέ μοι, ἔφη, Μανία δὲ τί-
νος ἦν; Οἱ δὲ πάντες εἶπον, ὅτι Φαρναβάζου. Οὐκ-
οῦν καὶ τὰ ἐκείνης, ἔφη, Φαρναβάζου; Μάλιστα, ἔφα-
σαν. Ἡμέτερ' ἂν εἴη, ἔφη, ἐπεὶ κρατοῦμεν· πολέ-
μιος γὰρ ἡμῖν Φαρνάβαζος. Ἀλλ' ἡγείσθω τις, ἔφη,
27 ὅπου κεῖται τὰ Μανίας καὶ τὰ Φαρναβάζου. Ἡγου-
μένων δὲ τῶν ἄλλων ἐπὶ τὴν Μανίας οἴκησιν, ἣν πα-
ρειλήφει ὁ Μειδίας, ἠκολούθει κἀκεῖνος. Ἐπεὶ δ'
εἰςῆλθεν, ἐκάλει ὁ Δερκυλίδας τοὺς ταμίας, φράσας
δὲ τοῖς ὑπηρέταις λαβεῖν αὐτοὺς προεῖπεν αὐτοῖς,
ὡς, εἴ τι κλέπτοντες ἁλώσοιντο τῶν Μανίας, παρα-

I. V. Leoncl. Steph. Dind. — B. D. E. F. διασκεψώμεθα, B. D. ποιήσωμεν, sed in D. utrobique suprascripto ο, E. ποιήσωμεν suprascripto σομ.

§. 25. Post ὦ Μειδία om. ἔφη B. D. F. V. et pr. m. E. — πόσοι δὲ χῶροι B. D. V. marg. Leoncl. Dind. pro πόσαι — χῶραι. — A. C. E. Σκηψέων. — B. ψεύσεται.

§. 26. ἡμέτερ' ἂν B. V. Schneid. Dind. pro ἡμέτερα ἄν.

§. 27. A. Schneid. ὁ Δερκυλίδας, ἐκάλει. — δὲ post φράσας addunt B. D. I. V. Schneid. Dind. — B. κατέκλεισεν αὐτούς.

homo privatus, quare ne custodibus quidem egebit.

§. 24. ξενίζεσθαι] Hoc verbo ludit Dercylidas, qui ad coenam, quae sacrificium sequi solebat, invitans Midiam simul eius dona hospitalia spernit.

§. 26. μὴ λίαν μικρολογεῖσθε] *nehmt es in Kleinigkeiten nicht gar zu genau.*

τίνος ἦν;] ut serva scil. Nam servorum loco Persarum reges habebant vel satrapes et urbium praefectos. V. infra IV, 1, 36. VI, 1, 12.

Ἡμέτερ' ἂν εἴη] In responsionibus, ubi cum alacritate quadam alter alterius excipit orationem, haud raro omittitur οὖν vel similis particula. Infra III, 3, 2. Comment. IV, 2, 34. V. ad Oecon. XVI, 12. Hier. I, 26. Bornemann. ad Cyrop. IV, 4, 5.

§. 27. κλέπτοντες] non indicantes quod aut antea ablatum aut nunc demum occultum relinquerent.

χρῆμα ἀποσφαγήσοιντο. Οἱ δ' ἐδείκνυσαν. Ὁ δ' ἐπεὶ εἶδε πάντα, κατέκλεισέν αὐτὰ καὶ κατεσημήνατο καὶ φύλακας κατέστησεν. Ἐξιὼν δὲ οὓς εὗρεν ἐπὶ 28
ταῖς θύραις τῶν ταξιάρχων καὶ λοχαγῶν, εἶπεν αὐτοῖς, Μισθὸς μὲν ἡμῖν, ὦ ἄνδρες, εἴργασται τῇ στρατιᾷ ἐγγὺς ἐνιαυτοῦ ὀκτακισχιλίοις ἀνδράσιν· ἢν δέ τι προςεργασώμεθα, καὶ ταῦτα προςέσται. Ταῦτα δ' εἶπε γιγνώσκων, ὅτι ἀκούσαντες πολὺ εὐτακτότεροι καὶ θεραπευτικώτεροι ἔσοιντο. Ἐρομένου δὲ τοῦ Μειδίου, Ἐμὲ δὲ ποῦ χρὴ οἰκεῖν, ὦ Δερκυλίδα; ἀπεκρίνατο, Ἔνθαπερ καὶ δικαιότατον, ὦ Μειδία, ἐν τῇ πατρίδι τῇ σαυτοῦ Σκήψει καὶ ἐν τῇ πατρῴᾳ οἰκίᾳ.

§. 28. ἡμῖν B. D. marg. Leoncl. Weisk. sqq. edd. pro ὑμῖν. — εἴργασται B. D. marg. Leoncl. et pr. E. I. V. Dind. pro ἐξείργασται. — Ante εὐτακτότεροι om. ἔτι B. C. D. E. et pr. F. V. Dind. — B. V. ἔσονται. — A. C. E. F. edd. vett. om. δὲ post ἐμὲ. — ὦ Μειδία addunt B. Schneid. Dind.

§. 28. ὀκτακισχιλίοις] Isocr. Paneg. 144: Δερκυλίδας χιλίους ἔχων ὁπλίτας τῆς Αἰολίδος ἐπῆρξε. Laudator numerum militum aequo magis imminuit. Septem milia hominum Dercylidae exercitum habuisse narrat Diodor. XIV, 39.

προςέσται] h. e. etiam haec in mercedem exercitus consumentur.

Ἐμὲ δέ] De particula adversativa saepius in vividioribus interrogationibus ita usurpata, ut referatur ad sententiam mente supplendam, v. Kuehner. ad Comment. I, 3, 13.

ὦ Μειδία] eleganter additur. Nam cum humana quadam cavillatione compellat hominem.

# CAPUT II.

## ARGUMENTUM.

Hinc Pharnabazus cum eo facit inducias; ipse per hiemem Bithynorum Thracum regionem vastat. Vere redeunte ad Dercylidam venerunt domo legati, qui imperium ei prorogarent militumque laudarent virtutem et integritatem. Dercylidas quum ex iisdem audisset legatos e Chersoneso petiisse a Lacedaemoniis, ut muro Thraces a Chersoneso arcerent, rursus cum Pharnabazo pactus inducias istuc est profectus et muri opere strenue perfecto rediit in Asiam et Atarnea a Chiorum exsulibus occupatam vi expugnavit eamque ita armavit, ut in eam, quoties istuc veniret, commode posset divertere. Inde abiit Ephesum. Legati a Graecis Asiaticis Lacedaemonios docent Tissaphernem ita posse cogi, ut sibi libertatem redderet, si Caria, ubi eius esset domicilium, infestaretur. Iubent ergo ephori Dercylidam istuc transire. Venerat tum in eandem Cariam cum Tissapherne Pharnabazus: quos quum Dercylidas accepisset Maeandrum rursus transiisse, transiit et ipse. Instruxerant Persae exercitum, ut Lacedaemonios, quos securos et dispalatos insequi putabant, imparatos opprimerent. Sed Dercylidas quum propius accessisset, re cognita, confestim suos ad pugnam instruxit. Sed Tissaphernes metu Graecorum misit qui illum ad colloquium invitarent. Deinde pax servata his conditionibus, ut rex civitatibus Graecis libertatem daret, Lacedaemonii harmostas ex iisdem revocarent et e regis ditione abirent. Domi interim propter antiquas iniurias Lacedaemonii bellum intulerunt Eleis. Sed Agis rex iam in hosticum ingressus terrae motu, quasi dei monitu, absterritus exercitum dimisit. Rursus insequenti anno idem Eleos petiit, eorumque regionem misere vastavit. Redeunte aestate Elei pacem petentes obtinuerunt iniquis conditionibus.

---

1 Ὁ μὲν δὴ Δερκυλίδας ταῦτα διαπραξάμενος καὶ λαβὼν ἐν ὀκτὼ ἡμέραις ἐννέα πόλεις ἐβουλεύετο, ὅπως ἂν μὴ ἐν τῇ φιλίᾳ χειμάζων βαρὺς εἴη τοῖς συμμάχοις, ὥσπερ Θίβρων, μηδ᾽ αὖ Φαρνάβαζος καταφρονῶν τῇ ἵππῳ κακουργῇ τὰς Ἑλληνίδας πόλεις. Πέμπει οὖν πρὸς αὐτὸν καὶ ἐρωτᾷ, πότερον βούλεται

Cap. II. §. 1. *συμμ.* B. D. Dind. pro *ξυμμ.* — *βούλεται* ante *εἰρήνην* ponunt D. E. F. V. Dind., post *ἔχειν* ceteri.

Cap. II. §. 1. *μηδ᾽*] h. e. *ὅπως δὲ μή*, neve; de coniunctivo, quanquam imperfectum antecessit, posito v. ad I, 1, 4.

εἰρήνην ἢ πόλεμον ἔχειν. Ὁ μέντοι Φαρνάβαζος νομίσας τὴν Αἰολίδα ἐπιτετειχίσθαι τῇ ἑαυτοῦ οἰκήσει Φρυγίᾳ σπονδὰς εἵλετο.

Ὡς δὲ ταῦτα ἐγένετο, ἐλθὼν ὁ Δερκυλίδας εἰς 2
τὴν Βιθυνίδα Θρᾴκην ἐκεῖ διεχείμαζεν, οὐδὲ τοῦ Φαρναβάζου πάνυ τι ἀχθομένου· πολλάκις γὰρ οἱ Βιθυνοὶ αὐτῷ ἐπολέμουν. Καὶ τὰ μὲν ἄλλα ὁ Δερκυλίδας ἀσφαλῶς φέρων καὶ ἄγων τὴν Βιθυνίδα καὶ ἄφθονα ἔχων τὰ ἐπιτήδεια διετέλει· ἐπειδὴ δὲ ἦλθον αὐτῷ παρὰ τοῦ Σεύθου πέραθεν σύμμαχοι τῶν Ὀδρυσῶν ἱππεῖς τε ὡς διακόσιοι καὶ πελτασταὶ ὡς τριακόσιοι, οὗτοι στρατοπεδευσάμενοι καὶ περισταυρωσάμενοι ἀπὸ τοῦ Ἑλληνικοῦ ὡς εἴκοσι στάδια, αἰτοῦντες φύλακας τοῦ στρατοπέδου τὸν Δερκυλίδαν τῶν ὁπλιτῶν, ἐξήεσαν ἐπὶ λείαν καὶ πολλὰ ἐλάμβανον ἀνδράποδά τε
καὶ χρήματα. Ἤδη δ' ὄντος μεστοῦ τοῦ στρατοπέ- 3
δου αὐτοῖς πολλῶν αἰχμαλώτων, καταμαθόντες οἱ Βιθυνοὶ ὅσοι τ' ἐξήεσαν καὶ ὅσους κατέλιπον Ἕλληνας φύλακας, συλλεγέντες παμπληθεῖς πελτασταὶ καὶ ἱππεῖς ἅμ' ἡμέρᾳ προςπίπτουσι τοῖς ὁπλίταις ὡς διακοσίοις οὖσιν. Ἐπειδὴ δ' ἐγγὺς ἐγένοντο, οἱ μὲν ἔβαλ-

§. 2. οὐδέ Naber. Dind. pro οὐδέν. — τὰ ante ἐπιτήδεια om. E. F. edd. vett. — ἐπειδὴ δὲ B. D. C. Dind. pro ἐπεὶ δὲ, sed C. om. δὲ. — Post ἦλθον om. τότε B. D. F. V. Dind. — συμ. B. D. Dind. pro ξυμ. — Edd. vett. φύλακα.

§. 3. ὄντος μεστοῦ τοῦ στρ. αὐτοῖς B. D. E. V. Dind. pro ὄντος τοῦ στρ. αὐτοῖς μεστοῦ. — Ἑλλ. φύλακας B. C. D. F. V. Dind. pro φύλ. Ἑλλ. — συλλ. B. D. Dind. pro ξυλλ. — Ante ἀνδρομήκει om. ἐν B. D. Steph. Leoncl. Schneid. Dind. — Libri τὸ αὐτῶν.

ἐπιτετειχίσθαι] munitam (quasi) imminere. Cf. VII. 2, 1. 20. Quod illis locis de loco munito sive castello, h. l. de universa Aeolide multis praesidiis munita dicitur.

σπονδάς] per hiemem, quod intelligitur ex §. 9. Diodor. XIV, 28: ὀκτωμηνιαίους ἀνοχάς.

§. 2. οὐδὲ — πάνυ τι] Aut οὐδέν τι aut οὐδὲ πάνυ τι dicendum est, non οὐδὲν πάνυ τι. V. ad Oecon. III, 8. „τὶ intendit vim verborum οὐ πάνυ, ut sit nullo modo." Kuehner. ad Anab. VI, 1, 26. Cf. infra VII, 1, 32: οὐ πολύ τι, VII, 4, 35: εἰ μή τι καλοῖεν.

τὰ μὲν ἄλλα] ceteroqui, h. e. in aliis expeditionibus, quibus opponitur ea clades, quam (§. 3) ducenti milites accipiunt.

ἀσφαλῶς] sine periculo et sine damno.

πέραθεν] ab ulteriore Hellesponti littore, ubi Odrysae, quorum rex erat Seuthes, sedes habebant.

φύλακας — τῶν ὁπλιτῶν] custodes ex numero graviter armatorum.

§. 3. οἱ μὲν — οἱ δέ] utrique Bithyni, sed sequens Οἱ δέ ad ὁπλίταις refertur.

λον, οἱ δ' ἠκόντιζον εἰς αὐτούς. Οἱ δ' ἐπεὶ ἐτιτρώ-
σκοντο μὲν καὶ ἀπέθνησκον, ἐποίουν δ' οὐδὲν καθειρ-
γμένοι ἐν τῷ σταυρώματι ὡς ἀνδρομήκει ὄντι, δια-
σπάσαντες τὸ αὑτῶν ὀχύρωμα ἐφέροντο εἰς αὐτούς.
4 Οἱ δὲ ᾗ μὲν ἐκθέοιεν ὑπεχώρουν, καὶ ῥᾳδίως ἀπέ-
φευγον πελτασταὶ ὁπλίτας, ἔνθεν δὲ καὶ ἔνθεν ἠκόν-
τιζον, καὶ πολλοὺς αὐτῶν ἐφ' ἑκάστῃ ἐκδρομῇ κατέ-
βαλλον· τέλος δὲ ὥςπερ ἐν αὐλίῳ σηκασθέντες κατη-
κοντίσθησαν. Ἐσώθησαν μέντοι αὐτῶν ἀμφὶ τοὺς
πεντεκαίδεκα εἰς τὸ Ἑλληνικόν, καὶ οὗτοι, ἐπεὶ εὐ-
θέως ᾔσθοντο τὸ πρᾶγμα, ἀπεχώρησαν ἐν τῇ μάχῃ
5 διαπεσόντες ἀμελησάντων τῶν Βιθυνῶν. Ταχὺ δὲ
ταῦτα διαπραξάμενοι οἱ Βιθυνοὶ καὶ τοὺς σκηνοφύ-
λακας τῶν Ὀδρυσῶν Θρᾳκῶν ἀποκτείναντες, ἀπολα-
βόντες πάντα τὰ αἰχμάλωτα ἀπῆλθον· ὥςτε οἱ Ἕλλη-
νες, ἐπεὶ ᾔσθοντο, βοηθοῦντες οὐδὲν ἄλλο εὗρον ἢ
νεκροὺς γυμνοὺς ἐν τῷ στρατοπέδῳ. Ἐπεὶ μέντοι
ἐπανῆλθον οἱ Ὀδρύσαι, θάψαντες τοὺς ἑαυτῶν καὶ

§. 4. ὑπεχώρουν B. D. E. F. V. Leoncl. Dind. pro ὑπεξεχώρουν, quod Steph. dederat pro vulg. ὑπεκχώρουν. — ἀπεχώρησαν E. Schneid. Dind. pro ἀποχωρήσαντες, cui Morus καὶ addiderat.

ἐποίουν δ' οὐδέν] nihil efficerent (contra Bithynos) vallis, quibus intersaepti erant, impediti.

ὡς ἀνδρομήκει] Hertlinius affert Polyb. VIII, 7, 6: ὡς ἀνδρομήκους ὕψους. Xen. de Re equ. IV, 4: λίθων — ὅσον μναιαίων. Cf. meam adn. ad Cyrop. VI, 1, 30: δρέπανα σιδηρᾶ ὡς διπήχη. Additur enim ὡς (circiter) non solum numeralibus, sed etiam iis adiectivis, in quibus inest notio vel numeri vel magnitudinis vel ponderis.

§. 4. οἱ δέ] Bithyni; erumpentes autem sunt Graeci. Subiecti subito mutati, ubi novum subiectum non per pronomen indicatur, multa congesta sunt a Kuehnero ad Anab. I, 4, 5, ex quibus huic loco simillimum est IV, 8, 19: οἱ δὲ πολέμιοι, ὡς ἤρξαντο (sc. οἱ πελτασταὶ) θεῖν, οὐκέτι ἔστησαν. Cf. infra III, 5, 20. VII, 1, 21.

ἐκθέοιεν] optativus de re saepius facta. V. ad III, 5, 24.

πελτασταί] h. e. quia erant πελτασταί.

ἔνθεν δὲ καὶ ἔνθεν] Haec opposita sunt verbis ᾗ μὲν ἐκθέοιεν. Cedebant quidem ii ex Bithynis, qui erumpentibus Graecis adversi stabant, sed reliqui in erumpentes iacula coniiciebant, dum ex fuga illi se colligunt denuo impetum facturi.

ὥςπερ ἐν αὐλίῳ σηκασθέντες] Respexisse videri Xenophontem Hom. Il. VIII, 131: καί νύ κε σήκασθεν κατὰ Ἴλιον ἠΰτε ἄρνες animadvertit Heiland. Quaest. de dial. Xen. p. 16. Cf. ad III, 3, 6.

τὸ Ἑλληνικόν] στρατόπεδον.

καὶ οὗτοι] et hi quidem, h. e. hi enim. Cf. IV, 3, 1. ad καὶ αὐτῶν.

§. 5. ὥςτε] referendum ad antecedens ταχύ.

ἐπανῆλθον] ab excursione,

πολὺν οἶνον ἐκπιόντες ἐπ' αὐτοῖς καὶ ἱπποδρομίαν ποιήσαντες, ὁμοῦ δὴ τὸ λοιπὸν τοῖς Ἕλλησι στρατοπεδευσάμενοι ἦγον καὶ ἔκαιον τὴν Βιθυνίδα.

6 Ἅμα δὲ τῷ ἦρι ἀποπορευόμενος ὁ Δερκυλίδας ἐκ τῶν Βιθυνῶν ἀφικνεῖται εἰς Λάμψακον. Ἐνταῦθα A.Ch. a δ' ὄντος αὐτοῦ, ἔρχονται ἀπὸ τῶν οἴκοι τελῶν Ἄρακός τε καὶ Ναυβάτης καὶ Ἀντισθένης. Οὗτοι δ' ἦλθον ἐπισκεψόμενοι τά τε ἄλλα ὅπως ἔχοι τὰ ἐν τῇ Ἀσίᾳ, καὶ Δερκυλίδᾳ ἐροῦντες μένοντι ἄρχειν καὶ τὸν ἐπιόντα ἐνιαυτόν· ἐπιστεῖλαι δὲ σφίσιν αὐτοῖς τοὺς ἐφόρους καὶ συγκαλέσαντας τοὺς στρατιώτας εἰπεῖν, ὡς ὧν μὲν πρόσθεν ἐποίουν μέμφοιντο αὐτοῖς, ὅτι δὲ νῦν οὐδὲν ἠδίκουν, ἐπαινοῖεν· καὶ περὶ τοῦ λοιποῦ χρόνου εἰπεῖν, ὅτι, ἢν μὲν ἀδικῶσιν, οὐκ ἐπιτρέψουσιν· ἢν δὲ δίκαια περὶ τοὺς συμμάχους ποιῶσιν, ἐπαινέσονται αὐτούς. 7 Ἐπεὶ μέντοι συγκαλέσαντες τοὺς στρατιώτας ταῦτ' ἔλεγον, ὁ τῶν Κυρείων προεστηκὼς ἀπεκρίνατο, Ἀλλ', ὦ ἄνδρες Λακεδαιμό-

§. 5. Dind. ἔκαον pro ἔκαιον.

§. 6. ἀποπορευόμενος B. D. E. pr. F. I. V. Dind. pro πορευόμενος. — Ναυβάτης Dind. pro Ναυάτης; D. Ναυβάτας. — συγ. B. D. Dind. pro ξυγ. — D. εἰ δὲ pro ἢν δὲ.

quam fecerant ad diripiendos Bithynorum agros.

πολὺν οἶνον] Vinolentiae, qua infamati erant, etiam in iustis persolvendis indulsisse Thraces significare volebat Xenophon.

ἱπποδρομίαν] certamen equestre in honorem caesorum.

§. 6. τῷ ἦρι] anni 398 a. Ch.

σφίσιν αὐτοῖς] Legatis impositum erat, ut ipsi, non per duces, ephororum mandata ad milites deferrent. Oratio obliqua suspensa est ab ἐροῦντες.

καὶ συγκαλέσαντας] καὶ est etiam, h. e. praeter ea, quae duci nuntiassent.

ὧν] h. e. τούτων, ἅ. Genitivus causam indicat, unde oritur affectus. §. 132. 10. e. Rost. §. 162. III, 3. cc. Kuehn.. §. 274. 1 f. Reprehenduntur autem, quod Thibrone duce socios spoliaverant. V. supra III, 1, 8.

εἰπεῖν] pendet a verbo ἐπιστεῖλαι. Verborum μέμφοιντο, ἐπαινοῖεν, ἐπιτρέψουσι, ἐπαινέσονται subiectum est οἱ ἔφοροι.

§. 7. ὁ τῶν Κυρείων προεστηκώς] Cf. III, 1, 6: οἱ ἀναβάντες μετὰ Κύρου. Xenophontem ipsum h. l. intelligunt interpretes. V. Kruegerum de Xen. vita p. 21. Alioquin cur hominis nomen non ponatur, non intelligitur. Atque „rerum a Dercylida gestarum socium produnt ii loci, qui quum ex parte minus gravia pertractent, tanta tamen evidentia res ob oculos ponunt, ut nonnisi ab oculato teste scribi potuisse videantur.“ Dissimulavit autem nomen suum Xenophon eandem ob causam ac supra III, 1, 2.

νιοι, ἡμεῖς μὲν ἐσμεν οἱ αὐτοὶ νῦν τε καὶ πέρυσιν·
ἄρχων δὲ ἄλλος μὲν νῦν, ἄλλος δὲ τὸ παρελθόν. Τὸ
οὖν αἴτιον τοῦ νῦν μὲν μὴ ἐξαμαρτάνειν, τότε δέ,
8 αὐτοὶ ἤδη ἱκανοί ἐστε γιγνώσκειν. Συσκηνούντων δὲ
τῶν τε οἴκοθεν πρέσβεων καὶ τοῦ Δερκυλίδα, ἐπε-
μνήσθη τις τῶν περὶ τὸν Ἄρακον, ὅτι καταλελοίποιεν
πρέσβεις τῶν Χερρονησιτῶν ἐν Λακεδαίμονι. Τού-
τους δὲ λέγειν ἔφασαν, ὡς νῦν μὲν οὐ δύναιντο τὴν
Χερρόνησον ἐργάζεσθαι· φέρεσθαι γὰρ καὶ ἄγεσθαι
ὑπὸ τῶν Θρακῶν· εἰ δ' ἀποτειχισθείη ἐκ θαλάττης
εἰς θάλατταν, καὶ σφίσιν ἂν γῆν πολλὴν καὶ ἀγαθὴν
εἶναι ἐργάζεσθαι καὶ ἄλλοις ὁπόσοι βούλοιντο Λακε-
δαιμονίων· ὥςτ', ἔφασαν, οὐκ ἂν θαυμάζειν, εἰ καὶ
πεμφθείη τις Λακεδαιμονίων ἀπὸ τῆς πόλεως σὺν δυ-
9 νάμει ταῦτα πράξων. Ὁ οὖν Δερκυλίδας πρὸς μὲν
ἐκείνους οὐκ εἶπεν, ἣν ἔχοι γνώμην ταῦτ' ἀκούσας,
ἀλλ' ἀπέπεμψεν αὐτοὺς ἐπ' Ἐφέσου διὰ τῶν Ἑλ-
ληνίδων πόλεων, ἡδόμενος, ὅτι ἔμελλον ὄψεσθαι τὰς

§. 7. V. ἡμεῖς μέντοι. — Ald. om. ἐσμέν.

§. 8. *Χερρονησιτῶν* B. margg. Leoncl. et Steph. Schneid. Dind. pro *Χερρονησιωτῶν*. — C. edd. vett. *Περσῶν* pro *Θρακῶν*, quod primus restituit Brodaeus. — Dind. *κἀγαθὴν*. — B. C. D. E. pr. F. I. marg. Leoncl. *ὁπόσοις*.

§. 9. *ἔχοι* B. F. marg. Leoncl. Dind., *ἔχῃ* E. K., ceteri *εἶχε*. — *ἀπέπεμψε* D. F. I. V. marg. Leoncl. Dind. pro *ἔπεμψε*. — *ἐπ' Ἐφέσου* monente Grotio scripsi pro *ἀπ' Ἐφέσου*. — Ante *πόλεις* om. *Ἑλ-*

*τὸ παρελθὸν*] h. e. *τὸν παρελθόντα χρόνον*. Item Cyrop. VIII, 5, 23: *τὰ παρελθόντα*.

§. 8. *Δερκυλίδα*] Et hac et altera genitivi forma utitur Xenophon. Cf. §. 21 cum III, 1, 18. 22. Infra *Πραξίτα* et *Πραξίτου*, *Σφοδρία* et *Σφοδρίου*. II, 1, 10: *Ἀρχύτα*. III, 2, 21: *Λίχα*. VII, 5, 13: *Ἐπαμεινώνδα*.

*οὐκ ἂν θαυμάζειν*] His verbis simul indicant legati, se sperare hoc facere placiturum esse Lacedaemoniis.

§. 9. *ἐπ' Ἐφέσου*] Vulgata scriptura ferri nullo modo potest. Etenim non Ephesi sed Lampsaci (§. 6) legati Dercylidam convenerunt, et, quod maximi in hac re est momenti, urbes Graecae, quae in libertatem vindicatae a Dercylida pacataeque sunt, non ex regione sed in regionem Ephesi Lampsaco profecturis visendae erant. Nam ab Epheso, ubi a Thibrone acceperat (III, 1, 8), exercitum in Aeolin et Phrygiam duxerat Dercylidas. Eandem regionem a Lampsaco usque ad Ephesum nunc peragrare iubet legatos, ut quam prospero eventu imperium gesserit ipsi videant et inde domum redeant. Ephesum enim primum advenisse e Graecia legatos pro certo habendum. Eodem appellit postea Agesilaus III, 4, 4. (cf. Diodor. XIV, 79) et Thibron IV, 8, 17. Etiam IV, 3, 3 libri omnes perperam praebent *ἀφ' Ἑλλησπόντου*, quod correxit Dindorfius.

πόλεις ἐν εἰρήνῃ εὐδαιμονικῶς διαγούσας. Οἱ μὲν δὴ ἐπορεύοντο. Ὁ δὲ Δερκυλίδας ἐπειδὴ ἔγνω μενετέον ὄν, πάλιν πέμψας πρὸς τὸν Φαρνάβαζον ἐπήρετο, πότερα βούλοιτο σπονδὰς ἔχειν καθάπερ διὰ τοῦ χειμῶνος, ἢ πόλεμον. Ἑλομένου δὲ τοῦ Φαρναβάζου καὶ τότε σπονδάς, οὕτω καταλιπὼν καὶ τὰς περὶ ἐκεῖνον πόλεις [φιλίας] ἐν εἰρήνῃ διαβαίνει τὸν Ἑλλήσποντον σὺν τῷ στρατεύματι εἰς τὴν Εὐρώπην, καὶ διὰ φιλίας τῆς Θρᾴκης πορευθεὶς καὶ ξενισθεὶς ὑπὸ Σεύθου ἀφικνεῖται εἰς Χεῤῥόνησον. Ἣν καταμαθὼν 10 πόλεις μὲν ἕνδεκα ἢ δώδεκα ἔχουσαν, χώραν δὲ παμφορωτάτην καὶ ἀρίστην οὖσαν, κεκακωμένην δέ, ὥσπερ ἐλέγετο, ὑπὸ τῶν Θρᾳκῶν, ἐπεὶ μετρῶν εὗρε τοῦ ἰσθμοῦ ἑπτὰ καὶ τριάκοντα στάδια, οὐκ ἐμέλλησεν, ἀλλὰ θυσάμενος ἐτείχιζε, κατὰ μέρη διελὼν τοῖς στρατιώταις τὸ χωρίον· καὶ ἆθλα αὐτοῖς ὑποσχόμενος δώσειν τοῖς πρώτοις ἐκτειχίσασι, καὶ τοῖς ἄλλοις ὡς ἑκα-

ληνίδας B. D. E. F. V. Dind. — φιλίας inclusi suadente Bernhardyo Synt. p. 263.

§. 10. V. ἣν καὶ μαθὼν. — V. οὖσαν καὶ ἀρίστην. — ἐμέλλησεν

οὕτω] infertur in apodosi, participio praecedente non minus quam coniunctione. V. §. 12. IV, 4, 2. VI, 4, 24. ad Oecon. IX, 6.

καὶ τὰς περὶ ἐκεῖνον πόλεις] Has non minus reliquit pacatas quam modo commemoratas Ἑλληνίδας πόλεις. Insolens est dictum τὰς περὶ ἐκεῖνον πόλεις de urbibus ut de hominibus. Dindorfius comparat Diodor. XIII, 52: τὰς περὶ Λακεδαιμονίους πόλεις. Sed φιλίας ut glossema verborum ἐν εἰρήνῃ delendum videtur. Morus ἐν εἰρήνῃ potius damnavit.

διαβαίνει — εἰς τὴν Εὐρώπην] Breviter dictum pro διαβὰς τὸν Ἑλλ. εἰς τὴν Εὐρώπην βαίνει, ut infra §. 11: διέβαινε πάλιν εἰς τὴν Ἀσίαν. Cf. ad V, 4, 41: ὑπερβαλὼν (scil. τὸν Κιθαιρῶνα) πάλιν εἰς τὰ Μέγαρα. — Ceterum e verbis διὰ — τῆς Θρᾴκης πορευθεὶς apparet, non Lampsaco, ubi erat §. 6, sed e Bithynia fortasse, in Europam traiecisse Dercylidam.

§. 10. ἢ δώδεκα] Haec quae exstinguenda censet Dindorfius, propter ipsa paullo post sequentia verba ἕνδεκα μὲν πόλεις servanda puto. Nam si priori loco simpliciter ἕνδεκα dictum esset, posteriori numerum repetere superfluum erat.

ἑπτὰ καὶ τριάκοντα] Herod. VI, 36: Ὁ δὲ (Miltiades, Cypseli filius) πρῶτον μὲν ἀπετείχισε τὸν ἰσθμὸν τῆς Χερσονήσου ἐκ Καρδίης πόλιος ἐς Πακτύην, ἵνα μὴ ἔχοιέν σφεας οἱ Ἀψίνθιοι δηλέεσθαι ἐσβάλλοντες ἐς τὴν χώρην· εἰσὶ δὲ οὗτοι στάδιοι ἕξ τε καὶ τριήκοντα τοῦ ἰσθμοῦ. Eodem loco murum ductum esse a Pericle narrat Plutarch. Pericl. XIX. Huius autem muri longitudo teste Plinio H. N. IV, 11 quinque milium passuum, h. e. paullo plus triginta septem stadiorum erat.

στοι ἄξιοι εἶεν, ἀπετέλεσε τὸ τεῖχος, ἀρξάμενος ἀπὸ ἠρινοῦ χρόνου, πρὸ ὀπώρας. Καὶ ἐποίησεν ἐντὸς τοῦ τείχους ἕνδεκα μὲν πόλεις, πολλοὺς δὲ λιμένας, πολλὴν δὲ κἀγαθὴν σπόριμον, πολλὴν δὲ πεφυτευμένην, παμπληθεῖς δὲ καὶ παγκάλας νομὰς παντοδαποῖς κτή-
11 νεσι. Ταῦτα δὲ πράξας διέβαινε πάλιν εἰς τὴν Ἀσίαν.

Ἐπισκοπῶν δὲ τὰς πόλεις ἑώρα τὰ μὲν ἄλλα καλῶς ἐχούσας, Χίων δὲ φυγάδας εὗρεν Ἀταρνέα ἔχοντας χωρίον ἰσχυρόν, καὶ ἐκ τούτου ὁρμωμένους φέροντας καὶ ἄγοντας τὴν Ἰωνίαν καὶ ζῶντας ἐκ τούτου. Πυθόμενος δέ, ὅτι πολὺς σῖτος ἐνῆν αὐτοῖς, περιστρατοπεδευσάμενος ἐπολιόρκει· καὶ ἐν ὀκτὼ μησὶ παραστησάμενος αὐτούς, καταστήσας ἐν αὐτῷ Δράκοντα Πελληνέα ἐπιμελητήν, καὶ κατασκευάσας ἐν τῷ χωρίῳ ἔκπλεω πάντα τὰ ἐπιτήδεια, ἵνα εἴη αὐτῷ καταγωγή, ὁπότε ἀφικνοῖτο, ἀπῆλθεν εἰς Ἔφεσον, ἣ ἀπέχει ἀπὸ Σάρδεων τριῶν ἡμερῶν ὁδόν.

12 Καὶ μέχρι τούτου τοῦ χρόνου ἐν εἰρήνῃ διῆγον
Ch. a. 397. Τισσαφέρνης τε καὶ Δερκυλίδας καὶ οἱ ταύτῃ Ἕλληνες καὶ οἱ βάρβαροι. Ἐπεὶ δὲ ἀφικνούμενοι πρέσβεις

D. Schneid. Dind.; B. ἐμέλησεν, ceteri ἠμέλησεν. — ἄξιοι εἶεν B. D. Schneid. Dind. pro εἶεν ἄξιοι. — V. ἀπὸ τοῦ ἠρινοῦ. — κἀγαθὴν B. D. E. F. V. Schneid. Dind. pro καὶ ἀγαθὴν. — Post ἀγαθὴν om. γῆν B. C. D. E. F. V. Dind. — D. E. V. edd. vett. Schneid. παγκάλους.

§. 11. V. διαπραξάμενος pro πράξας. — Ald. Iunt. Cast. ἐπιστρατοπεδευσάμενος. — D. ἀφικνεῖτο. — Sunt qui malint Ἀταρνέως pro Σάρδεων.

ἐποίησεν ἐντὸς τοῦ τείχους] Muro complexus est.

κἀγαθήν] γῆν. Buttm. gr. §. 123. adn. 5. Kuehn. §. 263. α. β.

παγκάλας] Haec forma, quae occurrit etiam IV, 1, 15, frequentior est poetis, legitur vero etiam apud Platonem. V. Stallbaum. ad Plat. Phaedr. p. 276 E. Buttm. gr. max. II, 408.

§. 11. διέβαινε — εἰς τήν] V. ad §. 9.

Χίων δὲ φυγάδας] Diodor. XIII, 65: Postquam Cratesippidas Chios exsules (a. 509 a. Ch.) reduxerat, hi contra exsilii sui auctores eiiciunt fere sexcentos, οὗτοι δὲ τῆς ἀντιπέραν ἠπείρου χωρίον Ἀταρνέα καλούμενον κατελάβοντο, σφόδρα τῇ φύσει καθεστηκὸς ὀχυρόν, καὶ τὸ λοιπὸν ἐκ τούτου τὰς ἀφορμὰς ἔχοντες ἐπολέμουν τοῖς τὴν Χίον ἔχουσι. Schneiderus.

ἐνῆν] ἐν Ἀταρνεῖ. Cf. I, 3, 19: τὸν ἐνόντα σῖτον. III, 1, 12.

αὐτοῖς] Atarnensibus. V. ad I, 4, 12. 5, 19.

παραστησάμενος] Proprie ad se traducere, h. l. ad deditionem compellere, subigere. Cf. VI, 2, 5. VII, 2, 20.

Δράκοντα] Isocr. Paneg. 40: Δράκων δὲ Ἀταρνέα καταλαβὼν καὶ τρισχιλίους πελταστὰς συλλέξας τὸ Μύσιον πεδίον ἀνάστρατον ἐποίησε.

§. 12. ἐπεὶ δέ] Apodosis:

εἰς Λακεδαίμονα ἀπὸ τῶν Ἰωνίδων πόλεων ἐδίδασκον, ὅτι εἴη ἐπὶ Τισσαφέρνει, εἰ βούλοιτο, ἀφιέναι αὐτονόμους τὰς Ἑλληνίδας πόλεις· εἰ οὖν κακῶς πάσχοι Καρία, ἔνθαπερ ὁ Τισσαφέρνους οἶκος, οὕτως ἄν, ἔφασαν, τάχιστα νομίζειν αὐτὸν συγχωρήσειν αὐτονόμους σφᾶς ἀφεῖναι· ἀκούσαντες ταῦτα οἱ ἔφοροι ἔπεμψαν πρὸς Δερκυλίδαν καὶ ἐκέλευον αὐτὸν διαβαίνειν σὺν τῷ στρατεύματι ἐπὶ Καρίαν καὶ Φάρακα τὸν ναύαρχον σὺν ταῖς ναυσὶ παραπλεῖν. Οἱ μὲν δὴ ταῦτ' ἐποίουν. Ἐτύγχανε δὲ κατὰ τοῦτον τὸν χρόνον καὶ Φαρ- 13
νάβαζος πρὸς Τισσαφέρνην ἀφιγμένος, ἅμα μὲν ὅτι στρατηγὸς τῶν πάντων ἀπεδέδεικτο Τισσαφέρνης, ἅμα δὲ διαμαρτυρόμενος, ὅτι ἕτοιμος εἴη κοινῇ πολεμεῖν καὶ συμμάχεσθαι καὶ συνεκβάλλειν τοὺς Ἕλληνας ἐκ τῆς βασιλέως· ἄλλως τε γὰρ ὑπεφθόνει τῆς στρατη-

§. 12. *Ἰωνίδων* B. D. E. F. V. margg. Steph. et Leoncl. Dind. pro *Ἑλληνίδων*. — Weisk. Schneid. *εἰ γοῦν κακῶς*. — *πάσχοι* B. C. D. Weisk. edd. sqq. pro *πάσχει*. — *ἀφεῖναι* B. D. K. V. Dind. pro *ἀφιέναι*; F. I. *ἀφῆναι*. — Post *Δερκυλίδαν* B. addit *ἀγγέλους*. — D. V. *Φάρνακα*.

§. 13. K. *ἅμα μὲν καὶ ὅτι*. — V. *ἀποδέδεικτο*. — *συμμ.* B. D. Dind. pro *ξυμμ.* — *τῆς στρατηγίας* Leoncl. Dind., ceteri codd. et

*ἀκούσαντες ταῦτα* —. E verbis *εἰ βούλοιτο* facile cogitatione addimus *οὐ μέντοι βούλοιτο*. Inde recte pergitur *εἰ οὖν* —.

*οὕτως*] V. ad §. 9. *ἔφασαν* referas ad *ἐπεὶ δέ* et iungas *ἔφασαν νομίζειν οὕτως ἂν αὐτὸν τάχιστα συγχωρήσειν*.

*ἂν — συγχωρήσειν*] Dindorfius, qui in omnibus Xenophontis scriptis, etiam invitis optimis codicibus, particulam *ἂν* futuri indicativo aut infinitivo additam delet, hoc loco cum Dobraeo *ἂν — συγχωρῆσαι* scribendum censet. Sedv. Kuehner. ad Anab. II, 5, 13. Poppo. ad Cyrop. I, 5, 2. II, 1, 3 et ad Thucyd. II, 80. Contra libros h. l. multo minus aliquid moliendum est quam Anab. II, 3, 18. 5, 13. Cyrop. VI, 1, 45. VII, 5, 21. Infra VI, 1, 7 ubi recte Dindorfius *καταστρέψεσθαι* revocavit, verba *ῥᾳδίως αν* per sensum non nisi cum *καταστρέψεσθαι* coniungere licet. V. etiam Kuehner. gr. max. §. 454. a. Rost. gr. mai. §. 120. 6. e. *α*. — Ceterum *συγχωρήσειν ἀφεῖναι* vertas: hoc esse concessurum, ut libertatem daret, quod si intellexisset Cobetus non delendum censuisset *συγχωρήσειν* propterea quod „ipse (Tissaphernes) poterat Graecis dare libertatem, non aliis ut hoc facerent concedere."

*Φάρακα*] De Pharacis rebus gestis plura narrant Diodor. XIV, 79. Iustin. VI, 3.

§. 13. *στρατηγὸς τῶν πάντων*] V. III, 1, 3.

*διαμαρτυρόμενος*] sancte affirmans, h. e. obtestationibus persuasurus, quae volendi notio quoniam inest in ipso verbo, non opus erat futuro, quod desiderabat Weiskius. Cf. III, 5, 4: *ἀμυνόμενοι ἦλθον*. VII, 1, 13. 4, 5.

*ἄλλως τε γὰρ — καὶ*] Haec

γίας τῷ Τισσαφέρνει καὶ τῆς Αἰολίδος χαλεπῶς ἔφερε ἀπεστερημένος. Ὁ δ' ἀκούων, Πρῶτον μὲν τοίνυν, ἔφη, διάβηθι σὺν ἐμοὶ ἐπὶ Καρίαν, ἔπειτα δὲ καὶ περὶ
14 τούτων βουλευσόμεθα. Ἐπεὶ δ' ἐκεῖ ἦσαν, ἔδοξεν αὐτοῖς ἱκανὰς φυλακὰς εἰς τὰ ἐρύματα καταστήσαντας διαβαίνειν πάλιν ἐπὶ τὴν Ἰωνίαν. Ὡς δ' ἤκουσεν ὁ Δερκυλίδας, ὅτι πάλιν πεπερακότες εἰσὶ τὸν Μαίανδρον, εἰπὼν τῷ Φάρακι ὡς ὀκνοίη, μὴ ὁ Τισσαφέρνης καὶ ὁ Φαρνάβαζος ἐρήμην οὖσαν καταθέοντες φέρωσι καὶ ἄγωσι τὴν χώραν, διέβαινε καὶ αὐτός. Πορευόμενοι δὲ οὗτοι οὐδέν τι συντεταγμένῳ τῷ στρατεύματι, ὡς προεληλυθότων τῶν πολεμίων εἰς τὴν Ἐφεσίαν, ἐξαίφνης ὁρῶσιν ἐκ τοῦ ἀντιπέρας σκοποὺς ἐπὶ τῶν
15 μνημάτων· καὶ ἀνταναβιβάσαντες εἰς τὰ παρ' ἑαυτοῖς μνημεῖα καὶ τύρσεις τινὰς καθορῶσι παρατεταγμένους ᾗ αὐτοῖς ἦν ἡ ὁδὸς Κᾶράς τε λευκάσπιδας καὶ τὸ Περσικὸν ὅσον ἐτύγχανε παρὸν στράτευμα καὶ

edd. τῇ στρατιᾷ, cui ηγί superscriptum est eadem m. in D., τηγί in V.

§. 14. D. φυλακὰς ἱκανὰς. — V. Φάρνακι. — Post ὡς om. ὅτι Cast. Dind. — V. καταθέωσι φέροντες καὶ ἄγοντες. — Ante οὗτοι exstinxi καὶ iam a Moro inclusum. — E. Ald. Iunt. Cast. οὐδέν τοι συντ. — ὡς προελ. τῶν πολεμίων εἰς τὴν Ἐφεσίαν B. C. D. F. I. K. V. Leoncl. Wells. Schneid. Dind., idem Weisk. nisi quod Ἐφεσίων servavit; ceteri ὡς προελ. τῶν Ἐφεσίων εἰς τὴν πολεμίαν. — F. ὁρῶσιν ἐξαίφνης. — σκοποὺς Palmer. Mor. sqq. edd. pro σκοποῦ, E. K. σκοπῶν.

§. 15. D. μνήματα pro μνημεῖα, si recte intelligo Sauppium in Quaest. Xen. IV, p. 9.

causam indicant, cur obtestationes necessarias duxerit Pharnabazus. Simultas enim, quae iam antea fuerat Pharnabazo cum Tissapherne (III, 1, 9), aucta erat eo quod hic pacem habebat cum Dercylida, qui illum Aeolidis possessione et fructu spoliatum vexabat.

περὶ τούτων] de Aeolide recuperanda.

§. 14. ὡς ὀκνοίη] Vulgo post ὡς additum ὅτι ea ratione defendi non posse, de qua infra ad VI, 4, 37 dicam, per se patet.

ἐρήμην] a praesidiis nudam Ioniam; nam exercitum suum in Cariam duxerat Dercylidas.

διέβαινε] τὸν Μαίανδρον.

πορευόμενοι δὲ οὗτοι] Dercylidas et Pharax, qui copias suas expositas cum Dercylidae exercitu coniunxisse videtur. Neque tamen quid obstat, quin οὗτοι referatur ad Lacedaemonios. Sed particula καὶ post οὗτοι ferri nullo modo potest, qua omissa hoc loco a viris doctis varie sollicitato omnia sunt plana: quoniam hostes praecesserunt neque erat quem a tergo metueret, nullo ordine ducebat Dercylidas.

ἐπὶ τῶν μνημάτων] in sepulcris magno tumulo aggestis. V. VI, 2, 20. VII, 1, 19.

τὸ Ἑλληνικὸν ὅσον εἶχεν ἑκάτερος αὐτῶν καὶ τὸ ἱππικὸν μάλα πολύ, τὸ μὲν Τισσαφέρνους ἐπὶ τῷ δεξιῷ κέρατι, τὸ δὲ Φαρναβάζου ἐπὶ τῷ εὐωνύμῳ. Ὡς δὲ 16
ταῦτα ᾔσθετο ὁ Δερκυλίδας, τοῖς μὲν ταξιάρχαις καὶ τοῖς λοχαγοῖς εἶπε παρατάττεσθαι τὴν ταχίστην εἰς ὀκτώ, τοὺς δὲ πελταστὰς ἐπὶ τὰ κράσπεδα ἑκατέρωθεν καθίστασθαι καὶ τοὺς ἱππέας, ὅσους γε δὴ καὶ οἵους ἐτύγχανεν ἔχων· αὐτὸς δὲ ἐθύετο. Ὅσον μὲν δὴ 17
ἦν ἐκ Πελοποννήσου στράτευμα, ἡσυχίαν εἶχε καὶ παρεσκευάζετο ὡς μαχούμενον· ὅσοι δὲ ἦσαν ἀπὸ Πριήνης τε καὶ Ἀχιλλείου καὶ ἀπὸ νήσων καὶ τῶν Ἰωνικῶν πόλεων, οἱ μέν τινες καταλιπόντες ἐν τῷ σίτῳ τὰ ὅπλα ἀπεδίδρασκον· καὶ γὰρ ἦν βαθὺς ὁ σῖτος ἐν τῷ Μαιάνδρου πεδίῳ· ὅσοι δὲ καὶ ἔμενον, δῆλοι ἦσαν οὐ μενοῦντες. Τὸν μὲν οὖν Φαρνάβαζον ἐξηγγέλλετο μά- 18
χεσθαι κελεύειν· ὁ μέντοι Τισσαφέρνης, τό τε Κύρειον στράτευμα καταλογιζόμενος ὡς ἐπολέμησεν αὐτοῖς καὶ τούτῳ πάντας νομίζων ὁμοίους εἶναι τοὺς Ἕλληνας, οὐκ ἐβούλετο μάχεσθαι, ἀλλὰ πέμψας πρὸς Δερκυλίδαν εἶπεν, ὅτι εἰς λόγους βούλοιτο αὐτῷ ἀφικέσθαι. Καὶ ὁ Δερκυλίδας λαβὼν τοὺς κρατίστους τὰ εἴδη τῶν περὶ αὐτὸν καὶ ἱππέων καὶ πεζῶν προῆλθε πρὸς τοὺς ἀγγέλους καὶ εἶπεν, Ἀλλὰ παρεσκευασάμην μὲν ἔγωγε μάχεσθαι, ὡς ὁρᾶτε· ἐπεὶ μέντοι ἐκεῖνος βούλε-

§. 16. *ταξιάρχαις* B. C. D. F. pro *ταξιάρχοις*. — Post *ἑκατέρωθεν* om. *μέν* B. D. V. Dind.

§. 18. B. *πρὸς τὸν Δερκυλίδαν*. — *καὶ* ante *ἱππέων* addunt B. C.

§. 16. *ταξιάρχαις*] Hic unus, quod sciam, locus est, quo praestantiores libri formam a *ταξιάρχης* derivatam praebent, si discesseris a genitivo pluralis, in quo discrimen in solis accentibus positum est. Sed Cyrop. II, 4, 4 *δωδεκάρχας*, VI, 3, 20 *μυριάρχαι*, VII, 5, 17 *χιλιάρχαις* in melioribus codicibus exstant. V. Poppo ad Cyrop. II, 1, 22. Utraque forma utitur Herodotus: *ταξιαρχέων* VII, 99. IX, 53, *ταξίαρχοι* VIII, 67, *ταξιάρχους* IX, 42.

*εἰς ὀκτώ*] V. ad *εἰς δύο* III, 1, 22.

*τὰ κράσπεδα*] scil. *τοῦ στρατεύματος*, i. e. *τὰ κέρατα*. Ut multa alia, hanc huius vocabuli significationem a poetis Xenophon mutuatus est. V. Eurip. Suppl. v. 663: *ὄχλον πρὸς κρασπέδοισι στρατοπέδου τεταγμένον*. Infra IV, 6, 8 *τὰ κράσπεδα τῶν ὀρῶν* sunt latera montium.

§. 17. *Ἀχιλλείου*] De hac urbe iuxta Prienen sita v. ad IV, 8, 17.

§. 18. *αὐτοῖς*] refer ad Tissaphernem eiusque exercitum.

*ται εἰς λόγους ἀφικέσθαι, οὐδ' ἐγὼ ἀντιλέγω. Ἂν μέντοι ταῦτα δέῃ ποιεῖν, πιστὰ καὶ ὁμήρους δοτέον καὶ*
19 *ληπτέον. Δόξαντα δὲ ταῦτα καὶ περανθέντα, τὰ μὲν στρατεύματα ἀπῆλθε, τὸ μὲν βαρβαρικὸν εἰς Τράλλεις τῆς Καρίας, τὸ δ' Ἑλληνικὸν εἰς Λεύκοφρυν, ἔνθα ἦν Ἀρτέμιδός τε ἱερὸν μάλα ἅγιον καὶ λίμνη πλέον ἢ σταδίου ὑπόψαμμος ἀέναος ποτίμου καὶ θερμοῦ ὕδατος. Καὶ τότε μὲν ταῦτα ἐπράχθη· τῇ δ' ὑστεραίᾳ εἰς τὸ συγκείμενον χωρίον ἦλθον, καὶ ἔδοξεν αὐτοῖς πυθέσθαι ἀλλήλων, ἐπὶ τίσιν ἂν τὴν εἰρήνην ποιή-*
20 *σαιντο. Ὁ μὲν δὴ Δερκυλίδας εἶπεν, εἰ αὐτονόμους ἐῴη βασιλεὺς τὰς Ἑλληνίδας πόλεις, ὁ δὲ Τισσαφέρνης καὶ Φαρνάβαζος εἶπαν, ὅτι εἰ ἐξέλθοι τὸ Ἑλληνικὸν στράτευμα ἐκ τῆς χώρας καὶ οἱ Λακεδαιμονίων ἁρ-*

D. E. F. V. Dind. — *πιστὰ καὶ ὁμήρους* B. D. I. K. V. Steph. Leoncl. Wells. Dind., *πιστὰ* om. C., *καὶ* delet E. m. sec., ceteri *πιστὰ ὁμήρους*.

§. 19. *Καρίας* B. C. D. E. F. I. K. V. margg. Steph. et Leoncl. Dind.; ceteri *φρυγίας*. — *Ἀρτέμιδος τε* B. D. I. V. Dind., C. *Ἀρτέμιδος τὸ*, ceteri om. *τε* vel *τὸ*. — *ἀέναος* Dind. pro *ἀέννασς*. — *συγκείμενον* B. D. Dind. pro *ξυγκ.*

§. 20. *εἶπαν* B. pro *εἶπον*. — B. D. F. Dind. ante *χώρας* om. *βασιλέως*, quod E. habet supra scriptum.

*πιστὰ καὶ ὁμήρους*] Nunc demum, addito *καί*, oratio sana est. *πιστά* autem sunt quae fidem confirmant. Bene igitur Hertlinius haec verba interpretatur: *καὶ ἄλλα πιστὰ καὶ ὁμήρους*, comparans Thucyd. III, 90: *ὁμήρους δὲ δόντες καὶ τἆλλα πιστὰ παρασχόμενοι*, obsidibus datis ceterisque fidei pignoribus praebitis. Cf. etiam Xen. Cyrop. IV, 2, 13: *τοὺς ὁμήρους ἀγάγωμεν, ἵνα καὶ σὺ ἔχων τὰ πιστὰ παρ' ἡμῶν πορεύῃ.*

§. 19. *δόξαντα*] Numerus pluralis necessarius erat propter sequens *περανθέντα*. Alioquin usitatum est *δόξαν ταῦτα*. Anab. IV, 1, 13. Plat. Protag. p. 314 C: *δόξαν ἡμῖν ταῦτα ἐπορευόμεθα.* Buttm. §. 145. adn. 10. 2. Kuehn. §. 312. adn. 11. Rost. §. 182. adn. 5. Krueg. gr. §. 56. adn. 6. Sed pluralis invenitur etiam altero non addito participio Andocid. de myster. 81: *δόξαντα δὲ ὑμῖν ταῦτα εἵλεσθε ἄνδρας εἴκοσι.*

*Τράλλεις*] in confinio Cariae et Lydiae.

*Λεύκοφρυν*] in campo Maeandrio. V. IV, 8, 17.

*ἔνθα ἦν*] De imperf. v. Add. ad II, 1, 21.

*πλέον*] Infra III, 4. 13. VII, 1, 20: *τριήρεις πλέον ἢ εἴκοσιν.* Cyrop. II, 2, 6: *ἱππέας μεῖον ἢ τὸ τρίτον μέρος τοῦ τῶν πολεμίων ἱππικοῦ.* Buttm. §. 129. adn. 8. Rost. gr. mai. §. 97. 9. a. cc. Kuehn. §. 323. adn. 4. V. ad Oecon. XXI, 3. Ages. II, 1.

*ἐπὶ τίσιν ἂν — ποιήσαιντο*] quibus conditionibus pacem inire possent.

§. 20. *εἶπεν*] Ex antecedentibus post *εἶπεν* repetas *ὅτι τὴν εἰρήνην ἂν ποιήσαιντο.* Unde cognoscas, quid sibi velit *ὅτι* post *εἶπαν*.

*εἶπαν*] De hac forma v. ad III, 5, 24.

μοσταὶ ἐκ τῶν πόλεων. Ταῦτα δ' εἰπόντες ἀλλήλοις σπονδὰς ἐποιήσαντο, ἕως ἀπαγγελθείη τὰ λεχθέντα Δερκυλίδᾳ μὲν εἰς Λακεδαίμονα, Τισσαφέρνει δὲ ἐπὶ βασιλέα.

Τούτων δὲ πραττομένων ἐν τῇ Ἀσίᾳ ὑπὸ Δερκυ- 21
λίδα, Λακεδαιμόνιοι κατὰ τὸν αὐτὸν χρόνον, πάλαι A.Ch.
ὀργιζόμενοι τοῖς Ἠλείοις καὶ ὅτι ἐποιήσαντο συμμαχίαν πρὸς Ἀθηναίους καὶ Ἀργείους καὶ Μαντινέας, καὶ ὅτι δίκην φάσκοντες καταδεδικάσθαι αὐτῶν ἐκώλυον καὶ τοῦ ἱππικοῦ καὶ τοῦ γυμνικοῦ ἀγῶνος, καὶ οὐ μόνον ταῦτ' ἤρκει, ἀλλὰ καὶ Λίχα παραδόντος Θηβαίοις τὸ ἅρμα, ἐπεὶ ἐκηρύττοντο νικῶντες, ὅτε εἰςῆλθε Λίχας στεφανώσων τὸν ἡνίοχον, μαστιγοῦντες αὐτόν, ἄνδρα γέροντα, ἐξήλασαν. Τούτων δ' ὕστερον καὶ Ἄγι- 22

§. 21. συμμαχίαν B. D. Dind. pro ξυμμ. — Λίχα B. C. D. F. V. Dind. pro Λείχα. — B. D. ὅτι pro ὅτε.

Δερκυλίδα] a Dercylida. Buttm. gr. §. 134. 4. Rost. §. 150. adn. 3. Kuehn. §. 251. adn. 5.

*τὰς πατρίους πολιτείας παρήγγειλαν*] ut patrio more sive patriis legibus res publicae gererentur, imperaverunt. Eadem dicendi brevitate nostrates utuntur: *die einheimischen, ursprünglichen Verfassungen proklamiren.*

§. 3. *διαβατήρια*] sacra, quae patriae finibus egrediens rex Iovi et Minervae faciebat. V. Xen. de Rep. Lac. XIII, 2.

*προεῖπεν — πέμπεσθαι*] Pausan. III, 9, 1: *Ἀγησίλαος δὲ — περιέπεμπεν ἔς τε Πελοπόννησον πλὴν Ἄργους καὶ ἐς τοὺς Ἕλληνας τοὺς ἐκτὸς Ἰσθμοῦ συμμαχεῖν σφίσιν ἐπαγγέλλων.* Sed abnuebant belli societatem Corinthii, Athenienses, Thebani. Cf. III, 5, 5.

*ὅποι*] non *ὅπου*, quamvis hoc propius absit a librorum scriptura. Nam *παρεῖναι* est venire, imprimis usurpatum ubi copiae ad locum constitutum conveniunt. V. III, 5, 6. Anab. VII, 1, 35. 2, 5. Thucyd. III, 8. Cf. supra adn. ad II, 4, 6. Kuehner. ad Anab. I, 2, 2. Poppo. ad Thucyd. II, 34, 4.

*θῦσαι — ἐθύετο*] Ammonius: *θύουσι μὲν οἱ σφάττοντες τὰ ἱερεῖα, θύονται δὲ οἱ διὰ τῶν σπλάγχων μαντευόμενοι.* Sed non constanter hoc discrimen observari quum sexcenti loci, quos v. apud Sturzium, tum hic probat locus comparatus cum III, 5, 5. VII, 1, 34. De formis verborum mediis et activis nusquam saepius quam apud Xenophontem promiscue usurpatis v. etiam ad I, 1, 22. III, 5, 2. Oecon. I, 6. IV, 7. XXI, 4. Per somnium sacra facere Minervae iussum esse Agesilaum narrat Plutarch. Ages. VI, 3 et §. 4 sic pergit: *καὶ καταστέψας ἔλαφον ἐκέλευσεν*

Ὡς δ' ἐκεῖ ἐγένετο, πυθόμενοι οἱ βοιώταρχοι, ὅτι θύοι, 4
πέμψαντες ἱππέας τοῦ τε λοιποῦ εἶπαν μὴ θύειν καὶ οἷς ἐνέτυχον ἱεροῖς τεθυμένοις διέῤῥιψαν ἀπὸ τοῦ βωμοῦ. Ὁ δ' ἐπιμαρτυράμενος τοὺς θεοὺς καὶ ὀργιζόμενος, ἀναβὰς ἐπὶ τὴν τριήρη ἀπέπλει. Ἀφικόμενος δ' ἐπὶ Γεραστὸν καὶ συλλέξας ἐκεῖ ὅσον ἐδύνατο τοῦ στρατεύματος πλεῖστον εἰς Ἔφεσον τὸν στόλον ἐποιεῖτο.

Ἐπεὶ δὲ ἐκεῖσε ἀφίκετο, πρῶτον μὲν Τισσαφέρνης 5
πέμψας ἤρετο αὐτόν, τίνος δεόμενος ἥκοι. Ὁ δ' εἶπεν, A.Ch. a
ὅτι αὐτονόμους καὶ τὰς ἐν τῇ Ἀσίᾳ πόλεις εἶναι, ὥσπερ καὶ τὰς ἐν τῇ παρ' ἡμῖν Ἑλλάδι. Πρὸς ταῦτ' εἶπεν ὁ Τισσαφέρνης, Εἰ τοίνυν θέλεις σπείσασθαι, ἕως ἂν ἐγὼ πρὸς βασιλέα πέμψω, οἶμαι ἄν σε ταῦτα διαπραξάμενον ἀποπλεῖν, εἰ βούλοιο. Ἀλλὰ βουλοίμην ἄν, ἔφη, εἰ μὴ οἰοίμην γε ὑπὸ σοῦ ἐξαπατᾶσθαι. Ἀλλ' ἔξεστιν, ἔφη, σοι τούτων πίστιν (δόντα καὶ παρ' ἐμοῦ

§. 4. E. ἐνιαύταρχοι pro βοιώταρχοι. — εἶπαν B., εἶπον D. E. V. Dind. pro ἐκέλευον. — ἐπιμαρτυράμενος B. I. marg. Leoncl. Dind. pro ἐπιμαρτυρόμενος. — Γεραστὸν edd. ante Leoncl. cum libris praeter C. D. praebent pro Γεραιστὸν. — ἐδύνατο B. D. F. Cast. Dind. pro ἠδύνατο.

§. 5. Post εἶπεν om. ὅτι B. C. D. F. I. V. Dind., in τοῦ mutavit Leoncl., Mor. voluit ὅτι τοῦ. — δόντα καὶ παρ' ἐμοῦ πίστιν ex coni. inseruit Dind.

ἀπάρξασθαι τὸν ἑαυτοῦ μάντιν, οὐχ ὅσπερ εἰώθει τοῦτο ποιεῖν ὑπὸ τῶν Βοιωτῶν τεταγμένος· ἀκούσαντες οὖν οἱ Βοιωτάρχαι πρὸς ὀργὴν κινηθέντες ἔπεμψαν ὑπηρέτας, ἀπαγορεύοντες τῷ Ἀγησιλάῳ μὴ θύειν παρὰ τοὺς νόμους καὶ τὰ πάτρια Βοιωτῶν. Cf. Plutarch. Pelop. XXI.

§. 4. εἶπαν] De hac forma v. ad III, 5, 24.

Γεραστόν] Carystum, Euboeae meridionalis promontorium et oppidum. Eandem nominis scripturam v. V, 4, 61. Etymol. Magn. s. v. Steph. Thes. gr. II, p. 579. C. D.

§. 5. Ἐπεὶ — ἀφίκετο] vere anni 396. a. Ch. V. §. 16 et 20.

ὁ δ' εἶπεν] Intelligas ἥκω δεόμενος.

ὥσπερ καί] V. adn. ad Oecon. I, 3: ἢ καὶ τὸν ἄλλον δὲ οἶκον — ὥσπερ καὶ τὸν ἑαυτοῦ. Comment. I, 6, 3: ὥσπερ καὶ τῶν ἄλλων ἔργων οἱ διδάσκαλοι —, οὕτω καὶ σὺ —. Item ἢ καὶ VI, 5, 39.

Εἰ — θέλεις] si vis, si paratus es, *wenn du geneigt bist*, quae pertinent ad sola verba σπείσεσθαι ἕως — πέμψω, sed quae claudunt enuntiationem εἰ βούλοιτο, ut apparet ex statim sequentibus, ad totam sententiam pertinent et significant: si tibi probatur quod propono. De discrimine verborum θέλειν et βούλεσθαι v. ad Oecon. XIV, 10.

[δόντα — πίστιν] Haec ingeniose inseruit Dindorfius „ad supplendum sententiae hiatum, per quem omnia, quae Tissapherni conveniunt, in Agesilaum, et vicissim quae Agesilao, in Tissaphernem conferebantur."

πίστιν) λαβεῖν, ἦ μήν, ἀδόλως σοῦ πράττοντος ταῦτα, ἡμᾶς μηδὲν τῆς σῆς ἀρχῆς ἀδικήσειν ἐν ταῖς σπον-
6 δαῖς. Ἐπὶ τούτοις ῥηθεῖσι Τισσαφέρνης μὲν ὤμοσε τοῖς πεμφθεῖσι πρὸς αὐτὸν Ἡριππίδᾳ καὶ Δερκυλίδᾳ καὶ Μεγίλλῳ, ἦ μὴν πράξειν ἀδόλως τὴν εἰρήνην, ἐκεῖνοι δὲ ἀντώμοσαν ὑπὲρ Ἀγησιλάου Τισσαφέρνει, ἦ μήν, ταῦτα πράττοντος αὐτοῦ, ἐμπεδώσειν τὰς σπονδάς. Ὁ μὲν δὴ Τισσαφέρνης ἃ ὤμοσεν εὐθὺς ἐψεύσατο· ἀντὶ γὰρ τοῦ εἰρήνην ἔχειν στράτευμα πολὺ παρὰ βασιλέως πρὸς ᾧ εἶχε πρόσθεν μετεπέμπετο. Ἀγησίλαος δέ, καίπερ αἰσθανόμενος ταῦτα, ὅμως ἐπέμενε ταῖς σπονδαῖς.

7 Ὡς δὲ ἡσυχίαν τε καὶ σχολὴν ἔχων ὁ Ἀγησίλαος διέτριβεν ἐν τῇ Ἐφέσῳ, ἅτε συντεταραγμένων ἐν ταῖς πόλεσι τῶν πολιτειῶν, καὶ οὔτε δημοκρατίας ἔτι οὔσης, ὥςπερ ἐπ᾽ Ἀθηναίων, οὔτε δεκαρχίας, ὥςπερ ἐπὶ Λυσάνδρου, ἅτε γιγνώσκοντες πάντες τὸν Λύσανδρον, προςέκειντο αὐτῷ ἀξιοῦντες διαπράττεσθαι αὐτὸν παρ᾽ Ἀγησιλάου ὧν ἐδέοντο· καὶ διὰ ταῦτα ἀεὶ παμπληθὴς ὄχλος θεραπεύων αὐτὸν ἠκολούθει, ὥςτε ὁ μὲν Ἀγησίλαος ἰδιώτης ἐφαίνετο, ὁ δὲ Λύσανδρος βασιλεύς.

§. 6. D. τοῖς πεμφθεῖσιν εἰς αὐτὸν. — Μεγίλλῳ Dind. pro vulg. Μεγιαλίῳ, B. D. E. K. V. Schneid. Μεγιάλῳ. — B. D. I. προστάττοντος pro πράττοντος. — E. F. edd. vett. om. παρὰ ante βασιλέως. — Ages. I, 11. Schneid. ἐνέμεινε pro ἐπέμενε.

§. 7. B. E. Ald. Iunt. Ὡς δὴ. — ἔχων B. D. E. F. I. K. V. marg. Leoncl. Dind. pro ἄγων.

ἦ μήν] De hac formula iurandi v. ad Ages. V, 5.

§. 6. πράξειν — τὴν εἰρήνην] faciendam se curaturum esse pacem. Cf. IV, 4, 7.

ἐμπεδώσειν τὰς σπονδάς] Ages. I, 10: Ἀγησίλαος δὲ ἀντώμοσε σπονδὰς ἄξειν ἀδόλως ὁρισάμενος τῆς πράξεως τρεῖς μῆνας.

πρὸς ᾧ εἶχε] h. e. πρὸς τούτῳ (τῷ στρατεύματι) ὃ εἶχε.

ἐπέμενε] Cf. Oecon. XIV, 7: ἐπιμένουσι τῷ μὴ ἀδικεῖν. Praeterea affert Hertlinius Plat. de Rep. VI, p. 490: ἐπιμένειν ἐπὶ τοῖς δοξαζομένοις. Sed multo frequentius ita ἐμμένειν dicitur.

§. 7. ἅτε] Post alterum ἅτε Sturz. in lex. Xen. excidisse suspicatur δέ. Sed tum dicendum erat ἅτε δὲ γιγνωσκόντων πάντων. Construas potius προςέκειντο, ἅτε γιγνώσκοντες πάντες τὸν Λυσ., αὐτῷ, sed ita ut verbi προςέκειντο subiectum non πάντες esse putes sed πολῖται, h. e. multi e civibus. De tota re et eius parte in eodem casu positis v. ad IV, 4, 1.

Ὅτι μὲν οὖν ἔμηνε καὶ τὸν Ἀγησίλαον ταῦτα ἐδήλω- 8
σεν ὕστερον· οἵ γε μὴν ἄλλοι τριάκοντα ὑπὸ τοῦ φθό-
νου οὐκ ἐσίγων, ἀλλ᾽ ἔλεγον πρὸς τὸν Ἀγησίλαον, ὡς
παράνομα ποιοίη Λύσανδρος τῆς βασιλείας ὀγκηρότε-
ρον διάγων. Ἐπεὶ δὲ καὶ ἤρξατο προσάγειν τινὰς τῷ
Ἀγησιλάῳ ὁ Λύσανδρος, πάντας οἷς γνοίη αὐτὸν συμ-
πράττοντά τι ἡττωμένους ἀπέπεμπεν. Ὡς δ᾽ ἀεὶ τὰ
ἐναντία ὧν ἐβούλετο ἀπέβαινε τῷ Λυσάνδρῳ, ἔγνω δὴ
τὸ γιγνόμενον· καὶ οὔτε ἕπεσθαι ἑαυτῷ ἔτι εἴα ὄχλον
τοῖς τε συμπρᾶξαί τι δεομένοις σαφῶς ἔλεγεν, ὅτι
ἔλαττον ἕξοιεν, εἰ αὐτὸς παρείη. Βαρέως δὲ φέρων 9
τῇ ἀτιμίᾳ, προσελθὼν εἶπεν, Ὦ Ἀγησίλαε, μειοῦν μὲν

§. 8. ἔμηνε B. C. D. F. V. Schneid. Dind. pro vulg. ἔμεινε; Bryl. Cast. ἐλύπει, Leoncl. ἐμηνία, alii ἐκίνει aut ὑπηνία aut ἠνία (Cobetus) aut ἔδακνε coniecerunt. — D. ὀγκηρότερα pro ὀγκηρότερον.

§. 8. ἔμηνε] Aoristus ἔμηνα ubi praeter h. l. reperitur (Aristoph. Thesm. 561. Eurip. Ion. 522. Anthol. Pal. VII, p. 221, 6) significat furorem excitare, non iram movere. Sed passivi de iratis sive irritatis dicti plura collegit exempla Dindorf. ad h. l. et ad Steph. thes. V. p. 506. D. sq. Quare acquiescendum videtur in ἔμηνε, quamvis poetae facilius quam historico concedatur. Sed v. ad III, 2, 4. 16. 3, 6.

ἐδήλωσε] intransitive: apparuit, cognitum est. Comment. I, 2, 32: ἐδήλωσε δέ. Cyrop. VII, 1, 30. Intransitive accipiendum puto etiam Anab. II, 2, 18: ἐδήλωσε δὲ τοῦτο οἷς τῇ ὑστεραίᾳ ἔπραττε.

οἵ γε μὴν ἄλλοι τριάκοντα] i. e. triginta praeter Lysandrum. Sic II, 3, 18: Κριτίας καὶ οἱ ἄλλοι τριάκοντα de triginta tyrannis, in quorum numero ipse erat Critias, ad quem locum, ubi τῶν delendum est, v. adn. meam. Infra IV, 1, 23. Lysandrum autem inter triginta viros Agesilao additos numeratum esse apparet ex §. 20 et diserte dicit Plutarch. Ages. VI, 2: τοὺς τριάκοντα Σπαρτιάτας, ὧν ὁ Λύσανδρος ἦν· εὐθὺς πρῶτος, et Lysand. XXIII.

ὑπὸ τοῦ φθόνου] moti ea invidia, quae in tali conditione facile oritur. Eadem est vis articuli Cyrop. I, 4, 15: οὐ δυναμένῳ σιγᾶν ὑπὸ τῆς ἡδονῆς.

τῆς βασιλείας] Non prorsus idem est quod τοῦ βασιλέως. Nam substantivum abstractum indicat, superbius se gessisse Lysandrum quam vel regiam dignitatem deceret. Cf. Oecon. X, 2: ὅπως ἐρυθροτέρα φαίνοιτο τῆς ἀληθείας. Comment. II, 1, 22: ὥστε δοκεῖν ὀρθοτέραν τῆς φύσεως εἶναι.

ἡττωμένους] posthabitas aliis.

§. 9. βαρέως — φέρων] Rarius haec locutio cum dativo iungitur: infra V, 1, 29. Anab. I, 3, 3: χαλεπῶς φέρω τοῖς παροῦσι πράγμασι. Cum ἐπὶ et dativo est infra VII, 4, 21. Diodor. III, 59: βαρέως ἐπὶ τοῖς ὑπ᾽ αὐτοῦ πραχθεῖσιν ἐνέγκαντα. Etiam genitivus admittitur Thucyd. II, 62: οὐδ᾽ εἰκὸς χαλεπῶς φέρειν αὐτῶν. Buttm. §. 133. 4. c. adn. Rost. §. 161. adn. 4. §. 162. III, 3. additam. 2. Kuehn. §. 285. 1.

μειοῦν μὲν] In animo habet scriptor oppositum: αὔξειν δὲ οὔ. Cf. ad III, 1, 5.

ἆρα σύγε τοὺς φίλους ἠπίστω. Ναὶ μὰ Δί', ἔφη, τούς γε βουλομένους ἐμοῦ μείζους φαίνεσθαι· τοὺς δέ γε αὔξοντας εἰ μὴ ἐπισταίμην ἀντιτιμᾶν, αἰσχυνοίμην ἄν. Καὶ ὁ Λύσανδρος εἶπεν, Ἀλλ' ἴσως, ἔφη, καὶ μᾶλλον εἰκότα σὺ ποιεῖς ἢ ἐγὼ ἔπραττον. Τάδε οὖν μοι ἐκ τοῦ λοιποῦ χάρισαι, ὅπως ἂν μήτ' αἰσχύνωμαι ἀδυνατῶν παρὰ σοὶ μήτ' ἐμποδών σοι ὦ, ἀπόπεμψόν ποί με. Ὅπου γὰρ ἂν ὦ, πειράσομαι ἐν καιρῷ

§. 9. Ante ἆρα seclusit ἀεὶ Schneid., delevit Dind. cum B. C. D. V. — εἶπεν ante Ἀλλ' B. D. E. F. I. Dind. pro ἔφη. — Ἀλλ' ante ἴσως addunt B. Gail. Dind. — B. om. ἔφη post ἴσως, Dind. seclusit. — σὺ post εἰκότα ponunt A. B. C. D. F. I. V. Dind., om. E., post ἴσως ceteri ponunt. — Edd. vett. τάδε νῦν pro τάδε οὖν. — ἂν post ὅπως addunt B. C. D. E. F. I. V. marg. Leoncl. Schneid. Dind.

ἆρα — ἠπίστω] Ἆρα saepius de re dicitur, quae nunc demum et praeter exspectationem cognoscitur. Cyrop. I, 3, 10: τοῦτ' ἆρ' ἦν ἡ ἰσογορία, ὃ ὑμεῖς τότε ἐποιεῖτε. I, 4, 27: ταῦτ' ἆρα, εἰπεῖν τὸν Κῦρον, ἐνεώρας μοι. Anab. VII, 6, 4. Cf. adn. ad Oecon. VI, 16. Buttm. gr. §. 137. adn. 9. Eandem sententiam Plutarch. Ages. VIII, 2 sic refert: ᾔδεις ἆρα σαφῶς, Ἀγησίλαε, φίλους ἐλάττειν.

Ναὶ μὰ Δί', ἔφη] De subiecto ex antecedente vocativo subaudiendo v. ad III, 3, 2.

αὔξοντας] Ex antecedente ἐμοῦ intelligendum με. V. ad Oecon. II, 15. IV, 1: ταύτας μοι — ἐπιδείκνυε — καὶ — συνωφέλει εἰς ταῦτα διδάσκων.

εἶπεν — ἔφη] V. ad III, 3, 5

Ἀλλ' ἴσως — ἔπραττον] Haec ironice dicta sunt. Agesilaus dicens probrosum se existimare eos non honore prosequi, a quibus auctus sit, tecte vituperat Lysandrum, qui magno a rege honore affectus qui debeatur regi honorem deripiat. Cui non sine acerbitate respondet Lysander: at fortassis magis decora sunt quae tu facis (in me) quam quae ego agebam. Lysandri enim potissimum opera et auctoritate Agesilaus rex factus erat. Ingrati igitur animi probrum Lysander reddit Agesilao, a quo nunc omni honore privetur. Apud Plutarchum autem Lysand. XXIII legitur: Ἀλλ' ἴσως μὲν, ὦ Ἀγησίλαε, σοὶ λέλεκται μᾶλλον ἢ ἐμοὶ πέπρακται et Ages. VIII, 2: Ἀλλ' ἴσως, ἔφη, ταῦτά σοι λέλεκται βέλτιον ἢ ἐμοὶ πέπρακται. Unde Schneiderus pro ποιεῖς nostro loco λέγεις scribendum censet hoc sensu: „quae tu dicis contra me, habent quidem veri aliquam similitudinem ex tua interpretatione, facta tamen mea a veritate suspicionis tuae longissime remota videbis, si ea cum animo meo propius inspexeris.“ Quae interpretatio quomodo verbis Xenophontis conveniat, equidem non intelligo. Plutarchus, opinor, ratus aptius sibi opponi λέγειν et πράττειν, inspiciens Xenophontis locum, narrationem suo arbitrio conformavit. — De καὶ μᾶλλον v. ad I, 5, 13.

ἐκ τοῦ λοιποῦ] de reliquo, h. e. hoc certe ex reliquis. Dindorf. comparat Demosth. adv. Olympiad. 4: ἐὰν δ' ἄρα μὴ ἐπιτυγχάνητε τούτου, ἐκ τῶν ὑπολοίπων τούτῳ τὴν ψῆφον ὑμᾶς προςθέσθαι.

ὅπως ἂν μήτ' αἰσχύνωμαι] *Damit ich mich nicht zu schämen brauche.*

ἐν καιρῷ] ut VII, 4, 8. Plutarch. Ages. VIII, 2: ἔσομαί σοι χρήσιμος.

σοι εἶναι. Εἰπόντος δὲ ταῦτα, ἔδοξε καὶ τῷ Ἀγησιλάῳ 10
οὕτω ποιῆσαι, καὶ πέμπει αὐτὸν ἐφ' Ἑλληςπόντου. Ἐκεῖ δὲ ὁ Λύσανδρος αἰσθόμενος Σπιθριδάτην τὸν Πέρσην ἐλαττούμενόν τι ὑπὸ Φαρναβάζου, διαλέγεται αὐτῷ καὶ πείθει ἀποστῆναι ἔχοντα τούς τε παῖδας καὶ τὰ περὶ αὐτὸν χρήματα καὶ ἱππεῖς ὡς διακοσίους. Καὶ τὰ μὲν ἄλλα κατέλιπεν ἐν Κυζίκῳ, αὐτὸν δὲ καὶ τὸν υἱὸν ἀναβιβασάμενος ἧκεν ἄγων πρὸς Ἀγησίλαον. Ἰδὼν δὲ ὁ Ἀγησίλαος ἥσθη τε τῇ πράξει καὶ εὐθὺς ἀνεπυνθάνετο περὶ τῆς Φαρναβάζου χώρας τε καὶ ἀρχῆς.

Ἐπεὶ δὲ μέγα φρονήσας ὁ Τισσαφέρνης ἐπὶ τῷ 11
καταβάντι στρατεύματι παρὰ βασιλέως προεῖπεν Ἀγησιλάῳ πόλεμον, εἰ μὴ ἀπίοι ἐκ τῆς Ἀσίας, οἱ μὲν ἄλλοι σύμμαχοι καὶ Λακεδαιμονίων οἱ παρόντες μάλα ἀχθεσθέντες φανεροὶ ἐγένοντο, νομίζοντες ἐλάττω τὴν

§. 10. Ἑλληςπόντου B. D. F. K. V. Dind. pro Ἑλλήςποντον. — V, αἰσθανόμενος pro αἰσθόμενος. — A. edd. ante Leoncl. τὰ περὶ αὐτῶν χρήματα, Weisk., suadente Moro, ἔχοντα περὶ αὐτὸν τούς τε παῖδας καὶ τὰ χρήματα, V. Schneid. τὰ περὶ αὐτὸν χρήματα. — Dind. ἱππέας pro ἱππεῖς. — εὐθὺς B. D. F. I. V. Dind. pro εὐθέως. — ἀνεπυνθάνετο B. D. F. V. Weisk. (e coni. Mori) sqq. edd. pro ἀντεπ.

§. 11. B. ἄλλοι καὶ σύμμαχοι. — A. edd. vett. οἱ πάντες pro οἱ

§. 10: εἰπόντος] De omisso αὐτοῦ v. ad I, 1, 29.

ἐφ' Ἑλληςπόντου] Cf. ad III, 2, 9. IV, 3, 3.

ἐλαττούμενόν τι] Plutarch. Lysand. XXIV: Σπιθριδάτην δὲ τὸν Πέρσην προςκεκρουκότα Φαρναβάζῳ, i. e. offensum Pharnabazo. Xen. Ages. III, 3: Σπιθριδάτης μέν γε ὁ Πέρσης εἰδώς, ὅτι Φαρνάβαζος γῆμαι μὲν τὴν βασιλέως ἔπραττε θυγατέρα, τὴν δ' αὐτοῦ ἄνευ γάμου λαβεῖν ἐβούλετο, ὕβριν νομίσας τοῦτο, Ἀγησιλάῳ ἑαυτὸν καὶ τὴν γυναῖκα καὶ τὰ τέκνα καὶ τὴν δύναμιν ἐνεχείρισε.

πείθει] scil. αὐτόν. V. ad §. 9.

ἱππεῖς] De hoc accusativi forma v. ad Ages. II, 13. Kuehner. ad Comment. II, 3, 14.

τὸν υἱὸν] Megabatem. V. IV, 1, 28.

πρὸς Ἀγησίλαον] Ephesum. V. §. 4 et 5.

ἀνεπυνθάνετο] Nescio quid desideraverit Schneiderus in hoc verbo vel in universa sententia, cui certe non repugnat Plutarch. Lysand. XXIV: ἤγαγε πρὸς τὸν Ἀγησίλαον· ἄλλο δὲ οὐδὲν ἐχρήσατο αὐτῷ (Lysandro) πρὸς τὸν πόλεμον, ἀλλὰ τοῦ χρόνου διελθόντος (h. e. anno legitimo praeterlapso, v. §. 20) ἀπέπλευσεν (Lysander) εἰς τὴν Σπάρτην ἀτίμως. Lysander domum rediisse narratur infra §. 20.

§. 11. οἱ μὲν ἄλλοι σύμμαχοι] ceteri qui erant in exercitu praeter ipsum Agesilaum. De quo usu vocis ἄλλος v. ad II, 4, 9. Ages. I, 13.

παροῦσαν εἶναι δύναμιν Ἀγησιλάῳ τῆς βασιλέως παρασκευῆς. Ἀγησίλαος δὲ μάλα φαιδρῷ τῷ προσώπῳ ἀπαγγεῖλαι Τισσαφέρνει τοὺς πρέσβεις ἐκέλευσεν, ὡς πολλὴν χάριν αὐτῷ ἔχοι, ὅτι ἐπιορκήσας αὐτὸς μὲν πολεμίους τοὺς θεοὺς ἐκτήσατο, τοῖς δ' Ἕλλησι συμμάχους ἐποίησεν. Ἐκ δὲ τούτου εὐθὺς τοῖς μὲν στρατιώταις παρήγγειλε συσκευάζεσθαι ὡς εἰς στρατείαν, ταῖς δὲ πόλεσιν, εἰς ἃς ἀνάγκη ἦν ἀφικνεῖσθαι στρατευομένῳ ἐπὶ Καρίαν, προεῖπεν ἀγορὰν παρασκευάζειν. Ἐπέστειλε δὲ καὶ Ἴωσι καὶ Αἰολεῦσι καὶ Ἑλλησποντίοις πέμπειν πρὸς ἑαυτὸν εἰς Ἔφεσον τοὺς συστρατευσομένους.

12 Ὁ δὲ Τισσαφέρνης, καὶ ὅτι ἱππικὸν οὐκ εἶχεν ὁ Ἀγησίλαος, ἡ δὲ Καρία ἄφιππος ἦν, καὶ ὅτι ἡγεῖτο αὐτὸν ὀργίζεσθαι αὐτῷ διὰ τὴν ἀπάτην, τῷ ὄντι νομίσας ἐπὶ τὸν αὐτοῦ οἶκον εἰς Καρίαν αὐτὸν ὁρμήσειν, τὸ μὲν πεζὸν ἅπαν διεβίβασεν ἐκεῖσε, τὸ δ' ἱππικὸν εἰς τὸ Μαιάνδρου πεδίον περιῆγε, νομίζων ἱκανὸς εἶναι καταπατῆσαι τῇ ἵππῳ τοὺς Ἕλληνας, πρὶν εἰς τὰ δύσιππα ἀφικέσθαι. Ὁ δ' Ἀγησίλαος ἀντὶ τοῦ

παρόντες. — εἶναι δύν. B. D. I. Dind. pro δύν. εἶναι. — V. λαμπρῷ pro φαιδρῷ. — Xen. Ages. I, 13. Schneid. τῷ Τισσαφέρνει. — ἔχοι, quod iam Leoncl. et Steph. voluerunt, habent B. D. Schneid. sqq. edd., ἔχει F. V. Bryl., ceteri ἔχειν. — V. συσκευάσασθαι. — D. ἐκστρατείαν pro στρατείαν.

§. 12. Post τὸ δὲ ἱππικὸν delevit ἅπαν Dind. cum B. D. F. I. V. Ages. I, 15. — περιῆγε post πεδίον posui cum B. D. E. F. V., ante εἰς τὸ ponit C., ceteri post Μαιάνδρου ponunt. — D. E. F. edd. vett. ἱκανὸν pro ἱκανός. — B. καταπατῆσθαι (an καταπατήσασθαι?) pro

ὡς εἰς στρατείαν] dicens, se ad bellum profecturum esse. V. ad III, 1, 8. Ages. I, 14. I, 6: ὡς ἐπὶ τοὺς Ἕλληνας. Kuehner. ad Anab. VII, 1, 37.

στρατευομένῳ] τινί. V. ad II, 1, 8. III, 3, 3.

§. 12. τῷ ὄντι — ὁρμήσειν] h. e. non iactari modo ab Agesilao expeditionem. De participio aoristi νομίσας, quod mox sequitur νομίζων, v. ad δείσας Ages. II, 30. Infra IV, 1, 27: πιστεύσαντες.

ἐπὶ τὸν αὐτοῦ οἶκον] Corn. Nep. Ages. III, 1: quod ipsius erant plurima domicilia in Caria. Dindorfius comparat III, 2, 1: νομίσας τὴν Αἰολίδα ἐπιτετειχίσθαι τῇ ἑαυτοῦ οἰκήσει Φρυγίᾳ. Kuehner. ad Anab. VI, 2, 14 semper scribendum censet αὑτοῦ, αὑτῆς, αὑτῶν, ubi in codicibus formae αὐτοῦ, αὐτῆς, αὐτῶν inter articulum et substantivum positae leguntur, cui legi non paucis locis sensus repugnat. V. ad Cyrop. I, 1, 5. Rectius Krueger. gr. §. 47. 9. adn. 12 hanc illorum genitivorum collocationem admittendam esse dicit ubi sint ipsius, ipsorum, ut est h. l. Sed III, 4, 12 αὐτοῦ et VII, 1, 20 αὐτῶν transponenda videntur.

νομίζων — εἶναι] De praesentis infinitivo v. ad Oecon. VI,

*ἐπὶ Καρίαν ἰέναι εὐθὺς τἀναντία ἀποστρέψας ἐπὶ Φρυ-*
*γίας ἐπορεύετο, καὶ τάς τε ἐν τῇ πορείᾳ (ἀπαντώσας*
*δυνάμεις ἀναλαμβάνων ἦγε καὶ τὰς) πόλεις κατεστρέ-*
*φετο καὶ ἐμβαλὼν ἀπροσδοκήτοις παμπληθῆ χρήματα*
*ἐλάμβανε. Καὶ τὸν μὲν ἄλλον χρόνον ἀσφαλῶς διε-* 13
*πορεύετο· οὐ πόρρω δ' ὄντος Δασκυλείου, προϊόντες*
*αὐτῷ οἱ ἱππεῖς ἤλαυνον ἐπὶ λόφον τινά, ὡς προΐδοιεν,*
*τί τἄμπροσθεν εἴη. Κατὰ τύχην δέ τινα καὶ οἱ τοῦ*
*Φαρναβάζου ἱππεῖς οἱ περὶ Ῥαθίνην καὶ Βαγαῖον τὸν*
*νόθον ἀδελφόν, ὄντες παρόμοιοι τοῖς Ἕλλησι τὸν*
*ἀριθμόν, πεμφθέντες ὑπὸ Φαρναβάζου ἤλαυνον καὶ*
*οὗτοι ἐπὶ τὸν αὐτὸν τοῦτον λόφον. Ἰδόντες δὲ ἀλ-*
*λήλους οὐδὲ τέτταρα πλέθρα ἀπέχοντας, τὸ μὲν πρῶ-*
*τον ἔστησαν ἀμφότεροι, οἱ μὲν Ἕλληνες ἱππεῖς ὥςπερ*
*φάλαγξ ἐπὶ τεττάρων παρατεταγμένοι, οἱ δὲ βάρβαροι*
*τοὺς πρώτους οὐ πλέον ἢ εἰς δώδεκα ποιήσαντες, τὸ*
*βάθος δ' ἐπὶ πολλῶν. Ἔπειτα μέντοι πρόσθεν ὥρμη-*
*σαν οἱ βάρβαροι. Ὡς δ' εἰς χεῖρας ἦλθον, ὅσοι μὲν τῶν* 14
*Ἑλλήνων ἔπαισάν τινας, πάντες συνέτριψαν τὰ δόρατα,*

*καταπατῆσαι.* — Leoncl. *εἰς τἀναντία.* — F. om. *τῇ* ante *πορείᾳ*, V. om. *τ'* ante *ἐν.* — (*ἀπαντώσας* — *καὶ τὰς*) ex Ages. I, 16. suadentibus Valcken. et Schneidero, recepit Dind. — *ἀπροσδοκήτοις* B. D. E. F. marg. Leoncl. Dind. pro *ἀπροσδοκήτως.* — V. Ages. I, 16. Weisk. *ἔλαβε* pro *ἐλάμβανε.*

§. 13. *Δασκυλείου* Dind., ceteri *Δασκυλίου* vel *Δασκυλλίου.* — *προϊόντες* marg. Leoncl. Steph. Schneid. edd. sqq. pro *προϊόντος.* — *αὐτῷ* Koeppen. Dind. pro *αὐτοῦ.* — *Βαγαῖον* marg. Leoncl. et Steph. Schneid. edd. sqq. pro *Βαγκαῖον*, quod ex codd. tantum A. E. habent. — *εἰς δώδεκα* pro *ἐκ δώδ.* Mor. edd. sqq.

11. Ages. I, 15. Hier. VII, 9. Buttm. §. 140. adn. 1. Rost. §. 151. adn. 6.

*τἀναντία ἀποστρέψας*] Idem fere est quod *ἀντιστρέψας* Ages. I, 16. Pro adverbio habendum est *τἀναντία*, ut Anab. IV, 3, 32: *τἀναντία στρέψαντες ἔφευγον*, ubi Kuehnerus comparat *τοὔμπαλιν ὑποστρέψαντας* Anab. VI, 6, 38.

[*ἀπαντώσας — τὰς*]] Haec verba quamvis in Agesilao non cum Heilandio supervacanea iudicem, tamen num merito in Hellenica transscripta sint, dubito.

*ἀπροσδοκήτοις*] *τοῖς ἐν πόλεσι.* Cf. locum simillimum Thucyd. VII, 29: *ἅμα δὲ τῇ ἡμέρᾳ τῇ πόλει προςέκειτο οὔσῃ οὐ μεγάλῃ, καὶ αἱρεῖ ἀφυλάκτοις τε ἐπιπεσὼν καὶ ἀπροσδοκήτοις.*

§. 13. *Δασκυλείου*] in Phrygia. V. IV, 1, 15.

*αὐτῷ*] Hoc recte esse positum videbis ex V, 4, 59. VII, **2**, 22: *προῄεσαν αὐτῷ.*

*πλέον ἢ εἰς δώδεκα*] V. ad III, 2, 19. Oecon. XXI, 3: *πλεῖον ἢ ἐν διπλασίῳ*, i. e. *ἐν πλείονι ἢ ἐν διπλασίῳ.* — Eodem sensu erat *εἰς* III, 1, 22. Ceterum ex scriptura *ἐκ δώδεκα* apparet, vetustissimos libros omnes habuisse *ἐς*, non *εἰς*. V. ad V, 3, 10.

*οἱ δὲ Πέρσαι κρανέϊνα παλτὰ ἔχοντες ταχὺ δώδεκα μὲν ἱππεῖς, δύο δ' ἵππους ἀπέκτειναν. Ἐκ δὲ τούτου ἐτρέφθησαν οἱ Ἕλληνες ἱππεῖς. Βοηθήσαντος δὲ Ἀγησιλάου σὺν τοῖς ὁπλίταις, πάλιν ἀπεχώρουν οἱ βάρβαροι, καὶ εἷς αὐτῶν ἀποθνήσκει. Γενομένης δὲ ταύτης τῆς ἱππομαχίας, θυομένῳ τῷ Ἀγησιλάῳ τῇ ὑστεραίᾳ ἐπὶ προόδῳ ἄλοβα γίγνεται τὰ ἱερά. Τούτου μέντοι φανέντος, στρέψας ἐπορεύετο ἐπὶ θάλατταν. Γιγνώσκων δέ, ὅτι, εἰ μὴ ἱππικὸν ἱκανὸν κτήσαιτο, οὐ δυνήσοιτο κατὰ τὰ πεδία στρατεύεσθαι, ἔγνω τοῦτο κατασκευαστέον εἶναι, ὡς μὴ δραπετεύοντα πολεμεῖν δέοι. Καὶ τοὺς μὲν πλουσιωτάτους ἐκ πασῶν τῶν ἐκεῖ πόλεων ἱπποτροφεῖν κατέλεξε· προειπὼν δέ, ὅςτις παρέχοιτο ἵππον καὶ ὅπλα καὶ ἄνδρα δόκιμον, ὅτι ἐξέσται αὐτῷ μὴ στρατεύεσθαι, ἐποίησεν οὕτω ταῦτα συντόμως πράττεσθαι, ὥςπερ ἄν τις τὸν ὑπὲρ αὐτοῦ ἀποθανούμενον προθύμως ζητοίη.*

§. 14. *ἱππεῖς* B. C. D. E. V., *ἱππῆς* edebatur ante Schneid., quocum sqq. edd. *ἱππέας*. — *σὺν* B. D. Dind. pro *ξὺν*. — Ante *εἷς* om. *Περσῶν*, Moro monente, Dind.

§. 15. *θάλατταν* B. F. I. Dind. pro *τὴν θάλασσαν*; *τὴν* om. etiam D. F. Ages. I, 18. — *παρέχοιτο ἵππον* pro *παρέχοι τὸ ἱππικὸν*, monentibus Leoncl. et Bachio, Mor. sqq. edd. receperunt. — A. edd. vett. om. *ταῦτα*. — *συντ.* pro *ξυντ.* B. D. Dind.

§. 14. *ἱππεῖς*] V. ad §. 10.

*ἐτρέφθησαν*] fugati sunt, ut Anab. V, 4, 23, qua significatione longe usitatior est forma *τραπῆναι*. V. Kuehner. ad Anab. l. c.

*καὶ εἷς αὐτῶν*] Praestat cum Dindorfio *Περσῶν* delere quam cum Weiskio *ὑπ' αὐτῶν* scribere.

§. 15. *ἐπὶ θάλατταν*] Cf. Ages. I, 18. 25: *ἐπειδὴ δὲ ἔαρ ὑπέφαινε, συνήγαγε πᾶν τὸ στράτευμα εἰς Ἔφεσον.* Plutarch. Ages. IX, 3: *τοῖς δ' ἱππεῦσιν ἐλαττωθεὶς καὶ τῶν ἱερῶν ἀλόβων φανέντων ἀναχωρήσας εἰς Ἔφεσον ἱππικὸν συνῆγε.*

*εἰ μὴ — κτήσαιτο*] nisi — parasset. Cobetus postlat *κτήσοιτο* immemor locorum II, 1, 31. 3, 56. 4, 25. In recta oratione dicendum erat *ἐὰν μὴ κτήσωμαι.* Haec et alia Hertlinius in censura ed. Dind. p. 709. Alia ratio est VI, 1, 1. VII, 4, 34. 5, 24, ubi futuri optativi sunt necessarii.

*ἱπποτροφεῖν κατέλεξε*] elegit, ut equum suo sumtu alerent ad militiam, quod etiam apud Athenienses civium erat opulentissimorum. V. Hipparch. I, 11.

*παρέχοιτο*] Plutarch. Ages. IX, 3: *προειπὼν τοῖς εὐπόροις, εἰ μὴ βούλονται στρατεύεσθαι, παρασχεῖν ἕκαστον ἵππον ἀνθ' ἑαυτοῦ καὶ ἄνδρα.* De *παρέχειν* et *παρέχεσθαι* v. ad Oecon. IV, 7.

*συντόμως*] brevi temporis spatio, cito. In Agesilao est *προθύμως ταῦτα πράττειν.*

*τὸν — ἀποθανούμενον*] De articulo v. ad Oecon. VIII, 121. Infra VII, 5, 24. Buttm. gr. §. 124. adn. 6. Rost. gr. mai. §. 98. B. b.

Ἐκ δὲ τούτου ἐπειδὴ ἔαρ ὑπέφαινε, συνήγαγε μὲν 16
ἅπαν τὸ στράτευμα εἰς Ἔφεσον· Ἀσκῆσαι δ᾽ αὐτὸ A.Ch.a
βουλόμενος ἆθλα προὔθηκε ταῖς τε ὁπλιτικαῖς τάξεσιν, ἥτις ἄριστα σωμάτων ἔχοι, καὶ ταῖς ἱππικαῖς, ἥτις κράτιστα ἱππεύοι· καὶ πελτασταῖς δὲ καὶ τοξόταις ἆθλα προὔθηκεν, ὅσοι κράτιστοι πρὸς τὰ προςήκοντα ἔργα φανεῖεν. Ἐκ τούτου δὲ παρῆν ὁρᾶν τὰ μὲν γυμνάσια πάντα μεστὰ ἀνδρῶν τῶν γυμναζομένων, τὸν δ᾽ ἱππόδρομον τῶν ἱππαζομένων, τοὺς δ᾽ ἀκοντιστὰς καὶ τοὺς τοξότας μελετῶντας. Ἀξίαν δὲ καὶ ὅλην τὴν 17
πόλιν, ἐν ᾗ ἦν, θέας ἐποίησεν· ἥ τε γὰρ ἀγορὰ ἦν μεστὴ παντοδαπῶν καὶ ἵππων καὶ ὅπλων ὠνίων, οἵ τε χαλκοτύποι καὶ οἱ τέκτονες καὶ οἱ χαλκεῖς καὶ οἱ σκυτοτόμοι καὶ οἱ ζωγράφοι πάντες πολεμικὰ ὅπλα κατεσκεύαζον, ὥςτε τὴν πόλιν ὄντως οἴεσθαι πολέμου ἐργαστήριον εἶναι. Ἐπεῤῥώσθη δ᾽ ἄν τις καὶ ἐκεῖνο 18
ἰδών, Ἀγησίλαον μὲν πρῶτον, ἔπειτα δὲ καὶ τοὺς ἄλλους στρατιώτας ἐστεφανωμένους ἀπὸ τῶν γυμνασίων ἀπιόντας καὶ ἀνατιθέντας τοὺς στεφάνους τῇ Ἀρτέ-

§. 16. C. ἐπεὶ pro ἐπειδὴ. — συν. B. D. F. Dind. pro ξυν. — B. bis, altero loco V. εἴτις pro ἥτις. — ἐκ τούτου δὲ B. C. D. I. Dind. pro ἐκ δὲ τούτου. — D. om. τῶν post ἀνδρῶν.

§. 17. Ἔφεσον post ἐν ᾗ ἦν cum Valcken. seclusit Schneid., cum Weiskio delevit Dind. — E. V. edd. vett. ὅπλων καὶ ὠνίων. — V. σκηνοποιοὶ, D. ζωγραφοῦντες pro ζωγράφοι.

§. 18. D. ἐπερρώσθη κἀκεῖνο ἰδών. — πρῶτον B. D. E. F. I. V. Schneid. Dind. pro πρῶτα.

§. 16. ἔαρ ὑπέφαινε] Cf. IV, 1, 41. V, 4, 58. et V, 1, 21: ἡμέρα — ὑπέφαινε. Anab. III, 2, 1 et IV, 3, 9 ἕως ὑπέφαινε. Sed infra V, 3, 1: ἅμα δὲ τῷ ἦρι ὑποφαινομένῳ.

ἄριστα σωμάτων ἔχοι] Adverbia ut ὡς et ὅπως cum ἔχειν iuncta adsciscunt genitivum. I, 4, 11. II, 1, 14. Alia v. ad IV, 5, 15. Sed Oecon. XXI, 7: οἳ ἂν ἄριστα τὸ σῶμα ἔχωσι ut infra V, 3, 17.

μελετῶντας] Ages. I, 25: τοὺς τοξότας ἐπὶ στόχον ἱέντας.

§. 17. χαλκεῖς — ζωγράφοι] Ages. I, 26: σιδηρεῖς καὶ σκυτεῖς καὶ γραφεῖς.

ὥςτε — οἴεσθαι] ut crederes posses. Oecon. II, 13: οὔτε γὰρ αὐτὸς — χρήματα ἐπεκτήμην, ὥςτε μανθάνειν, ut discerem, *dass ich es hätte lernen können.* Anab. I, 10, 12: ὥςτε τὸ ποιούμενον μὴ γιγνώσκειν, ut quod factum erat cognoscere non possent. V. ad Ages. I, 34. Kuehn. §. 341. 3. b. Eodem fere sensu Ages. I, 26: ὥςτε τὴν πόλιν ὄντως ἂν ἡγήσω πολέμου ἐργαστήριον εἶναι. Cf. Polyb. XII, 20, 7: οὐκ ἔστιν ὅστις οὐκ ἂν εἶπε κατὰ τὸν Ξενοφῶντα τότε θεασάμενος ἐκείνην τὴν πόλιν ἐργαστήριον εἶναι πολέμου. Etiam Athen. X, p. 421. respexit hunc locum.

ὄντως] Pertinet ad ἐργαστήριον εἶναι.

§. 18. ἀνατιθέντας — τῇ

μιδι. Ὅπου γὰρ ἄνδρες θεοὺς μὲν σέβοιντο, τὰ δὲ πολεμικὰ ἀσκοῖεν, πειθαρχεῖν δὲ μελετῷεν, πῶς οὐκ εἰκὸς ἐνταῦθα πάντα μεστὰ ἐλπίδων ἀγαθῶν εἶναι;
19 Ἡγούμενος δὲ καὶ τὸ καταφρονεῖν τῶν πολεμίων ῥώμην τινὰ ἐμβάλλειν πρὸς τὸ μάχεσθαι, προεῖπε τοῖς κήρυξι τοὺς ὑπὸ τῶν λῃστῶν ἁλισκομένους βαρβάρους γυμνοὺς πωλεῖν. Ὁρῶντες οὖν οἱ στρατιῶται λευκοὺς μὲν διὰ τὸ μηδέποτε ἐκδύεσθαι, μαλακοὺς δὲ καὶ ἀπόνους διὰ τὸ ἀεὶ ἐπ' ὀχημάτων εἶναι, ἐνόμισαν οὐδὲν διοίσειν τὸν πόλεμον ἢ εἰ γυναιξὶ δέοι μάχεσθαι.
20 Ἐν δὲ τούτῳ τῷ χρόνῳ καὶ ὁ ἐνιαυτὸς ἤδη, ἀφ' οὗ ἐξέπλευσεν ὁ Ἀγησίλαος, διεληλύθει, ὥςτε οἱ μὲν περὶ Λύσανδρον τριάκοντα οἴκαδε ἀπέπλεον, διάδοχοι δ' αὐτοῖς οἱ περὶ Ἡριππίδαν παρῆσαν. Τούτων Ξενοκλέα μὲν καὶ ἄλλον ἔταξεν ἐπὶ τοὺς ἱππεῖς, Σκύθην δὲ ἐπὶ τοὺς νεοδαμώδεις ὁπλίτας, Ἡριππίδαν δ' ἐπὶ τοὺς Κυρείους, Μύγδωνα δὲ ἐπὶ τοὺς ἀπὸ τῶν πόλεων στρατιώτας, καὶ προεῖπεν αὐτοῖς, ὡς εὐθὺς ἡγήσοιτο τὴν συντομωτάτην ἐπὶ τὰ κράτιστα τῆς χώρας, ὅπως

§. 20. D. δὴ pro ἤδη et om. ὁ ante Ἀγησ. — αὐτοῖς B. D. E. I. V. Dind. pro αὐτῶν. — ἱππεῖς B. C. D. E. F. V., ἱππέας Schneid. sqq. edd., reliqui ἱππῆς. — D. παρήγγειλεν pro προεῖπεν. — ὡς B. D. E. F. V. Dind. pro ὅτι ὡς, Schneid. seclusit ὅτι.

*Ἀρτέμιδι*] consecratas Dianae, quae Ephesi maxime colebatur ibique insigne habebat templum.

*σέβοιντο — μελετῷεν*] Optativi accipiendi sunt ex sententia eorum, quorum animi bona spe pleni erant.

§. 19. *ὑπὸ τῶν λῃστῶν*] h. e. ab hominibus, qui praedatum exissent. V. §. 22: *τοὺς τῶν Ἑλλήνων ἀκολούθους ἐσπαρμένους εἰς ἁρπαγήν.*

*λευκούς*] Schneiderus comparat Frontin. I, 11, 17: nudatos militibus suis, ut alba corpora et umbratica contemnerent, ostendit.

*διοίσειν — ἢ*] Verbum *διαφέρειν*, ubi idem est quod *ἄλλο τι εἶναι*, sequitur *ἤ*. Cf. III, 5, 13. Comment. II, 1, 17. al.

§. 20. *οἱ — περὶ Λύσανδρον τριάκοντα*] V. ad §. 8. et 10. Buttm. §. 150. 25. Kuehn. §. 263. d. Rost. §. 156. 3. b.

*διάδοχοι — αὐτοῖς*] h. e. *διαδεχόμενοι αὐτούς*, ut est Cyrop. VIII, 6, 18: *τῷ ἡμερινῷ ἀγγέλῳ τὸν νυκτερινὸν διαδέχεσθαι.* V. Kuehner. ad Anab. VII, 2, 5: *Ἀρίσταρχος ἐν Κυζίκῳ διάδοχος Κλεάνδρῳ.*

*ἱππεῖς*] V. ad III, 4, 10.

*νεοδαμώδεις*] V. ad III, 1, 4.

*Κυρείους*] V. ad III, 2, 7.

*ἀπὸ τῶν πόλεων*] Asiae, ut videtur.

*ἐπὶ τὰ κράτιστα τῆς χώρας*] Plutarch. Ages. X, 1: *εἰς Λυδίαν.* Pausan. III, 9: *ἦν γὰρ δὴ τῆς Ἀσίας τῆς κάτω μέγιστον μέρος τηνικαῦτα ἡ Λυδία, καὶ αἱ Σάρδεις πλούτῳ τε καὶ παρασκευῇ προεῖχον.*

αὐτόθεν οὕτω τὰ σώματα καὶ τὴν γνώμην παρασκευάζοιντο ὡς ἀγωνιούμενοι. Ὁ μέντοι Τισσαφέρνης ταῦτα 21
μὲν ἐνόμισε λέγειν αὐτὸν πάλιν βουλόμενον ἐξαπατῆσαι, εἰς Καρίαν δὲ νῦν τῷ ὄντι ἐμβαλεῖν, καὶ τό τε πεζὸν καθάπερ τὸ πρόσθεν εἰς Καρίαν διεβίβασε καὶ τὸ ἱππικὸν εἰς τὸ Μαιάνδρου πεδίον κατέστησεν. Ὁ δ' Ἀγησίλαος οὐκ ἐψεύσατο, ἀλλ' ὥςπερ προεῖπεν εὐθὺς εἰς τὸν Σαρδιανὸν τόπον ἐνέβαλε. Καὶ τρεῖς μὲν ἡμέρας δι' ἐρημίας πολεμίων πορευόμενος πολλὰ τὰ ἐπιτήδεια τῇ στρατιᾷ εἶχε, τῇ δὲ τετάρτῃ ἧκον οἱ τῶν πολεμίων ἱππεῖς. Καὶ τῷ μὲν ἄρχοντι τῶν σκευοφόρων 22
εἶπεν ὁ ἡγεμὼν διαβάντι τὸν Πακτωλὸν ποταμὸν στρα-

§. 21. D. ὡς pro πάλιν. — E. edd. vett. ἐκβαλεῖν pro ἐμβαλεῖν. — V. κατέπεμπε pro κατέστησε. — D. πρότερον pro προεῖπεν. — Schneid. ἱππῆς pro ἱππεῖς.

§. 22. ὁ ἡγεμὼν ex Ages. cum Leoncl. receperunt Weisk. sqq. edd. — ὁ ante Ἀγησ. inserunt Leoncl. Weisk. sqq. edd.

αὐτόθεν] inde statim. V. VI, 2, 12. VII, 5, 3. adn. ad Ages. I, 28. Kuehner. ad Comment. II, 8, 1. Cyrop. VI, 2, 31: ὅταν δ' ἐκβαίνωμεν εἰς ἀκέραια, ὅπου ἤδη εἰκὸς ἡμᾶς σῖτον λαμβάνειν, χειρομύλας χρὴ αὐτόθεν παρασκευάσασθαι, αἷς σιτοποιησόμεθα.

τὴν γνώμην παρασκευάζοιντο] Cyrop. II, 1, 11: ταῖς ψυχαῖς παρασκευασμένους ὡς χεῖρας συμμίξοντας τοῖς πολεμίοις. Anab. VI, 1, 17: ἀλλὰ χρὴ παρασκευασαμένους τὴν γνώμην πορεύεσθαι, quos locos Heiland. confert ad Ages. I, 28.

§. 21. εἰς τὸν Σαρδιανὸν τόπον] in regionem Sardianam. Plutarch. X, 1: τὸ περὶ Σάρδεις πεδίον. Schneiderus comparat Demosth. adv. Lept. 59: τὸν περὶ Θράκην τόπον.

δι' ἐρημίας πολεμίων] per loca, in quibus nulli erant hostes. Cf. V, 4, 41.

§. 22. ὁ ἡγεμών] Persarum dux, non Tissaphernes, qui Sardibus manserat. V. §. 25. αὐτοὶ in sequentibus sunt idem dux eiusque equites. Ceterum sane quam mirum videtur, quod Diodor. XIV, 80, ubi eandem pugnam inter Sardes et Thybarna factam describit, nihil commemorat de flumine et castris Persarum ad eius ripam collocatis, nihil de multis hominibus in flumine demersis, nihil de direptis castris, Xenophon contra tacet de insidiis, quibus Persas victos esse narrat Diodorus. Mireris etiam quod ille quinquaginta milia peditum pugnae interfuisse refert, quum teste Xenophonte omnes Persarum pedites in Cariam essent missi. Sed undeunde orta est haec dissensio, Xenophontis ut testis oculati auctoritas in hac re maior esse debet. V. Grotii Hist. Gr. V, p. 214. Atque quo iure Schneiderus hanc pugnam a Xenophonte ieiune et obscure narratam esse iudicet, equidem non video.

τὸν Πάκτωλον] Secundum Pausan. III, 9, 3. ἐν Ἕρμου πεδίῳ, secundum Diodorum l. c. ἀνὰ μέσον τῶν τε Σάρδεων καὶ Θυβαρνῶν, et fluebat quidem Pactolus inter utramque urbem, sed ita ut Sardes paene tangeret, a Thybarnis longius esset remotus. Inspicias chartam geogr. ab H. Kieperto a. 1851. descriptam.

τοπεδεύεσθαι. αὐτοὶ δὲ κατιδόντες τοὺς τῶν Ἑλλήνων ἀκολούθους ἐσπαρμένους εἰς ἁρπαγὴν πολλοὺς αὐτῶν ἀπέκτειναν. Αἰσθόμενος δὲ ὁ Ἀγησίλαος βοηθεῖν ἐκέλευσε τοὺς ἱππέας. Οἱ δ' αὖ Πέρσαι ὡς εἶδον τὴν βοήθειαν, ἠθροίσθησαν καὶ ἀντιπαρετάξαντο παμπλη-
23 θέσι τῶν ἱππέων τάξεσιν. Ἔνθα δὴ ὁ Ἀγησίλαος γιγνώσκων, ὅτι μὲν τοῖς πολεμίοις οὔπω παρείη τὸ πεζόν, αὐτῷ δὲ οὐδὲν ἀπείη τῶν παρεσκευασμένων, καιρὸν ἡγήσατο μάχην συνάψαι, εἰ δύναιτο. Σφαγιασάμενος οὖν τὴν μὲν φάλαγγα εὐθὺς ἦγεν ἐπὶ τοὺς παρατεταγμένους ἱππέας, ἐκ δὲ τῶν ὁπλιτῶν ἐκέλευσε τὰ δέκα ἀφ' ἥβης θεῖν ὁμόσε αὐτοῖς, τοῖς δὲ πελτασταῖς εἶπε δρόμῳ ὑφηγεῖσθαι. Παρήγγειλε δὲ καὶ τοῖς ἱππεῦσιν ἐμβάλλειν, ὡς αὐτοῦ τε καὶ παντὸς τοῦ στρα-
24 τεύματος ἑπομένου. Τοὺς μὲν δὴ ἱππέας ἐδέξαντο οἱ Πέρσαι· ἐπεὶ δ' ἅμα πάντα τὰ δεινὰ παρῆν, ἐνέ-

§. 23. ἔνθα δὴ ὁ B. D. F. V. Schneid. sqq. edd., E. ἔνθα καὶ, ceteri ἔνθα δή. — ὅτι μὲν τοῖς B. pro ὅτι τοῖς μὲν, F. om. μὲν. — ἀπείη A. B. C. D. F. V. Mor. sqq. edd. pro ἀπῄει. — καιρὸν B. D. E. F. I. V. Schneid. Dind. pro καλὸν. — συν. B. D. Dind. pro ξυν. — ὁπλιτῶν, monentibus Leoncl. Steph. Moro, Schneid. Dind. ex Ages. I, 31. substituerunt vulgato ἱππέων. — τὰ δέκα B. Schneid. Dind. pro τοὺς δέκα.

§. 23. ὅτι μὲν τοῖς] Particulae μὲν — δέ non semper iis verbis subiunguntur, quae sibi opposita sunt. V. ad Ages. XI, 1. Hier. I, 9. Comment. I, 6, 11. Infra III, 5, 16: ὅτι μὲν — τοῦτο δέ. IV, 5, 12. V, 2, 30: ὅτι μὲν —· ἐγὼ δὲ —.

σφαγιασάμενος] χίμαιραν scil. V. III, 4, 25, ubique adn.

παρατεταγμένους] Aut ἀντιτεταγμένους, quod est Ages. I, 31, aut παρατεταγμένους legendum putat Dindorfius. Sed παρατάττεσθαι non solum instrui sed etiam contra hostes instrui significare apparet ex IV, 3, 5: παρετάξαντο ἀλλήλοις (idem est Ages. II, 3) et Ages. II, 24: ὅπου δὲ οἱ πολῖται πλέον ἕξειν ἔμελλον, εὐρώστως παρατεταγμένος, h. e. intrepide suorum civium instructam aciem hostibus opposuit. Cf. infra III, 5, 22. Praeterea quum paullo ante dictum sit ἠθροίσθησαν καὶ ἀντιπαρετάξαντο, non dubium est, quin sufficiat h. l. dicere: duxit phalangem adversus equites instructos, i. e. ad pugnam paratos.

τὰ δέκα ἀφ' ἥβης] V. ad II, 4, 32 et quae uberius dixi ad Ages. I, 31.

ὡς — ἑπομένου] V. ad §. 1. Quod ad rem attinet, cf. Plutarch. Ages. X, 2: καὶ τοῖς μὲν ἱππεῦσιν ἀναμίξας τὸ πελταστικὸν ἐλαύνειν ἐκέλευσεν ὡς τάχιστα καὶ προσβάλλειν τοῖς ἐναντίοις, αὐτὸς δὲ εὐθὺς τοὺς ὁπλίτας ἐπῆγε. Inde colligere licet, pugnam sic esse factam: primum praecurrunt equites cum levis armaturae militibus, deinde comminus cum hostibus fiunt οἱ τὰ δέκα ἀφ' ἥβης, postremo Agesilaus cum reliquo exercitu subsequitur.

§. 24. πάντα τὰ δεινά] to-

*κλιναν, καὶ οἱ μὲν αὐτῶν εὐθὺς ἐν τῷ ποταμῷ ἔπεσον, οἱ δ' ἄλλοι ἔφευγον. Οἱ δ' Ἕλληνες ἐπακολουθοῦντες αἱροῦσι καὶ τὸ στρατόπεδον αὐτῶν. Καὶ οἱ μὲν πελτασταί, ὥςπερ εἰκός, εἰς ἁρπαγὴν ἐτράποντο· ὁ δ' Ἀγησίλαος κύκλῳ πάντα καὶ φίλια καὶ πολέμια περιεστρατοπεδεύσατο. Καὶ ἄλλα τε πολλὰ χρήματα ἐλήφθη, ἃ εὗρε πλέον ἢ ἑβδομήκοντα τάλαντα, καὶ αἱ κάμηλοι δὲ τότε ἐλήφθησαν, ἃς Ἀγησίλαος εἰς τὴν Ἑλλάδα ἀπήγαγεν.*

*Ὅτε δ' αὕτη ἡ μάχη ἐγένετο, Τισσαφέρνης ἐν Σάρ-* 25
*δεσιν ἔτυχεν ὤν, ὥςτε ᾐτιῶντο οἱ Πέρσαι προδεδόσθαι ὑπ' αὐτοῦ. Γνοὺς δὲ καὶ αὐτὸς ὁ Περσῶν βα-*

§. 24. A. edd. vett. *ἐνέπεσον* pro *ἔπεσον.* — *ἔφευγον* B. D. E. F. V. Dind. pro *ἔφυγον.* — A. E. edd. vett. *ἄλλ' ἄττα*, D. *ἄλλα τοι* pro *ἄλλα τε*, Weisk. *ἄλλα τε πολλὰ ἄττα.*

tus exercitus, vel accuratius: terror qui adventu totius exercitus iniiciebatur hostibus.

*ἐν τῷ ποταμῷ ἔπεσον*] In pedestri oratione nihil reperi prorsus simile. Ex Homeri usu dicendi minus illud *ἐνὶ νήεσσι πέσωμεν* (Il. XIII, 742) quam *πέσεν ἐν κονίῃσιν* nostro loco cognatum videtur. Nam non ad fugiendum in flumen se deiecisse Persarum equites dici intelligitur ex verbis oppositis *οἱ δ' ἄλλοι ἔφευγον*: tumultu potius certaminis vel fugae in flumen detrusi esse et aqua demersi videntur. Habemus igitur non structuram praegnantem ut IV, 5, 5: *οἱ δ' ἐν τῷ Ἡραίῳ καταπεφευγότες*, ubi v. adn., sed res effecta exprimitur, omissa re efficiente: flumine demersos esse dicit, detrusos esse in flumen, quippe quod per se facile intelligatur, omittit Xenophon.

*ἔπεσον — ἔφευγον*] Aoristi et imperfecti differentia animadvertenda est: alii in flumine statim perierunt, alii fuga servabantur, quae quidem per latam planitiem fuga ob oculos quoddammodo ponitur per imperfectum. Cf. III, 1, 23. IV, 3, 7: *οἱ δ' ἀνέστρεψαν, οἱ δὲ — ἡλίσκοντο.* IV, 4, 11. 6, 11. VII, 4, 26.

*κύκλῳ — περιεστρατοπεδεύσατο*] Cf. Cyrop. III, 1, 6: *ὁ Κῦρος λαβὼν εἰς τὸ μέσον κἀκεῖνον καὶ τὰ ἄλλα πάντα περιεστρατοπεδεύσατο ὁμοῦ ἔχων τὴν δύναμιν.*

*πολλὰ χρήματα ἐλήφθη*] Diodor. XIV, 80: *τὴν δὲ παρεμβολὴν διήρπασαν γέμουσαν πολλῶν ἀγαθῶν.*

*εὗρε*] vendita confecerunt, *einbrachten.* V. adn. ad Oecon. II, 3: *πόσον ἂν — οἴει — εὑρεῖν τὰ σὰ κτήματα πωλούμενα*, et ad Comment. II, 5, 5.

*καὶ — δέ*] Hae particulae respondent antecedenti *τε.* V. adn. ad II, 4, 6. H. l. quum — tum, ut V, 2, 37. Cf. VII, 4, 30.

*ἐλήφθησαν*] Cum vi quadam repetitur verbum, ut sensus sit: pariter capti sunt. Cf. ad V, 3, 3. VI, 3, 10. VII, 2, 22.

§. 25. *Τισσαφέρνης ἐν Σάρδεσιν ἔτυχεν ὤν*] Cum his male concinit Diodor. l. c.: *ἀπὸ τῆς μάχης Τισσαφέρνης εἰς Σάρδεις ἀπεχώρησε* et Plut. Ages. X, 1: *ἠναγκάζετο κατὰ σπουδὴν ἐκεῖθεν αὖ βοηθεῖν ὁ Τισσαφέρνης καὶ τῇ ἵππῳ διεξελαύνων διέφθειρε πολλοὺς τῶν ἀτάκτως τὸ πεδίον πορθούντων.* V. adn. ad Xen. Ages. I, 30.

σιλεὺς Τισσαφέρνην αἴτιον εἶναι τοῦ κακῶς φέρεσθαι
τὰ αὐτοῦ, Τιθραύστην καταπέμψας ἀποτέμνει αὐτοῦ
τὴν κεφαλήν. Τοῦτο δὲ ποιήσας ὁ Τιθραύστης πέμπει
πρὸς τὸν Ἀγησίλαον πρέσβεις λέγοντας, Ὦ Ἀγησίλαε,
ὁ μὲν αἴτιος τῶν πραγμάτων καὶ ὑμῖν καὶ ἡμῖν ἔχει
τὴν δίκην· βασιλεὺς δὲ ἀξιοῖ σὲ μὲν ἀποπλεῖν οἴκαδε,
τὰς δ᾽ ἐν τῇ Ἀσίᾳ πόλεις αὐτονόμους οὔσας τὸν ἀρ-
26 χαῖον δασμὸν αὐτῷ ἀποφέρειν. Ἀποκριναμένου δὲ
τοῦ Ἀγησιλάου, ὅτι οὐκ ἂν ποιήσειε ταῦτα ἄνευ τῶν
οἴκοι τελῶν, Σὺ δ᾽ ἀλλά, ἕως ἂν πύθῃ τὰ παρὰ τῆς
πόλεως, μεταχώρησον, ἔφη, εἰς τὴν Φαρναβάζου,
ἐπειδὴ καὶ ἐγὼ τὸν σὸν ἐχθρὸν τετιμώρημαι. Ἕως ἂν
τοίνυν, ἔφη ὁ Ἀγησίλαος, ἐκεῖσε πορεύωμαι, δίδου τῇ
στρατιᾷ τὰ ἐπιτήδεια. Ἐκείνῳ μὲν δὴ ὁ Τιθραύστης
δίδωσι τριάκοντα τάλαντα· ὁ δὲ λαβὼν ᾔει ἐπὶ τὴν
27 Φαρναβάζου Φρυγίαν. Ὄντι δ᾽ αὐτῷ ἐν τῷ πεδίῳ τῷ
ὑπὲρ Κύμης ἔρχεται ἀπὸ τῶν οἴκοι τελῶν ἄρχειν καὶ

§. 25. *πέμπει πρὸς τ. Ἀ. πρέσβεις* B. D. Dind. pro *πρέσβεις πρὸς τ. Ἀ. πέμπει.* — D. *ἡμῖν καὶ ὑμῖν* pro *ὑμῖν καὶ ἡμῖν.*

§. 26. *ἀποκριναμένου* B. C. D. F. V. Schneid. Dind. pro *ἀποκρινομένου.* — A. edd. vett. *ἐπειδὴ μὲν* pro *ἐπειδὴ καὶ.*

§. 27. *Κύμης* B. D. I. Port. Steph. sqq. edd. praeter Morum pro *κώμης*; marg. Steph. et Leoncl. *Καυῆς*, ut videtur, ex IV, 1, 10. —

*κακῶς φέρεσθαι*] male procedere, ut Oecon. V, 17.

*ἀποτέμνει*] praecidi iubet. Rost. §. 150. adn. 9. Kuehn. §. 249. adn. 3.

*καὶ ὑμῖν καὶ ἡμῖν*] Ita sunt collocata, ut referrentur non minus ad sequentia quam ad praecedentia verba.

*αὐτονόμους*] Quid sit *αὐτονομία* videbis ex VI, 3, 7. sqq. V. ad Ages. I, 10.

§. 26. *Σὺ δ᾽*] De particula *δὲ* in responsionibus usurpata v. ad Oecon. I, 7.

*τετιμώρημαι*] Plutarch. Ages. X, 4: *τῷ Τιθραύστῃ χαρίζεσθαι βουλόμενος, ὅτι τὸν κοινὸν ἐχθρὸν Ἑλλήνων ἐτετιμώρητο, Τισσαφέρνην, ἀπήγαγεν εἰς Φρυγίαν τὸ στράτευμα.*

*δίδωσι τριάκοντα τάλαντα*] Isocr. Paneg. 41: *τὴν μέν γε μετ᾽ Ἀγησιλάου στρατιὰν ὀκτὼ μῆνας ταῖς ἑαυτῶν δαπάναις διέθρεψαν.* Sed Plutarch. Ages. l. c.: *λαβὼν ἐφόδιον παρ᾽ αὐτοῦ τριάκοντα τάλαντα.*

§. 27. *Κύμης*] quod oppidum commemoratur Diodor. XIV, 79: *διεξιὼν δὲ τὸ Καΰστριον πεδίον διέφθειρε τὴν χώραν τὴν ὑπὸ τοὺς Πέρσας οὖσαν, μέχρις ὅτου κατήντησεν εἰς Κύμην.* Unde colligendum videtur, praeter Cymen Aeolicam, quam praeteriisse Agesilaum ex regione Sardiana in Phrygiam proficiscentem vix credibile est, eiusdem nominis oppidum fuisse inter Caystrum et Hermum. Num eadem sit *Κύμη ἡ Φρικωνῖτις*, quam Stephan. Byz. distinguit a nobilissima Aeolidis urbe, non liquet.

*ἔρχεται*] scil. *ἡ ἀγγελία*, ut est *ἀγγελίας ἐλθούσης* Ages. VII, 5. Merum *ἔρχεσθαι* sequente infinitivo legitur etiam Ages. I, 36:

τοῦ ναυτικοῦ, ὅπως γιγνώσκοι, καὶ καταστήσασθαι ναύαρχον ὅντινα αὐτὸς βούλοιτο. Τοῦτο δ' ἐποίησαν οἱ Λακεδαιμόνιοι τοιῷδε λογισμῷ, ὡς, εἰ ὁ αὐτὸς ἀμφοτέρων ἄρχοι, τό τε πεζὸν πολὺ ἂν ἰσχυρότερον εἶναι, καθ' ἓν οὔσης τῆς ἰσχύος ἀμφοτέροις, τό τε ναυτικόν, ἐπιφαινομένου τοῦ πεζοῦ ἔνθα δέοι. Ἀκούσας 28
δὲ ταῦτα ὁ Ἀγησίλαος, πρῶτον μὲν ταῖς πόλεσι παρήγγειλε ταῖς ἐν ταῖς νήσοις καὶ ταῖς ἐπιθαλαττιδίοις τριήρεις ποιεῖσθαι ὁπόσας ἑκάστη βούλοιτο τῶν πόλεων. Καὶ ἐγένοντο καιναί, ἐξ ὧν αἵ τε πόλεις ἐπηγγείλαντο καὶ οἱ ἰδιῶται ἐποιοῦντο χαρίζεσθαι βουλόμενοι, εἰς εἴκοσι καὶ ἑκατόν. Πείσανδρον δὲ τὸν τῆς γυναικὸς 29
ἀδελφὸν ναύαρχον κατέστησε, φιλότιμον μὲν καὶ ἐῤῥωμένον τὴν ψυχήν, ἀπειρότερον δὲ τοῦ παρασκευάζεσθαι ὡς δεῖ. Καὶ Πείσανδρος μὲν ἀπελθὼν τὰ ναυτικὰ ἔπραττεν· ὁ δ' Ἀγησίλαος, ὥςπερ ὥρμησεν, ἐπὶ τὴν Φρυγίαν ἐπορεύετο.

Wells, suadente Leoncl., post ἔρχεται addit ὁ ἐπιστέλλων. — E. edd. vett. ἀμφότερα pro ἀμφοτέρων. — ἄρχοι, quod iam Morus voluit, dant B. D. Schneid. Dind. pro ἄρχει.

§. 28. D. ταῖς ἐπὶ ταῖς νήσοις. — F. ἀπηγγείλαντο. — V. ὡς εἴκοσι pro εἰς εἴκοσι.

ἦλθεν αὐτῷ ἀπὸ τῶν οἴκοι τελῶν βοηθεῖν τῇ πατρίδι. Cf. πέμπουσι — στρατεύεσθαι III, 1, 7.

ἄρχειν καὶ τοῦ ναυτικοῦ] Plutarch. Ages. X, 4: καὶ καθ' ὁδὸν ὧν σκυτάλην δέχεται παρὰ τῶν οἴκοι τελῶν κελεύουσαν αὐτὸν ἄρχειν ἅμα καὶ τοῦ ναυτικοῦ· τοῦτο μόνον πάντων ὑπῆρξεν Ἀγησιλάῳ. Cf. Pausan. III, 9, 3.

ὡς — εἶναι] „De ὡς consecutionem, quae simul consilii notionem involvit, significante" v. Kuehner. ad Anab. I, 5, 10. 8, 10. Infra V, 2, 38. VI, 1, 13. Buttm. §. 139. 53. Kuehn. §. 341, 3, c.

καθ' ἕν] Aut de loco ut V, 1, 7. κατ' ἐκεῖνα, aut ut V, 2, 26 accipiendum.

§. 28. ἐξ ὧν αἵ τε — καὶ οἱ] H. e. ἐξ ἐκείνων τε, ἃς αἱ — καὶ ἐκ τούτων, ἃς οἱ —.

ἐπηγγείλαντο] scil. ποιεῖσθαι.

§. 29. ἀπειρότερον] Plut. Ages. X, 6: τότε δὲ τοῦ ναυτικοῦ καταστήσας ἄρχοντα Πείσανδρον ἁμαρτεῖν ἔδοξεν, ὅτι πρεσβυτέρων καὶ φρονιμωτέρων παρόντων οὐ σκεψάμενος τὸ τῆς πατρίδος, ἀλλὰ τὴν οἰκειότητα τιμῶν καὶ τῇ γυναικὶ χαριζόμενος, ἧς ἀδελφὸς ἦν ὁ Πείσανδρος, ἐκείνῳ παρέδωκε τὴν ναυαρχίαν.

# CAPUT V.

## ARGUMENTUM.

A Tithrauste quum Agesilaus ex Asia discedere iuberetur, et hic potius regem ipsum adoriri meditaretur, quinquaginta talentis ille distributis Graecos in Europa excitavit, ut bellum Lacedaemoniis inferrent. Callide rem instituerunt qui pecunias illas acceperunt, ita ut ipsi Lacedaemonii bellum movere et Thebanos petere coacti essent. Sed infeliciter illa expeditio cessit. Interfecto enim ad Haliartum Lysandro rex ipse Pausanias sponte cum exercitu abiit: qui absens crimine proditionis damnatus Tegeae morbo mortuus est.

---

1 Ὁ μέντοι Τιθραύστης, καταμαθεῖν δοκῶν τὸν Ἀγησίλαον καταφρονοῦντα τῶν βασιλέως πραγμάτων καὶ οὐδαμῇ διανοούμενον ἀπιέναι ἐκ τῆς Ἀσίας, ἀλλὰ μᾶλλον ἐλπίδας ἔχοντα μεγάλας αἱρήσειν βασιλέα, ἀπορῶν, τί χρῷτο τοῖς πράγμασι, πέμπει Τιμοκράτην τὸν Ῥόδιον εἰς Ἑλλάδα, δοὺς χρυσίον εἰς πεντήκοντα τάλαντα ἀργυρίου, καὶ κελεύει πειρᾶσθαι πιστὰ τὰ μέγιστα λαμβάνοντα διδόναι τοῖς προεστηκόσιν ἐν ταῖς πόλεσιν, ἐφ' ᾧτε πόλεμον ἐξοίσειν πρὸς Λακεδαιμονίους. Ἐκεῖνος δ' ἐλθὼν δίδωσιν ἐν Θήβαις μὲν Ἀνδροκλείδᾳ τε καὶ Ἰσμηνίᾳ καὶ Γαλαξιδώρῳ, ἐν Κορίνθῳ δὲ Τιμολάῳ τε καὶ Πολυάνθει, ἐν Ἄργει δὲ Κύλωνί

Cap. V. §. 1. B. C. D. F. I. Dind. ante Ἑλλάδα om. τήν. — D. om. μὲν post Θήβαις. — V. Γαλαξίᾳ δῶρα pro Γαλαξιδώρῳ. — Κύλωνι B. F. V. Schneid. Dind. pro Κύκλωνι.

Cap. V. §. 1. *αἱρήσειν*] devicturum esse, quae significatio huius verbi poetarum magis est propria. Sed item Hipparch. V, 14: ἢ βίᾳ ἢ τέχνῃ αἱρεῖν τοὺς ἐναντίους.

*τί χρῷτο*] V. ad II, 1, 2: τί χρῷτο τῷ πράγματι.

*Τιμοκράτην*] Plutarch. Artaxerx. XX: ἔπεμψε Τιμοκράτην τὸν Ῥόδιον εἰς τὴν Ἑλλάδα χρυσὸν πολὺν κομίζοντα, et Ages. XV, 5: τοῦ δὲ Περσικοῦ νομίσματος χάραγμα τοξότην ἔχοντος, ἀναζευγνύων ἔφη μυρίοις τοξόταις ὑπὸ βασιλέως ἐξελαύνεσθαι τῆς Ἀσίας. Pausan. III, 9, 4.

*πιστὰ τὰ μέγιστα λαμβάνοντα*] maximis fidei pignoribus acceptis.

*τοῖς προεστηκόσιν*] Plutarch. l. c. διαφθείρειν τοὺς πλεῖστον ἐν ταῖς πόλεσι δυναμένους.

*Ἀνδροκλείδᾳ*] Eundem nominant Plut. Lysand. XXVII et Pausan. III, 9, qui differunt in duobus sequentibus nominibus.

τε καὶ τοῖς μετ' αὐτοῦ. Ἀθηναῖοι δὲ καὶ οὐ μεταλαβόντες τούτου τοῦ χρυσίου ὅμως πρόθυμοι ἦσαν εἰς τὸν πόλεμον, νομίζοντές τε αὐτῶν ἄρχεσθαι. Οἱ μὲν δὴ δεξάμενοι τὰ χρήματα εἰς τὰς οἰκείας πόλεις διέβαλον τοὺς Λακεδαιμονίους· ἐπεὶ δὲ ταύτας εἰς μῖσος αὐτῶν προήγαγον, συνίστασαν καὶ τὰς μεγίστας πόλεις πρὸς ἀλλήλας. 2

Γιγνώσκοντες δὲ οἱ ἐν ταῖς Θήβαις προεστῶτες, ὅτι, εἰ μή τις ἄρξει πολέμου, οὐκ ἐθελήσουσιν οἱ Λα- 3

§. 2. D. I. V. om. τούτου. — Edd. vett. Leoncl. αὐτῶν ἄρχεσθαι. — διέβαλλον B. D. V. Schneid. Dind. pro διέβαλον.

§. 3. ἄρξει B. et (suprascripto οι) F. Schneid. Dind. pro ἄρξοι.

§. 2. καὶ οὐ μεταλαβόντες] h. e. καίπερ οὐ μετ. V. ad Oecon. XIV, 7. „Pausanias contra l. c. narrat Cephalum et Epicratem Athenienses corruptos esse.“ Morus. Etiam Plutarch. Ages. XV, 5: τοσούτων γὰρ (μυρίων τοξοτῶν) εἰς Ἀθήνας καὶ Θήβας κομισθέντων καὶ διαδοθέντων τοῖς δημαγώγοις ἐξεπολεμώθησαν οἱ δῆμοι πρὸς τοὺς Σπαρτιάτας.

νομίζοντές τε αὐτῶν ἄρχεσθαι] Haec aut manca aut corrupta sunt. Leonclavius volebat ἐνόμιζόν τε αὐτῶν τὸ ἄρχεσθαι, i. e. putabantque suas partes esse bellum auspicari. Immo nolebant auspicari, quod intelligitur ex verbis εἰ μή τις ἄρξει in §. sequ. et §. 16. Scribendum potius erit νομίζοντες δὲ vel ἐνόμιζον δὲ οὐχ αὐτῶν τὸ ἄρχεσθαι vel ἄλλων τὸ ἄρχεσθαι hoc sensu: Athenienses quoque, quanquam nullas acceperant pecunias, ad bellum propensi erant, sed non suum esse, sed aliorum putabant initium belli facere. Talem sententiam desideramus. Nam quum propensa Atheniensium voluntas commemorata esset, causa erat addenda, cur qui principatum Graeciae affectarent non nisi a Thebanis excitati belli contra Spartanos societatem inirent. Inde apparet etiam, minus aptum esse quod proposuit Schneiderus: νομίζοντες αὐτῶν τὸ ἄρχειν vel νομίζοντες ἀνάξιον τὸ αὐτῶν ἄρχεσθαι, quae verba quomodo significent „quod existimabant indignum se esse sub aliorum esse imperio“ equidem non video. — Ceterum ne ἄρχειν pro ἄρχεσθαι postules, v. §. 4. II, 1, 32. 3, 38. IV, 1, 32. Poppo ad Thucyd. I, 144: πολέμου δὲ οὐκ ἄρξομεν, ἀρχομένους δὲ ἀμυνούμεθα. De formis activis et mediis verborum apud Xenophontem saepius promiscue usurpatis v. ad III, 4, 3.

εἰς τὰς οἰκείας πόλεις διέβαλλον] in sua quisque civitate criminabantur. Verbis enim εἰς τὰς οἰκείας πόλεις opposita sunt συνίστασαν — πρὸς ἀλλήλας. Apud Xenophontem certe saepius cum πρός quam cum εἰς iungitur διαβάλλειν, neque huic praepositioni esse locus videtur nisi ubi de pluribus sermo est, in quos medios quodammodo infertur criminatio. Cf. II, 1, 2.

§. 3. ἄρξει] Optativum tueri videntur IV, 8, 6. 20. V, 4, 36. Neque ad confirmandum indicativum locus V, 1, 32 prorsus est idoneus, quia ὅτι εἰ μὴ ποιήσουσι ταῦτα, ἔκσπονδοι ἔσονται pendent ab imperativo. Tamenquum per grammaticam rationem uterque modus probari possit, optimo libro obsequendum putabam. V. ad II, 3, 50.

κεδαιμόνιοι λύειν τὰς σπονδὰς πρὸς τοὺς συμμάχους, πείθουσι Λοκροὺς τοὺς Ὀπουντίους ἐκ τῆς ἀμφισβητησίμου χώρας Φωκεῦσί τε καὶ ἑαυτοῖς χρήματα τελέσαι, νομίζοντες τοὺς Φωκέας τούτου γενομένου ἐμβαλεῖν εἰς τὴν Λοκρίδα. Καὶ οὐκ ἐψεύσθησαν, ἀλλ' εὐθὺς οἱ Φωκεῖς ἐμβαλόντες εἰς τὴν Λοκρίδα πολλαπλά-
4 σια χρήματα ἔλαβον. Οἱ οὖν περὶ τὸν Ἀνδροκλείδαν ταχὺ ἔπεισαν τοὺς Θηβαίους βοηθεῖν τοῖς Λοκροῖς, ὡς οὐκ εἰς τὴν ἀμφισβητήσιμον, ἀλλ' εἰς τὴν ὁμολογουμένην φίλην τε καὶ σύμμαχον εἶναι Λοκρίδα ἐμβεβληκότων αὐτῶν. Ἐπεὶ δὲ οἱ Θηβαῖοι ἀντεμβαλόντες εἰς τὴν Φωκίδα ἐδῄουν τὴν χώραν, εὐθὺς οἱ Φωκεῖς πέμπουσι πρέσβεις εἰς Λακεδαίμονα καὶ ἠξίουν βοηθεῖν αὐτοῖς, διδάσκοντες, ὡς οὐκ ἤρξαντο πολέμου,
5 ἀλλ' ἀμυνόμενοι ἦλθον ἐπὶ τοὺς Λοκρούς. Οἱ μέντοι Λακεδαιμόνιοι ἄσμενοι ἔλαβον πρόφασιν στρατεύειν

§. 4. F. edd. vett. om. *φίλην*. — V. *ἐμβαλόντες* pro *ἀντεμβαλόντες*.

*λύειν τὰς σπονδὰς πρὸς*] Lex grammatica, si sensus esset foedera cum sociis initia solvere, flagitaret *τὰς σπονδὰς τὰς πρὸς*. Sed locutio *λύειν τὰς σπονδάς* h. l. unam efficit notionem et idem fere valet quod *ἄρχειν πολέμου*. Sententia enim est: nisi alius quis bellum inciperet, Lacedaemonios nunquam initium belli contra socios facturos esse. Item Thucyd. V, 61: *ὅμως γὰρ τὰς σπονδὰς ὤκνουν λύσαι πρὸς τοὺς Λακεδαιμονίους*, ubi ut h. l. Dindorfius articulum ante *πρὸς* excidisse putat.

*ἀμφισβητησίμου*] traiectum in quo maxima vis est. V. ad §. 15. V, 1, 35. Hier. III, 1. IV, 4.

*ἑαυτοῖς*] pertinet ad Locros Opuntios, qui controversiam cum Phocensibus habebant de regione circa Amphissam, ut videtur, sita, de qua plura v. apud Schneiderum.

*τελέσαι*] Dindorf. citat Favorin. p. 1740, 44: *τελεῖν καὶ τὸ εἰςπράττειν καὶ ἀπαιτεῖν*, sed ne inde quidem certum est *τελεῖν* esse idem quod *εἰσπράττειν* exigere, et si esset, non aptum foret hoc verbum ubi de invasione hostili sermo est. Quare cum Schneidero, qui comparat Pausan. III, 9: *τοῖς γὰρ δὴ Λοκροῖς ἡ πρὸς τοὺς Φωκέας ἐτύγχανεν οὖσα ἀμφισβητήσιμος γῆ· ἐκ ταύτης τόν τε σῖτον ἀκμάζοντα ἔταμον καὶ ἤλασαν λείαν ἄγοντες*, scribendum erit *ἐλάσαι*. Dindorfio non minus placet *λεηλατῆσαι* cl. IV, 8, 30.

*πολλαπλάσια*] h. e. multo plura quam Locri rapuerant.

§. 4. *φίλην*] Cobetus *φιλίαν*. Sed animadvertas, non minus recte h. l. *ἀμφισβητήσιμος* et *φίλος* sibi opponi quam alibi *πολέμιος* et *φίλιος*.

*ἐμβεβληκότων αὐτῶν*] *τῶν Φωκέων*. De genitivo participii cum *ὡς* iuncto v. ad III, 4, 1.

*ἤρξαντο πολέμου*] V. ad §. 2.

*ἀμυνόμενοι*] non *ἀμυνούμενοι*. V. ad III, 2, 13.

ἐπὶ τοὺς Θηβαίους, πάλαι ὀργιζόμενοι αὐτοῖς τῆς τε ἀντιλήψεως τῆς τοῦ Ἀπόλλωνος δεκάτης ἐν Δεκελείᾳ καὶ τοῦ ἐπὶ τὸν Πειραιᾶ μὴ ἐθελῆσαι ἀκολουθῆσαι. Ἠτιῶντο δ' αὐτοὺς καὶ Κορινθίους πεῖσαι μὴ συστρατεύειν. Ἀνεμιμνήσκοντο δὲ καί, ὡς θύειν τ' ἐν Αὐλίδι τὸν Ἀγησίλαον οὐκ εἴων καὶ τὰ τεθυμένα ἱερὰ ὡς ἔῤῥιψαν ἀπὸ τοῦ βωμοῦ καὶ ὅτι οὐδ' εἰς τὴν Ἀσίαν Ἀγησιλάῳ συνεστράτευον. Ἐλογίζοντο δὲ καὶ καλὸν καιρὸν εἶναι τοῦ ἐξάγειν στρατιὰν ἐπ' αὐτοὺς καὶ παῦσαι τῆς εἰς αὐτοὺς ὕβρεως· τά τε γὰρ ἐν τῇ Ἀσίᾳ καλῶς σφίσιν ἔχειν, κρατοῦντος Ἀγησιλάου, καὶ ἐν τῇ Ἑλλάδι οὐδένα ἄλλον πόλεμον ἐμποδὼν σφίσιν εἶναι. Οὕτω δὲ γιγνωσκούσης τῆς πόλεως τῶν Λακε- 6
δαιμονίων, φρουρὰν μὲν οἱ ἔφοροι ἔφαινον, Λύσανδρον δ' ἐξέπεμψαν εἰς Φωκέας καὶ ἐκέλευσαν αὐτούς

§. 5. V. ποιῆσαι pro πεῖσαι. — E. K. V. θύοντ' pro θύειν τ'. — Ἀγησ. συνεστρ. B. D. F. V. Dind. pro ξυνεστρ. Ἀγησ.

§. 5. τῆς τε ἀντιλήψεως — ἐν Δεκελείᾳ] quod sibi vindicassent decimas — apud Deceleam, i. e. in bello Decelico e praeda Apollini conservandas. Non modo petiisse, sed etiam obtinuisse Thebanos partem decimam praedae colligit ex h. l. Weiskius. Quam rem in ambiguo relinquit Plutarch. Lysand. XXVII: οἱ Θηβαῖοι μόνοι τῆς δεκάτης ἀντεποιήσαντο τοῦ πολέμου, τῶν ἄλλων συμμάχων ἡσυχαζόντων, καὶ περὶ χρημάτων ἠγανάκτησαν, ἃ Λύσανδρος εἰς Σπάρτην ἀπέστειλε. Negatam esse praedae portionem petentibus Thebanis Corinthiisque diserte narrat Iustin. V, 11. Fuit apud Deceleam bellum a. 413—412, quum Spartani capta et munita illa urbe crebras in regionem Athenis vicinam eruptiones et praedationes facerent. Thucyd. VI, 91. VII, 27. sq.

ἐπὶ τὸν Πειραιᾶ] De re v. II, 4, 30.

ὡς θύειν τ' — οὐκ εἴων] His verbis structura deinceps leviter mutata, id quod in particularum copulativarum et disiunctivarum haud raro fit, respondent verba καὶ — ὡς ἔῤῥιψαν, quasi θύειν, non θύειν τ' antea dictum esset. V. Heindorf. ad Plat. Theaet. p. 143. C.: περὶ αὐτοῦ τε — ἢ αὖ περὶ τοῦ ἀποκρινομένου, ubi περὶ repetitur, quamvis αὐτοῦ τε, non merum αὐτοῦ antecesserit. Cf. infra V, 4, 2: τὴν περὶ Ἀρχίαν τε — καὶ τὴν περὶ Φίλιππον τυραννίδα. VI, 2, 36: ὡς ἢ — ἢ ὡς —. Quare noli h. l. τ' delere cum Moro aut θύοντα scribere suadente Schneidero, quem fugit ἐᾶν, ubi est permittere (apud Xenophontem certe) nunquam cum participio iungi. De re ipsa v. III, 4, 4.

ὅτι οὐδ' — συνεστράτευον] V. ad III, 4, 3.

καλὸν καιρὸν] Schaefero spurium videtur καλὸν cl. III, 4, 23, ubi pro καιρὸν aliquot libri praebent καλόν. Sed Dindorfius comparat Diodor. XIX, 16: νομίζοντες εὔθετον ἔχειν καιρὸν ἐπειδάν τινας τῶν τηρούντων αὐτοὺς λῦσαι.

§. 6. φρουρὰν — ἔφαινον] V. ad III, 2, 23.

τε τοὺς Φωκέας ἄγοντα παρεῖναι καὶ Οἰταίους καὶ Ἡρακλεώτας καὶ Μηλιέας καὶ Αἰνιᾶνας εἰς Ἁλίαρτον. Ἐκεῖσε δὲ καὶ Παυσανίας, ὅςπερ ἤμελλεν ἡγεῖσθαι, συνετίθετο παρέσεσθαι εἰς ῥητὴν ἡμέραν, ἔχων Λακεδαιμονίους τε καὶ τοὺς ἄλλους Πελοποννησίους. Καὶ ὁ μὲν Λύσανδρος τά τε ἄλλα τὰ κελευόμενα ἔπραττε
7 καὶ προςέτι Ὀρχομενίους ἀπέστησε Θηβαίων. Ὁ δὲ Παυσανίας, ἐπεὶ τὰ διαβατήρια ἐγένετο αὐτῷ, καθεζόμενος ἐν τῇ Τεγέᾳ τούς τε ξεναγοὺς διέπεμπε καὶ τοὺς ἐκ τῶν περιοικίδων στρατιώτας περιμέενεν. Ἐπεί γε μὴν δῆλον τοῖς Θηβαίοις ἐγένετο, ὅτι ἐμβαλοῖεν οἱ Λακεδαιμόνιοι εἰς τὴν χώραν αὐτῶν, πρέσβεις ἔπεμψαν Ἀθήναζε λέγοντας τάδε.

8 Ὦ ἄνδρες Ἀθηναῖοι, ἃ μὲν μέμφεσθε ἡμῖν ὡς ψηφισαμένων χαλεπὰ περὶ ὑμῶν ἐν τῇ καταλύσει τοῦ

§. 6. ἤμελλεν B., ceteri ἔμελλεν. — Edd. vett. ἐνηγεῖσθαι. — συνετ. B. D. Dind. pro ξυνετ. — Πελοποννησίους B. D. F. I. V. Dind. pro ξυμμάχους τῶν Πελοποννησίων.

§. 7. D. V. ἐθύετο pro ἐγένετο αὐτῷ. — F. V. Dind. ἐν Τεγέᾳ. — Post περιοικίδων B. D. F. I. V. Dind. om. πόλεων. — ἐμβαλοῖεν Dind., B. D. Schneid. ἐμβάλοιεν, ceteri ἐμβάλλοιεν. — D. I. V. τοιάδε pro τάδε.

§. 8. ψηφισαμένων B. marg. Leoncl. Dind. pro ψηφισαμένοις. — Edd. vett. ἐν συμμάχοις.

παρεῖναι — εἰς] V. ad III, 4, 3.

Μηλιέας] De forma non contracta v. Buttm. gr. max. §. 53. adn. 1. Rost. gr. mai. §. 41. adn. 2. Kuehner. gr. max. §. 283. adn. 3. Infra IV, 2, 20: Θεσπιέας, IV, 8, 5: Στειριέα, V, 4, 10: Πλαταιέας, VI, 5, 22: Ἡραιέας, VII, 5, 4: Εὐβοέας. Cf. etiam ad II, 4, 24.

ἡγεῖσθαι] belli ducem esse. Cf. VI, 1, 6.

Ὀρχομενίους ἀπέστησε Θηβαίων] Cf. de re IV, 2, 17.

§. 7. τὰ διαβατήρια] V. ad III, 4, 3.

ἐγένετο αὐτῷ] V. ad III, 1, 17.

καθεζόμενος ἐν τῇ Τεγέᾳ] Cf. §. 18. Pausan. III, 5, 5: Παυσανίας δὲ ὑστέρησε μὲν τοῦ ἀγῶνος παρὰ Τεγεατῶν καὶ ἐξ Ἀρκαδίας τῆς ἄλλης ἀθροίζων δύναμιν.

ξεναγοὺς] qui conductitios colligerent et adducerent.

ἐμβαλοῖεν] Sic recte Dindorfius. Nam nondum in agrum Thebanum invaserant Lacedaemonii, et, si invasissent, tamen non dicendum erat ἐπεὶ — δῆλον — ἐγένετο, ὅτι ἐμβάλοιεν, sed ἐπεὶ — ἐνέβαλον.

ἔπεμψαν — λέγοντας] De participio praesentis v. ad II, 1, 29. III, 4, 25. G. Sauppius Quaest. Xen. IV, p. 10. addit II, 4, 35. IV, 7, 3: ἔπεμψαν κήρυκας ὑποφέροντας σπονδάς. Cyrop. V, 4, 24: κήρυκα ἔπεμψε πρὸς αὐτὸν ταὐτὰ λέγοντα.

§. 8. ὡς ψηφισαμένων] Dicentes aut putantes, nos decrevisse. V. ad III, 4, 1. 23, de omisso ἡμῶν ad III, 4, 9. 10, de casu mutato ad Oecon. II, 15. VIII, 1. et infra ad VI, 5, 10.

χαλεπὰ] De quibus v. II, 2, 19.

τοῦ πολέμου] belli Peloponnesiaci.

πολέμου, οὐκ ὀρθῶς μέμφεσθε· οὐ γὰρ ἡ πόλις ἐκεῖνα ἐψηφίσατο, ἀλλ' εἷς ἀνὴρ εἶπεν, ὃς ἔτυχε τότε ἐν τοῖς συμμάχοις καθήμενος. Ὅτε δὲ παρεκάλουν ἡμᾶς οἱ Λακεδαιμόνιοι ἐπὶ τὸν Πειραιᾶ, τότε ἅπασα ἡ πόλις ἀπεψηφίσατο μὴ συστρατεύειν αὐτοῖς. Δι' ὑμᾶς οὖν οὐχ ἥκιστα ὀργιζομένων ἡμῖν τῶν Λακεδαιμονίων, δίκαιον εἶναι νομίζομεν βοηθεῖν ὑμᾶς τῇ πόλει ἡμῶν.
Πολὺ δ' ἔτι μᾶλλον ἀξιοῦμεν, ὅσοι τῶν ἐν ἄστει ἐγέ- 9
νεσθε, προθύμως ἐπὶ τοὺς Λακεδαιμονίους ἰέναι. Ἐκεῖνοι γὰρ καταστήσαντες ὑμᾶς εἰς ὀλιγαρχίαν καὶ εἰς ἔχθραν τῷ δήμῳ, ἀφικόμενοι πολλῇ δυνάμει ὡς ὑμῖν σύμμαχοι παρέδοσαν ὑμᾶς τῷ πλήθει· ὥςτε τὸ μὲν ἐπ' ἐκείνοις εἶναι ἀπολώλατε, ὁ δὲ δῆμος οὑτοσὶ ὑμᾶς ἔσωσε.
Καὶ μὴν ὅτι μέν, ὦ ἄνδρες Ἀθηναῖοι, βού- 10
λοισθ' ἂν τὴν ἀρχήν, ἣν πρότερον ἐκέκτησθε, ἀναλαβεῖν, πάντες ἐπιστάμεθα· τοῦτο δὲ πῶς μᾶλλον εἰκὸς γενέσθαι, ἢ εἰ αὐτοὶ τοῖς ὑπ' ἐκείνων ἀδικουμένοις

§. 9. V. δέ τοι pro δ' ἔτι. — Dind. ἀπωλώλειτε pro ἀπολώλατε.

εἷς ἀνήρ] Plutarch. Lysand. XV: ἔνιοι δὲ καὶ προτεθῆναί φασιν ὡς ἀληθῶς ὑπὲρ ἀνδραποδισμοῦ γνώμην ἐν τοῖς συμμάχοις, ὅτε καὶ τὸν Θηβαῖον Ἐρίανδρον εἰςηγήσασθαι τὸ μὲν ἄστυ κατασκάψαι, τὴν δὲ χώραν ἀνεῖναι μηλόβοτον.

ἐπὶ τὸν Πειραιᾶ] quum Lacedaemonii triginta tyrannos contra Thrasybulum defendere vellent. V. §. 5.

μὴ συστρατεύειν] De μὴ v. Buttm. §. 148. adn. 9. Rost. §. 184. 9. additam. 3. Kuehn. §. 318. 8.

§.9. ὅσοι — ἐγένεσθε] quot vestrum tum, quum Thrasybulus tyrannos e Piraeo oppugnabat, in urbe erant et a tyrannorum partibus stabant.

τὸ μὲν ἐπ' ἐκείνοις εἶναι] quantum in illis erat. Cyrop. V, 4, 11: τὸ μὲν ἐπ' ἐμοὶ οἴχομαι, τὸ δ' ἐπὶ σοὶ σέσωσμαι. De infinitivo absoluto v. Buttm. §. 150. 38. Rost. §. 185. 5. additam. 2. Kuehn. §. 308. adn. 3. Anab. I, 6, 9: τὸ κατὰ τοῦτον εἶναι.

ἀπολώλατε] „Perfectum positum est de re, quae certa quadam conditione certo futura erat.“ Kuehner. ad Anab. VI, 6, 23: τὸ ἐπὶ τούτῳ ἀπολώλαμεν. Dindorfius posuit plusquamperfectum, ni fallor, propterea quod sequitur aoristus ἔσωσε, non perfectum σέσωκε. Sententiam sic accipio: quantum in Spartanis erat, etiam nunc vestra respublica perdita esset, sed haec plebs tunc vos conservavit, ut nunc liberam habeatis rempublicam.

οὑτοσί] In concione loquitur Thebanorum legatus.

§. 10. καὶ μήν] His particulis ad novam rem transitur.

ὅτι μὲν — τοῦτο δέ] Opposita sibi sunt βούλοισθ' ἂν et πῶς — γενέσθαι. Sed v. ad III, 4, 23.

εἰκὸς γενέσθαι] De aoristi infinitivo sine ἂν posito v. ad Oecon. VII, 8. Ages. I, 10. VII, 6. Buttm. §. 140. 1. 6. Rost. §. 151. 8. adn. 6. Kuehn. §. 257. adn. 2. Herbst. de Cobeti in Thucyd. emendat. p. 16. apud Thucydidem

βοηθοῖτε; Ὅτι δὲ πολλῶν ἄρχουσι, μὴ φοβηθῆτε, ἀλλὰ
πολὺ μᾶλλον διὰ τοῦτο θαῤῥεῖτε, ἐνθυμούμενοι, ὅτι
καὶ ὑμεῖς, ὅτε πλείστων ἤρχετε, τότε πλείστους ἐχθροὺς
ἐκέκτησθε. Ἀλλ' ἕως μὲν οὐκ εἶχον ὅποι ἀποσταῖεν,
ἔκρυπτον τὴν πρὸς ὑμᾶς ἔχθραν· Ἐπεὶ δέ γε Λακε-
δαιμόνιοι προέστησαν, τότε ἔφηναν οἷα περὶ ὑμῶν ἐγί-
11 γνωσκον. Καὶ νῦν γε, ἂν φανεροὶ γενώμεθα ἡμεῖς
τε καὶ ὑμεῖς συνασπιδοῦντες ἐναντία τοῖς Λακεδαιμο-
νίοις, εὖ ἴστε, ἀναφανήσονται πολλοὶ οἱ μισοῦντες
αὐτούς. Ὡς δ' ἀληθῆ λέγομεν, ἐὰν ἀναλογίσησθε,
αὐτίκα γνώσεσθε. Τίς γὰρ ἤδη καταλείπεται αὐτοῖς
εὐμενής; οὐκ Ἀργεῖοι μὲν ἀεί ποτε δυσμενεῖς αὐτοῖς
12 ὑπάρχουσιν; Ἠλεῖοί γε μὴν νῦν ἐστερημένοι καὶ χώρας
πολλῆς καὶ πόλεων ἐχθροὶ αὐτοῖς προσγεγένηνται. Κο-
ρινθίους δὲ καὶ Ἀρκάδας καὶ Ἀχαιοὺς τί φῶμεν, οἳ
ἐν μὲν τῷ πρὸς ὑμᾶς πολέμῳ μάλα λιπαρούμενοι ὑπ'
ἐκείνων πάντων καὶ πόνων καὶ κινδύνων καὶ τῶν δα-

§. 10. V. βοηθεῖτε, Cast. βοηθῆτε. — V. om. γε post ἐπεὶ δὲ. — D. ὅπη pro ὅποι.

§. 11. D. καὶ νῦν δὲ, V. om. γε. — συνασπιδοῦντες B. D. Dind., A. E. edd. vett. ξυνασπιδιοῦντες, I. ξυνασπιδιῶτες, ceteri ξυνασπιδοῦντες praeter Wellsium, qui recepit ξυνασπιοῦντες, quod maluerunt etiam Leoncl. Steph. Mor.

§. 12. καὶ χώρας πολλῆς B. D. F. H. V. Schneid. Dind. pro χώρας; I. καὶ χώρας, om. πολλῆς. — H. om. Mor. seclusit τῶν ante δα-

ubique aoristi infinitivum post εἰκός poni sine ἄν animadvertit, ubi indefinito aliquo tempore aliquid fore significetur. Qua cum observatione congruunt praeter hunc locum §. 14. et Cyrop. I, 6, 10: ἀπὸ τίνος δὲ μᾶλλον εἰκός ἐστι πόρον προσγενέσθαι ἢ ἀπὸ τοῦ δύναμιν ἔχοντος; cf. etiam infra ad V, 1, 32.

ὅποι] V. ad III, 4, 1.

§. 11. συνασπιδοῦντες] Idem verbum est VII, 4, 23.

ἀεί ποτε] Intendit vim adverbii ἀεί, non restringit, ut existimat Sturzius in Lex. Xen. Cf. II, 3, 45. IV, 5, 11. Symp. VIII, 41. Thucyd. I, 13. Restringitur vero ἀεί per πως IV, 5, 6.

§. 12. ἐστερημένοι — πολλῆς] V. III, 2, 30. sq. Si liceret per meliores libros, retinuissem vulgatam lectionem, quae, ut nimis rem auget, ita animo oratoris vehementissimo odio, quod per totam orationem manifestum est, commoto optime convenit.

Κορινθίους — τί φῶμεν] scil. sentire. Cf. Anab. V, 7, 26: καὶ τούτους τί δοκεῖτε, et hos quid putatis (fecisse)? In talibus interrogationibus quod verbum, unde pendeat accusativus τί, intelligendum sit, ex antecedentibus facile cognoscitur. Alia conditio est eorum locorum, quibus nihil nisi εἶναι omissum est, velut Comment. IV, 2, 21: τί σοι δοκεῖ ὁ τοιοῦτος;

μάλα λιπαρούμενοι] vehementer rogati. Schneiderus frustra malebat ταλαιπωρούμενοι.

καὶ τῶν δαπανημάτων] Noli omittendum putare articulum. Nam πάντων non pertinet

πανημάτων μετεῖχον, ἐπεὶ δ' ἔπραξαν ἃ ἐβούλοντο οἱ Λακεδαιμόνιοι, ποίας ἢ ἀρχῆς ἢ τιμῆς ἢ ποίων χρημάτων μεταδεδώκασιν αὐτοῖς; ἀλλὰ τοὺς μὲν εἵλωτας ἁρμοστὰς ἀξιοῦσι καθιστάναι, τῶν δὲ συμμάχων ἐλευθέρων ὄντων, ἐπεὶ εὐτύχησαν, δεσπόται ἀναπεφήνασιν.
13 Ἀλλὰ μὴν καὶ οὓς ὑμῶν ἀπέστησαν φανεροί εἰσιν ἐξηπατηκότες· ἀντὶ γὰρ ἐλευθερίας διπλῆν αὐτοῖς δουλείαν παρεσχήκασιν· ὑπό τε γὰρ τῶν ἁρμοστῶν τυραννοῦνται καὶ ὑπὸ δέκα ἀνδρῶν, οὓς Λύσανδρος κατέστησεν ἐν ἑκάστῃ πόλει. Ὅ γε μὴν τῆς Ἀσίας βασιλεὺς καὶ τὰ μέγιστ' αὐτοῖς συμβαλόμενος εἰς τὸ ὑμῶν κρατῆσαι νῦν τί διάφορον πάσχει, ἢ εἰ μεθ' ὑμῶν κατεπολέμησεν αὐτούς;
14 Πῶς οὖν οὐκ εἰκός, ἐὰν ὑμεῖς αὖ προστῆτε τῶν οὕτω φανερῶς ἀδικουμένων, νῦν ὑμᾶς πολὺ ἤδη μεγίστους τῶν πώποτε γενέσθαι; Ὅτε μὲν γὰρ ἤρχετε, τῶν κατὰ θάλατταν μόνον δήπου ἡγεῖσθε· νῦν δὲ πάν-

πανημάτων. — ἀξιοῦσι καθ. B. D. H. V. Dind. pro καθ. ἀξιοῦσι. — Dind. recepit καθεστάναι pro καθιστάναι, in D. correcto, sed ita, ut plus videatur ι valere quam ε.

§. 13. μέγιστ' B. Dind. pro μέγιστα. — συμβαλόμενος Mor. sqq. edd. pro συμβαλλόμενος. — εἰς τὸ B. D. F. H. I. et pr. m. E. V. marg. Leoncl. Dind. pro πρὸς τὸ.

§. 14. οὕτως B. et pr. m. E. pro οὕτω. — V. ἠδικημένων. — V. τῶν πώποτε μεγίστων. — F. H. V. μόνων pro μόνον. — D. πρότερον pro

ad δαπανημάτων. Exspectare poteras potius καὶ μεγάλων τῶν δαπανημάτων, sed eandem paene vim habet articulus.

εἵλωτας] servos scil. manumissos.

ἀξιοῦσι] non indignum putant, non pudet eos, ut VI, 1, 4. Ages. I, 34. al. Quare non cum Dindorfio scribendum iudico καθεστάναι, i. e. volunt, ut constituantur, qui sensus minus commodus est loci sententiae. Hertlinius comparat Plat. Lach. p. 197 D. ὃν ἡ πόλις ἀξιοῖ αὑτῆς προϊστάναι, ubi Papius s. v. ἀξιοῦν cum aliquot codicibus legit προεστάναι.

§. 13. ὑπὸ δέκα ἀνδρῶν] V. ad III, 4, 2.

ὅ γε μὴν βασιλεὺς] atque ipse rex —.

τί διάφορον] i. e. τί ἄλλο. Plena sententia est: τί διάφορον πάσχει ἢ ὃ ἂν ἔπασχεν, εἰ —. Cf. ad III, 4, 19.

§. 14. οὕτως] De οὕτως ante consonantem posito v. ad Oecon. I, 9. Ages. II, 16. Kuehner. ad Comment. I, 3, 1. Cf. οὕτως ἁπλῶς IV, 4, 8, unde vides, non male sonare οὕτως φανερῶς.

ἤδη μεγίστους] iam maximos, potentissimos. V. ad Ages. V, 4. Hier. I, 36. Infra V, 4, 15. Cf. etiam Kuehner. ad Comment. II, 1, 14. Gradationem significare particulam ἤδη imprimis apparet ex loco, quem Dindorfius affert: Herod. VIII, 106: ὦ πάντων ἀνδρῶν ἤδη μάλιστα ἀπ' ἔργων ἀνοσιωτάτων τὸν βίον κτησάμενε, h. e. tu demum nequissimus homo es. Cf. etiam infra V, 1, 4. Hier. VII, 3.

τῶν πώποτε] i. e. πάντων οἳ πώποτε μεγάλοι ἐγένοντο.

των καὶ ἡμῶν καὶ Πελοποννησίων καὶ ὧν πρόσθεν ἤρχετε καὶ αὐτοῦ βασιλέως τοῦ μεγίστην δύναμιν ἔχοντος ἡγεμόνες ἂν γένοισθε. Καίτοι ἡμεν πολλοῦ ἄξιοι καὶ ἐκείνοις σύμμαχοι, ὡς ὑμεῖς ἐπίστασθε· νῦν δέ γε εἰκὸς τῷ παντὶ ὑμῖν ἐῤῥωμενεστέρως ἡμᾶς συμμαχεῖν ἢ τότε Λακεδαιμονίοις· οὐδὲ γὰρ ὑπὲρ νησιωτῶν ἢ Συρακοσίων οὐδ' ὑπὲρ ἀλλοτρίων, ὥσπερ τότε, ἀλλ'
15 ὑπὲρ ἡμῶν αὐτῶν ἀδικουμένων βοηθήσομεν. Καὶ τοῦτο μέντοι χρὴ εὖ εἰδέναι, ὅτι ἡ Λακεδαιμονίων πλεονεξία πολὺ εὐκαταλυτωτέρα ἐστὶ τῆς ὑμετέρας γενομένης ἀρχῆς. Ὑμεῖς μὲν γὰρ ἔχοντες ναυτικὸν οὐκ ἐχόντων ἤρχετε, οὗτοι δὲ ὀλίγοι ὄντες πολλαπλασίων ὄντων καὶ οὐδὲν χεῖρον ὡπλισμένων πλεονεκτοῦσι. Ταῦτ' οὖν λέγομεν ἡμεῖς· εὖ γε μέντοι ἐπίστασθε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι νομίζομεν ἐπὶ πολὺ μείζω ἀγαθὰ παρακαλεῖν ὑμᾶς τῇ ὑμετέρᾳ πόλει ἢ τῇ ἡμετέρᾳ.

16 Ὁ μὲν ταῦτ' εἰπὼν ἐπαύσατο. Τῶν δ' Ἀθηναίων πάμπολλοι μὲν συνηγόρευον, πάντες δ' ἐψηφίσαντο βοηθεῖν αὐτοῖς. Θρασύβουλος δὲ ἀποκρινάμενος τὸ ψήφισμα καὶ τοῦτο ἐνεδείκνυτο, ὅτι ἀτειχίστου τοῦ

πρόσθεν. — E. F. τὴν μεγίστην pro τοῦ μεγίστην. — γένοισθε B. C. D. F. H. V. Schneid. Dind. pro γένησθε. — H. om. γε post νῦν δὲ. — ὑμῖν ἐῤῥωμ. ἡμᾶς συμμαχεῖν ἢ dedi cum B. C. F., sed C. F. om. συμμαχεῖν; D. H. I. V. ἐρρωμ. ὑμῖν συμμαχεῖν ἡμᾶς ἢ, Schneid. cum marg. Leoncl. ὑμῖν ἐρρωμ. ἡμᾶς συμμαχήσειν ἢ, Dind. ὑμῖν ἐρρωμ. συμμαχεῖν ἡμᾶς ἢ, ceteri ὑμῖν ἐρρωμ. ἡμᾶς ἕψεσθαι.

§. 15. D. E. V. Ald. Iunt. om. μὲν post ὑμεῖς. — οὐκ ἐχόντων Orell. ad Isocr. Antidos. p. 341. Schneid. Dind. pro οὐχ ἑκόντων. — B. D. E. νομίζοιμεν.

§. 16. συνηγόρευον B. D. Dind., ξυνηγορεύοντο E. edd. vett., ceteri ξυνηγόρευον. — ἐνεδείκνυτο B. D. V. Dind. pro ἀνεδ. — συνε-

εἰκὸς — συμμαχεῖν] De praesentis infinitivo post εἰκός posita v. ad III, 4, 12. Oecon. VI, 11 et gramm. supra ad §. 10. citatas. Praeterito nimirum praesens tempus opponitur. V. infra IV, 3. 2. V, 1, 32.

τῷ παντὶ] omnino, *in jeder Beziehung*, ut II, 3, 22. VI, 1, 7. VII, 5, 12. Cyrop. VIII, 8, 7: γνῶμαι — τῷ παντὶ χείρους.

§. 15. πλεονεξίᾳ] breviter, ut unum uni opponatur subiectum, dictum est pro ἀρχὴ ἐπὶ πλεονεξίᾳ παρεσκευασμένη. Cf. Cyrop. VIII, 5, 24: ἄρχειν ἐπὶ πλεονεξίᾳ.

τῇ — πόλει] Dativus pendet ab ἀγαθά. De traiectione v. ad §. 3.

§. 16. ἀποκρινάμενος τὸ ψήφισμα] quum recitando populi scitum respondisset. Demosth. de Halon. 20: οἱ μὲν πρέσβεις —, ὧν κατεψεύδετο τὸ ψήφισμα, ὅτ' ἀπεκρίνεσθε αὐτοῖς ἀναγιγνώσκοντες κ. τ. λ. Dindorf. affert Diodor. XI, 12: μόνος δὲ Θεμιστοκλῆς τὴν ἐναντίαν ἀπεκρίνατο γνώμην.

ἐνεδείκνυτο] Ostentandi et

Πειραιῶς ὄντος ὅμως παρακινδυνεύσοιεν χάριτα αὐτοῖς ἀποδοῦναι μείζονα ἢ ἔλαβον. Ὑμεῖς μὲν γάρ, ἔφη, οὐ συνεστρατεύσατε ἐφ' ἡμᾶς, ἡμεῖς δέ γε μεθ' ὑμῶν μαχούμεθα ἐκείνοις, ἂν ἴωσιν ἐφ' ὑμᾶς. Οἱ μὲν δὴ Θη- 17
βαῖοι ἀπελθόντες παρεσκευάζοντο ὡς ἀμυνούμενοι, οἱ δ' Ἀθηναῖοι ὡς βοηθήσοντες. Καὶ μὴν οἱ Λακεδαιμόνιοι οὐκέτι ἔμελλον, ἀλλὰ Παυσανίας μὲν ὁ βασιλεὺς ἐπορεύετο εἰς τὴν Βοιωτίαν τό τε οἴκοθεν ἔχων στράτευμα καὶ τὸ ἐκ Πελοποννήσου, πλὴν Κορίνθιοι οὐκ ἠκολούθουν αὐτοῖς. Ὁ δὲ Λύσανδρος, ἄγων τὸ ἀπὸ Φωκέων καὶ Ὀρχομενοῦ καὶ τῶν κατ' ἐκεῖνα χωρίων στράτευμα, ἔφθη τὸν Παυσανίαν ἐν τῷ Ἁλιάρτῳ γενόμενος. Ἥκων δὲ οὐκέτι ἡσυχίαν ἔχων ἀνέμενε τὸ ἀπὸ 18
Λακεδαίμονος στράτευμα, ἀλλὰ σὺν οἷς εἶχεν ᾔει πρὸς τὸ τεῖχος τῶν Ἁλιαρτίων. Καὶ τὸ μὲν πρῶτον ἔπειθεν αὐτοὺς ἀφίστασθαι καὶ αὐτονόμους γίγνεσθαι· ἐπεὶ δὲ τῶν Θηβαίων τινὲς ὄντες ἐν τῷ τείχει διεκώλυον, προσέβαλε πρὸς τὸ τεῖχος. Ἀκούσαντες δὲ ταῦτα οἱ 19
Θηβαῖοι, δρόμῳ ἐβοήθουν οἵ τε ὁπλῖται καὶ οἱ ἱππεῖς. Ὁπότερα μὲν οὖν, εἴτε λαθόντες τὸν Λύσανδρον ἐπέ-

στρατεύσατε B. D. I. K. V. Dind.; ξυνεστρατοπεδεύσατε A. edd. vett., ξυνεστρατοπεδεύσατο C., ceteri ξυνεστρατεύσατε.

§. 17. D. παρεσκ. ἀπελθόντες. — Iunt. Cast. om. ἐκ ante Πελοπ.

§. 18. Cast. οὐχ pro οὐκέτι. — Λακεδαίμονος B. D. margg. Steph. et Leoncl. Schneid. Dind. pro Λακεδαιμονίων. — Post ἀφίστασθαι seclusit Θηβαίων Schneid., delevit cum B. C. D. F. I. V. Dind.

gloriandi notionem inesse in hoc verbo, cl. Cyrop. VIII, 3, 21, monet Schneiderus. Adde Anab. VI, 1, 19: εὔνοιαν ἐνδεικνύμενος ἕκαστός τις ἔπειθεν αὐτὸν ὑποστῆναι τὴν ἀρχήν.

§. 17. κατ' ἐκεῖνα] De loco. V. ad III, 4, 27. V, 1, 7.

οὐκέτι — ἀνέμενε] V. ad I, 7, 24.

§. 18. τὸ ἀπὸ Λακεδαίμονος] Cf. VI, 2, 38: τὸ ἀπὸ Κερκύρας ναυτικόν. Cyrop. II, 1, 5: τοὺς ἀπὸ Φρυγίας. Vertas: exercitum, qui Lacedaemone missus exspectabatur. Paullo aliter habet τὸ ἐκ Λακεδαίμονος στρατ. infra §. 21.

ἔπειθε] persuadere studebat, ut I, 7, 7. V, 3, 14: ἐδίδοσαν, dare volebant, offerebant.

ἀφίστασθαι] ἀπὸ τῶν Θηβαίων.

§. 19. ἐβοήθουν] οἱ Θηβαῖοι. Per appositionem distributivam subiunguntur verba οἵ τε ὁπλῖται καὶ οἱ ἱππεῖς. V. ad II, 2, 3.

ὁπότερα] Ut saepissime per τοῦτο, τόδε, ἐκεῖνο (v. ad IV, 1, 2), sic h. l. per ὁπότερα introducuntur sequentia. Est autem ὁπότερα loco adverbii, ut ὁπότερον, quanquam rarius illud usurpatum, velut Comment. III, 14, 4. Dindorf. affert Isocr. Panath. 70: μόνος γὰρ ἁπάσης τῆς Ἑλλάδος ἠξιώθη γενέσθαι στρατηγός· ὁπότερον δέ, εἴθε ὑπὸ πάντων αἱρεθείς, εἴθε αὐτὸς κτησάμενος,

πεσον αὐτῷ εἴτε καὶ αἰσθόμενος προσιόντας ὡς κρατήσων ὑπέμενεν, ἄδηλον· τοῦτο δ' οὖν σαφές, ὅτι παρὰ τὸ τεῖχος ἡ μάχη ἐγένετο· καὶ τρόπαιον ἕστηκε πρὸς τὰς πύλας τῶν Ἁλιαρτίων. Ἐπεὶ δ' ἀποθανόντος Λυσάνδρου ἔφευγον οἱ ἄλλοι πρὸς τὸ ὄρος, ἐδίωκον
20 ἐῤῥωμένως οἱ Θηβαῖοι. Ὡς δὲ ἄνω ἤδη ἦσαν διώκοντες καὶ δυςχωρία τε καὶ στενοπορία ὑπελάμβανεν αὐτούς, ὑποστρέψαντες οἱ ὁπλῖται ἠκόντιζόν τε καὶ ἔβαλλον. Ὡς δὲ ἔπεσον αὐτῶν δύο ἢ τρεῖς οἱ πρῶτοι, καὶ ἐπὶ τοὺς λοιποὺς ἐπεκυλίνδουν πέτρους εἰς τὸ κάταντες καὶ πολλῇ προθυμίᾳ ἐνέκειντο, ἐτρέφθησαν οἱ Θηβαῖοι

§. 19. *ἐπέπεσον* pro *ἔπεσον* e coni. Steph. dederunt Schneid. sqq. edd., F. *ἐνέπεσον.* — B. *οἱ μάχῃ* pro *ἡ μάχη.*

§. 20. *δυςχωρία τε καὶ στενοπορία* B. D. F. V. et (om. *τε*) E. margg. Steph. et Leoncl. Schneid. Dind., ceteri et marg. E. *στενοχωρία τε καὶ δυςπορία.*

*οὐκ ἔχω λέγειν· ὁποτέρως δ' οὖν συμβέβηκεν οὐδεμίαν ὑπερβολὴν λέλοιπε.* ,,Totum hoc iudicium", inquit Weiskius, ,,usque ad v. *Ἁλιαρτίων* magis narrationi subiectum fuisse videtur." Ipsam narrationem opinatur excidisse hanc fere: ,,quum Lysandri milites nihil nisi urbem oppugnandam cogitarint et in eam irrumpere pararint, repente a tergo a Thebanis esse oppressos." Similiter iudicat cum Schneidero Dindorf. Nihil tamen desiderandum est. Nam quod excidisse putant, num a tergo subito petitus oppressus sit Lysander, quod in oppugnationem urbis intentus non animadverterit appropinquantes Thebanos, an eos nimis viribus suis confidens ante urbem oppertus sit, id ambiguum (*ἄδηλον*) relinquit Xenophon. Nihil, opinor, desiderassent viri docti, si scriptum esset: *καὶ οὕτως ἐπέπεσον αὐτῷ· ὁπότερα δέ, εἴτε — εἴτε.* At hoc ipsum in mente habuisse Xenophontem facile intelligimus ex antecedentibus *δρόμῳ ἐβοήθουν.* Pausania (III, 5, 3) teste Thebani et quidam Athenienses clam Haliartum venerant, unde erumpentes pugnam ante urbem commiserunt. Idem accuratius narrat Plutarch. Lysand. XXVIII. Sed Diodor. XIV, 81. totam rem brevius his verbis referens: *Βοιωτοὶ δὲ πείσαντες Ἀθηναίους συνεπιλαβέσθαι τοῦ πολέμου, τότε μὲν καθ' αὐτοὺς ὥρμησαν, καὶ κατέλαβον Ἁλίαρτον ὑπὸ Λυσάνδρου καὶ Φωκέων πολιορκουμένην· γενομένης δὲ [μάχης, ὅτε Λύσανδρος ἔπεσε κ. τ. λ.*, consentit cum Xenophonte, cui, quatenus discedit a Plutarcho et Pausania maiorem merito tribuit fidem Grotius V, 236. adn. 25.

*ὡς κρατήσων*] sperans se superiorem fore. V. ad III, 4, 1.

*τοῦτο δ' οὖν σαφές*] Quod utcunque se habet, hoc certum est. De vi particulae *οὖν* v. quae disserui in Annal. Antiquit. 1841. no. 13. p. 106. et brevius ad Comment. III, 3, 2. Cf. etiam Isocratis locum paullo ante citatum.

*τὸ ὄρος*] Heliconem.

§. 20. *δυςχωρία τε καὶ στενοπορία*] Diodor. l. c. *τόπους τραχεῖς* dicit, Plutarch. l. c. *τὰ τραχέα καὶ καρτερά.*

*οἱ ὁπλῖται*] Lacedaemonii.

*ἐπεκυλίνδουν — ἐνέκειντο*] Lacedaemonii. De subiecto,

ἀπὸ τοῦ κατάντους καὶ ἀποθνήσκουσιν αὐτῶν πλείους ἢ διακόσιοι. Ταύτῃ μὲν οὖν τῇ ἡμέρᾳ οἱ Θηβαῖοι ἠθύ- 21
μουν, νομίζοντες οὐκ ἐλάττω κακὰ πεπονθέναι ἢ πεποιηκέναι· τῇ δ' ὑστεραίᾳ ἐπεὶ ᾔσθοντο ἀπεληλυθότας ἐν νυκτὶ τούς τε Φωκέας καὶ τοὺς ἄλλους ἅπαντας οἴκαδε ἑκάστους, ἐκ τούτου μεῖζον δὴ ἐφρόνουν ἐπὶ τῷ γεγενημένῳ. Ἐπεὶ δ' αὖ ὁ Παυσανίας ἀνεφαίνετο ἔχων τὸ ἐκ Λακεδαίμονος στράτευμα, πάλιν αὖ ἐν μεγάλῳ κινδύνῳ ἡγοῦντο εἶναι, καὶ πολλὴν ἔφασαν σιωπήν τε καὶ ταπεινότητα ἐν τῷ στρατεύματι εἶναι αὐτῶν.
Ὡς δὲ τῇ ὑστεραίᾳ οἵ τε Ἀθηναῖοι ἐλθόντες συμπαρε- 22
τάξαντο ὅ τε Παυσανίας οὐ προςῆγεν οὐδὲ ἐμάχετο, ἐκ τούτου τὸ μὲν Θηβαίων πολὺ μεῖζον φρόνημα ἐγίγνετο· ὁ δὲ Παυσανίας συγκαλέσας πολεμάρχους καὶ πεντηκοντῆρας ἐβουλεύετο, πότερον μάχην συνάπτοι ἢ ὑπόσπονδον τόν τε Λύσανδρον ἀναιροῖτο καὶ τοὺς μετ'
αὐτοῦ πεσόντας. Λογιζόμενος δ' ὁ Παυσανίας καὶ οἱ 23
ἄλλοι οἱ ἐν τέλει Λακεδαιμονίων, ὡς Λύσανδρος τετελευτηκὼς εἴη καὶ τὸ μετ' αὐτοῦ στράτευμα ἡττημένον ἀποκεχωρήκει, καὶ Κορίνθιοι μὲν παντάπασιν οὐκ ἠκο-

§. 21. *μεῖζον δὴ* B. Dind., ceteri *δὴ μεῖζον* vel *δὲ μ.* — *ἐφρόνουν* B. C. D. E. F. I. K. V. marg. Leoncl. Schneid. Dind. pro *ἐφρόνησαν.* — A. D. *εἶναι ἐν τῷ στρατεύματι αὐτῶν.*

§. 22. *συμπαρ.* et *συνάπτοι* B. D. Dind. pro *ξυμπ.* et *ξυν.* — *ἐγίγνετο* B. C. D. V. Schneid. Dind. pro *ἐγένετο.* — *πεντηκοντῆρας* Dind. pro *πεντηκοστῆρας.* — K. *ὑποσπόνδους.*

§. 23. *οἱ* post *ἄλλοι*, monente Steph., inserunt Schneid. sqq. edd. — Ante *Λακεδαιμονίων* om. *τῶν* B. Dind. — *ἀποκεχωρήκει* B., ceteri

etiam, ubi subito mutatur, omisso v. ad III, 2, 4.

*ἐτρέφθησαν*] V. ad III, 4, 14.
*αὐτῶν*] Thebanorum.

§. 21. *ἔφασαν*] Wyttenbach. sine causa mirabatur, cur Xenophon alienam hic auctoritatem praefaretur, quum reliqua ex sua narraret. Idem fit per *ἔφασαν* VI, 2, 6. 4, 12. VII, 1, 30. 32. 4, 40. Cyrop. I, 3, 4. 4, 25, per *ἔλεγον* infra VI, 4, 8.

§. 22. *συμπαρετάξαντο*] iuxta Thebanos, vel una cum Thebanis aciem instruebant contra Lacedaemonios. Cf. III, 4, 23. ad *παρατεταγμένους*. Secundum Pausaniam (III, 5, 5) Thrasybulus, Atheniensium dux, exspectabat, dum Lacedaemonii pugnam cum Thebanis committerent, quod si fecissent, a tergo se eos aggredi posse ratus. Quod si verum est, inter Thebanos et Athenienses medius fere stabat Pausaniae exercitus.

*πεντηκοντῆρας*] formatum a *πεντήκοντα*, non a *πεντηκοστός*. Quare scriptura *πεντηκοστήρ* ubique e vitio librariorum orta videtur.

*συνάπτοι — ἀναιροῖτο*] De optativis v. ad III, 3, 9.

§. 23. *ἀποκεχωρήκει*] De forma v. ad I, 5, 10. De modis in ora-

λοιδοροῖεν αὐτοῖς, οἱ δὲ παρόντες οὐ προθύμως στρατεύοιντο· ἐλογίζοντο δὲ καὶ τὸ ἱππικὸν ὡς τὸ μὲν ἀντίπαλον πολύ, τὸ δὲ αὑτῶν ὀλίγον εἴη, τὸ δὲ μέγιστον, ὅτι οἱ νεκροὶ ὑπὸ τῷ τείχει ἔκειντο, ὥστε οὐδὲ κρείττοσιν οὖσι διὰ τοὺς ἀπὸ τῶν πύργων ῥᾴδιον εἴη ἀνελέσθαι· διὰ οὖν πάντα ταῦτα ἔδοξεν αὐτοῖς τοὺς νε-
24 κροὺς ὑποσπόνδους ἀναιρεῖσθαι. Οἱ μέντοι Θηβαῖοι εἶπαν, ὅτι οὐκ ἂν ἀποδοῖεν τοὺς νεκρούς, εἰ μὴ ἐφ' ᾧτε ἀπιέναι ἐκ τῆς χώρας. Οἱ δὲ ἄσμενοί τε ταῦτα ἤκουσαν καὶ ἀνελόμενοι τοὺς νεκροὺς ἀπῆεσαν ἐκ τῆς Βοιωτίας. Τούτων δὲ πραχθέντων, οἱ μὲν Λακεδαιμόνιοι ἀθύμως ἀπῆεσαν, οἱ δὲ Θηβαῖοι μάλα ὑβριστικῶς,

ἀποκεχωρήκοι. — τὸ δὲ αὑτῶν Dind. pro τὸ δ' αὐτῶν. — τὸ δὲ μέγιστον B. D. I. V. Schneid. Dind. pro καί.

§. 24. εἶπαν B. C. D. E. pro εἶπον. — μάλα B. C. D. F. V. Dind.

tione obliqua variatis v. Kuehn. ad Anab. I, 10, 5: ὅτι οἱ Ἕλληνες νικῷεν τὸ καθ' αὑτοὺς καὶ εἰς τὸ πρόσθεν οἴχονται διώκοντες et ad II, 1, 3: ὅτι Κῦρος μὲν τέθνηκεν, Ἀριαῖος δὲ πεφευγὼς ἐν τῷ σταθμῷ εἴη. Nostro loco eleganter discernuntur res manifestae, quae per indicativos, a rebus minus apertis et fama magis vel mente quam oculis percipiendis, quae per optativos exprimuntur. Hic enim modus rem exhibet qualis et quatenus enuntiationis subiecto (Pausaniae), ille, ut scriptori nota erat. Cf. infra §. 25. Ceterum animadvertendum est, per chiasmum ordinatos esse indicativos et optativos.

*ἐλογίζοντο δέ*] quasi non λογιζόμενος δέ, sed ἐπεὶ δὲ ἐλογίζετο initio sententiae dictum esset. V. VII, 4, 4. Cyrop. VIII, 2, 24: *κατανοήσας* τοὺς πολλοὺς — ὅτι — παρασκευάζονται, ὅπως ἕξουσι τὰ ἐπιτήδεια —· ὅπως δὲ — τὰ σύμφορα παρέσται, τούτου οὐ πάνυ ἐπιμελομένους *ἑώρα*· ἔδοξεν οὖν καὶ ταῦτα ἐκπονῆσαι αὐτῷ. Prorsus eandem structuram habes Cyrop. III, 3, 9: *κατανοῶν* δὲ ὁ Κῦρος, ὡς — ἦσαν —, καὶ — *ἑώρα* πάντας εὖ παρεσκευασμένους· ἐκ τούτων οὖν ἐπεθύμει —, ubi v. adn. meam. His tribus locis postquam a participio ad verbum finitum transitum est, oratio interrupta per particulam οὖν denuo excipitur et absolvitur. Conferre iuvabit etiam III, 2, 21—23: Λακεδαιμόνιοι — ὀργιζόμενοι —· ἐκ τούτων οὖν πάντων ὀργιζομένοις ἔδοξε —. Contraria ratio erat III, 2, 12, ubi ab ἐπεί transitur ad participium.

*τοὺς ἀπὸ τῶν πύργων*] V. ad III, 1, 18. 22. Deest verbum quod efficiat attractionem. Cogitando facile additur βάλλοντας vel simile verbum.

§. 24. *εἶπαν*] De hac forma apud Atticos rariori v. Saupp. et Kuehner. ad Comment. II, 2, 8. In Hellenicis eam praebent praestantiores codices etiam III, 2, 20. 4, 4. IV, 1, 31. VI, 4, 16. VII, 4, 4. Eius patrocinium suscepit etiam Hertlinius in Annal. Lips. LXXV, p. 709. simul monens de simili forma ἤνεγκα apud Xenophontem satis frequente, de qua v. Kuehner. ad Comment. I, 2, 53.

*ἀπιέναι*] De omisso subiecto (αὐτούς) v. ad III, 2, 4.

*ἀθύμως ἀπῆεσαν*] Non sine consilio idem verbum repetitur. Sententia haec est: Li-

εἰ καὶ μικρόν τις τῶν χωρίων του ἐπιβαίη, παίοντες ἐδίωκον εἰς τὰς ὁδούς. Αὕτη μὲν δὴ οὕτως ἡ στρατιὰ τῶν Λακεδαιμονίων διελύθη. Ὁ μέντοι Παυσανίας ἐπεὶ ἀφίκετο οἴκαδε, ἐκρίνετο περὶ θανάτου. Κατηγορουμένου δ' αὐτοῦ καὶ ὅτι ὑστερήσειεν εἰς Ἁλίαρτον τοῦ Λυσάνδρου συνθέμενος εἰς τὴν αὐτὴν ἡμέραν παρέσεσθαι, καὶ ὅτι ὑποσπόνδους, ἀλλ' οὐ μάχῃ ἐπειρᾶτο τοὺς νεκροὺς ἀναιρεῖσθαι, καὶ ὅτι τὸν δῆμον τῶν Ἀθηναίων λαβὼν ἐν τῷ Πειραιεῖ ἀνῆκε, καὶ πρὸς τούτοις οὐ παρόντος ἐν τῇ δίκῃ, θάνατος αὐτοῦ κατεγνώσθη· καὶ ἔφυγεν εἰς Τεγέαν, καὶ ἐτελεύτησε μέντοι ἐκεῖ νόσῳ. Κατὰ μὲν οὖν τὴν Ἑλλάδα ταῦτ' ἐπράχθη.

pro μάλ'. — του pro που post χωρίων B. C. D. et pr. F. I. V. — A. E. edd. vett. δὴ ὄντως pro δὴ οὕτως. — Ald. οὕτω διελύθη.

§. 25. A. C. D. E. Ald. om. οὖν, μὲν οὖν om. Iunt. Bryl. Cast.

benter quidem accepta hac conditione sublatisque cadaveribus e Boeotia discesserunt, sed tristis erat discessus, quia male rem gesserant.

καὶ μικρόν] vel parumper. De part. καί v. ad I, 5, 13. III, 4, 9.

τῶν χωρίων του] Non de villis, sed de agris sermo est, qui cingebant ab utraque parte viam, quare haud scio an praeferendum sit τῶν χωρίων που.

ἐπιβαίη] optativus de re saepius facta.

ἡ στρατιὰ — διελύθη] dimissus est exercitus, ut V, 1, 35. VI, 3, 18. al. Frustra cum Stephano et Leonclavio Morus et Weiskius maluerunt ἡ στρατεία.

§. 25. ἐπειρᾶτο] Antea erat optativus. V. ad §. 23. ἐπειρᾶτο pertinet ad οὐ μάχῃ potius quam ad ὑποσπόνδους, ad quod verbum subaudiendum est ἀνῃρεῖτο vel ἀνείλετο.

ὅτι — ἀνῆκε] Eiusdem rei causa statim reducem ex Attica accusatum sed absolutum esse Pausaniam tradit Pausan. III, 5, 3.

καὶ — μέντοι] et quidem. Cyrop. VI, 3, 12. Aristoph. Ran. 166: καὶ ταχέως μέντοι πάνυ.

# LIBER QUARTUS.

## CAPUT I.

---

### ARGUMENTUM.

Spithridatis suasu Agesilaus in Paphlagoniam profectus cum Otye rege init societatem: cui matrimonio iungit Spithridatis filiam. Hiberna constituit Dascylii. Hic quum Herippidas praedatum egressus Spithridati res captas abstulisset, hic noctu cum suis clam ad Ariaeum abiit. Mox Apollophanes Cyzicenus, hospes et Pharnabazi et Agesilai, perfecit, ut hi venirent in colloquium, in quo Pharnabazus hanc tulit conditionem, ut si a rege Persarum alius cuiuspiam imperio subiiciatur, cum Agesilao societatem faciat, sin ipsi summum imperium committatur, bellum strenue cum Agesilao gerat. Delectatus eius oratione Agesilaus spopondit, se statim ex eius ditione abiturum, et concessit in campum Thebes. Sed quum magna moliretur adversus regem, revocatur domum ad defendendam patriam.

---

1 Ὁ δὲ Ἀγησίλαος ἐπεὶ ἀφίκετο ἅμα μετοπώρῳ εἰς τὴν τοῦ Φαρναβάζου Φρυγίαν, τὴν μὲν χώραν ἔκαε καὶ ἐπόρθει, πόλεις δὲ τὰς μὲν βίᾳ, τὰς δ' ἑκούσας προς-
2 ελάμβανε. Λέγοντος δὲ τοῦ Σπιθριδάτου, ὡς, εἰ ἔλθοι πρὸς τὴν Παφλαγονίαν σὺν αὐτῷ, τὸν τῶν Παφλαγόνων βασιλέα καὶ εἰς λόγους ἄξοι καὶ σύμμαχον ποιήσοι,

Cap. I. §. 2. σὺν αὐτῷ apud Steph. et Leoncl. inclusum addunt B. C. D. E. F. H. I. Schneid. Dind. — σύμμ. B. D. F. Dind. pro ξύμμ.

Cap. I. §. 1. Redit scriptor ad ea, quae gerebat in Asia Agesilaus III, 4, 29.

ἅμα μετοπώρῳ] anni 395. a. Ch.

§. 2. τοῦ Σπιθριδάτου] V. ad III, 4, 10.

προθύμως ἐπορεύετο, πάλαι τούτου ἐπιθυμῶν, τοῦ ἀφιστάναι τι ἔθνος ἀπὸ βασιλέως.

3 Ἐπεὶ δὲ ἀφίκετο εἰς τὴν Παφλαγονίαν, ἦλθεν Ὄτυς καὶ συμμαχίαν ἐποιήσατο· καὶ γὰρ καλούμενος ὑπὸ βασιλέως οὐκ ἀναβεβήκει. Πείσαντος δὲ τοῦ Σπιθριδάτου κατέλιπε τῷ Ἀγησιλάῳ Ὄτυς χιλίους μὲν ἱππέας, δισχιλίους δὲ πελταστάς. 4 Χάριν δὲ τούτων εἰδὼς Ἀγησίλαος τῷ Σπιθριδάτῃ, Εἰπέ μοι, ἔφη, ὦ Σπιθριδάτα, οὐκ ἂν δοίης Ὄτυϊ τὴν θυγατέρα; Πολύ γε, ἔφη, μᾶλλον ἢ ἐκεῖνος ἂν λάβοι φυγάδος ἀνδρὸς βασιλεύων πολλῆς καὶ χώρας καὶ δυνάμεως. Τότε μὲν οὖν ταῦτα μόνον ἐῤῥήθη περὶ τοῦ γάμου. 5 Ἐπεὶ δ' Ὄτυς ἔμελλεν ἀπιέναι, ἦλθε πρὸς τὸν Ἀγησίλαον ἀσπασόμενος. Ἤρξατο δὲ λόγου ὁ Ἀγησίλαος παρόντων τῶν τριάκοντα, μεταστησάμενος τὸν Σπιθριδάτην, 6 Λέξον μοι, ἔφη, ὦ Ὄτυ, ποίου τινὸς γένους ἐστὶν ὁ Σπιθριδάτης; Ὁ δ' εἶπεν, ὅτι Περσῶν οὐδενὸς ἐνδεέστερος. Τὸν δ' υἱόν, ἔφη, ἑώρακας αὐτοῦ ὡς καλός ἐστι; Τί δ' οὐ μέλλω; καὶ γὰρ ἑσπέρας συνεδείπνουν αὐτῷ. Τούτου μέν φασι τὴν θυγατέρα αὐτοῦ καλλίονα εἶναι. Νὴ Δί', ἔφη ὁ Ὄτυς, καλὴ γάρ ἐστι. 7 Καὶ ἐγὼ μέν, ἔφη, ἐπεὶ φίλος ἡμῖν γεγένησαι, συμβουλεύοιμ' ἄν σοι τὴν παῖδα ἄγε-

— τι ἔθνος B. C. D. F. H. I. V. margg. Steph. et Leoncl. Dind. pro τὸ ἔθνος.

§. 3. D. ἀναβεβήκοι, E. Dind. ἀνεβεβήκει.

§. 4. F. ὁ Ἀγησ. — καὶ ante χώρας addunt B. Schneid. Dind.

§. 5. ἤρξατο δὲ λόγου B., ceteri λόγου δὲ ἤρξατο.

§. 6. Dind. ἑόρακας. — συνεδ. B. D. Dind. pro ξυνεδ. — αὐτοῦ pro αὐτῷ V. Dind.

§. 7. συμβουλεύοιμ' B. D. I. V. marg. Leoncl. Dind., ceteri συμβουλεύσαιμ' vel συμβουλεύσοιμ'. — Pro vulg. παῖδα γενέσθαι, quia

τούτου] De τοῦτο, τόδε, ἐκεῖνο sequentem infinitivum quodammodo introducentibus v. ad Oecon. XII, 10. Ages. VII, 1.

§. 3. Ὄτυς] De hoc Paphlagoniae rege v. ad Ages. III, 4, ubi Κότυς nominatur.

καὶ γάρ] etenim, quanquam enim. V. ad III, 5, 2: καὶ οὐ μεταλαβόντες.

ἀναβεβήκει] De forma v. ad I, 5, 10.

§. 4. ἀνδρός] scil. θυγατέρα.

§. 5. ἀσπασόμενος] Saepe de valedicentibus dicitur.

Ἤρξατο — λόγου] V. ad III, 5, 2. 4. IV, 1, 32.

μεταστησάμενος] postquam recedere iussit.

§. 6. ἐνδεέστερος] deterior, scil. γένος vel γένει, ut est VII, 1, 23.

τὸν δ' υἱόν] Μεγαβάτην. V. §. 28.

ἑώρακας αὐτοῦ] De verborum collocatione cf. VI, 4, 18: τὸν υἱὸν ἐκέλευεν αὐτοῦ ἡγεῖσθαι.

§. 7. ἐγὼ μέν] ego quidem.

σθαι γυναῖκα, καλλίστην μὲν οὖσαν, οὗ τί ἀνδρὶ ἥδιον;
πατρὸς δ' εὐγενεστάτου, δύναμιν δ' ἔχοντος τοσαύτην,
ὃς ὑπὸ Φαρναβάζου ἀδικηθεὶς οὕτω τιμωρεῖται αὐτόν,
ὥςτε φυγάδα πάσης τῆς χώρας, ὡς ὁρᾷς, πεποίηκεν.
8 Εὖ ἴσθι μέντοι, ἔφη, ὅτι ὥςπερ ἐκεῖνον ἐχθρὸν ὄντα
δύναται τιμωρεῖσθαι, οὕτω καὶ φίλον ἄνδρα εὐεργετεῖν
ἂν δύναιτο. Νόμιζε δὲ τούτων πραχθέντων μὴ κεῖ-
νον ἄν σοι μόνον κηδεστὴν εἶναι, ἀλλὰ καὶ ἐμὲ καὶ τοὺς
ἄλλους Λακεδαιμονίους, ἡμῶν δ' ἡγουμένων τῆς Ἑλ-
9 λάδος καὶ τὴν ἄλλην Ἑλλάδα. Καὶ μὴν μεγαλειοτέρως
γε σοῦ, εἰ ταῦτα πράττοις, τίς ἄν ποτε γήμειε; ποίαν
γὰρ νύμφην πώποτε τοσοῦτοι ἱππεῖς καὶ πελτασταὶ καὶ
10 ὁπλῖται προὔπεμψαν, ὅσοι τὴν σὴν γυναῖκα εἰς τὸν σὸν
οἶκον προπέμψειαν ἄν; Καὶ ὁ Ὄτυς ἐπήρετο, Δοκοῦντα
δ', ἔφη, ὦ Ἀγησίλαε, ταῦτα καὶ Σπιθριδάτῃ λέγεις;
Μὰ τοὺς θεούς, ἔφη ὁ Ἀγησίλαος, ἐκεῖνος μὲν ἐμέ γε
οὐκ ἐκέλευσε ταῦτα λέγειν· ἐγὼ μέντοι, καίπερ ὑπερ-
11 χαίρων, ὅταν ἐχθρὸν τιμωρῶμαι, πολὺ μᾶλλόν μοι δο-
κῶ ἥδεσθαι, ὅταν τι τοῖς φίλοις ἀγαθὸν ἐξευρίσκω. Τί

B. habet παῖδαν γενέσθαι. Gail. maluit παῖδ' ἂν γενέσθαι, Portus παῖδα ἀγαγέσθαι; παῖδα ἄγεσθαι dedit Dind. e coni. Marklandii ad Eur. Suppl. 1064. — Marg. Leoncl. ὡς pro ὅς.

§. 8. ὅτι ante ὥςπερ ex codd. solus B. servavit. — ἄν, quod in codd. deest, alii ante, alii post ἄνδρα, Dind. post εὐεργετεῖν inseruit. — F. μὴ 'κεῖνον, Dind. μὴ ἐκεῖνον.

§. 9. A. E. F. edd. vett. om. σοῦ.

§. 10. ταῦτα καὶ Σπ. B. D. F. I. Dind. pro καὶ Σπ. ταῦτα. — ὁ Ἀγησίλαος B. D. H. I. Dind. pro vulg. ὦ Κότυ, quod Schneid. mutaverat in ὦ Ὄτυ. — ὑπερχαίρων A. B. C. D. E. F. H. margg. Steph. et Leoncl. Schneid. Dind. pro ὑπερχαίρω.

V. ad Hier. I, 7. VII, 4: ἐμοὶ μέν. al.

ὅς] Nihil opus est particula ὡς sive ὥςτε. Nam ὅς pertinet ad εὐγενεστάτου non minus quam ad δύναμιν ἔχοντος τοσαύτην.

§. 8. εὖ ἴσθι — ὅτι] Non solum ubi interposita est illa asseverandi formula (de qua v. ad III, 5, 11), sed etiam ubi antecedit orationi, velut V, 1, 14, omittitur ὅτι. Quare dubito an h. l. delenda sit particula.

μὴ κεῖνον] De scriptura v. ad I, 1, 28. 6, 14.

§. 9. καὶ μήν] V. ad III, 5, 10.

§. 10. ἐπήρετο — ἔφη] V. ad εἶπε — ἔφη III, 3, 5. 4, 9.

Δοκοῦντα δ'] De particula δέ in interrogatione posita v. ad III, 1, 28.

§. 11. τί οὖν — οὐ] De hac formula cum indicativo praesentis vel aoristi iuncta ad exprimendam vividam exhortationem v. ad Hier. I, 3 et ad Comment. III, 1, 10: τί οὖν οὐ σκοποῦμεν, ubi v. etiam Kuehner.

οὖν, ἔφη, οὐ πυνθάνῃ, εἰ καὶ ἐκείνῳ βουλομένῳ ταῦτ᾽ ἐστί; Καὶ ὁ Ἀγησίλαος, Ἴτ᾽, ἔφη, ὑμεῖς, ὦ Ἡριππίδα, καὶ διδάσκετε αὐτὸν βουληθῆναι ἅπερ ἡμεῖς. Οἱ μὲν 12
δὴ ἀναστάντες ἐδίδασκον. Ἐπεὶ δὲ διέτριβον, Βούλει, ἔφη, ὦ Ὄτυ, καὶ ἡμεῖς δεῦρο καλέσωμεν αὐτόν; Πολύ γ᾽ ἂν οἶμαι μᾶλλον ὑπὸ σοῦ πεισθῆναι αὐτὸν ἢ ὑπὸ τῶν ἄλλων ἁπάντων. Ἐκ τούτου δὴ ἐκάλει ὁ Ἀγησίλαος τὸν Σπιθριδάτην τε καὶ τοὺς ἄλλους. Προσιόν- 13
των δὲ εὐθὺς εἶπεν ὁ Ἡριππίδας, Τὰ μὲν ἄλλα, ὦ Ἀγησίλαε, τὰ ῥηθέντα τί ἄν τις μακρολογοίη; τέλος δὲ λέγει Σπιθριδάτης πᾶν ποιεῖν ἂν ἡδέως ὅ τι σοι δοκοίη. Ἐμοὶ μὲν τοίνυν, ἔφη, δοκεῖ, ὁ Ἀγησίλαος σὲ μέν, ὦ 14
Σπιθριδάτα, τύχῃ ἀγαθῇ διδόναι Ὄτυϊ τὴν θυγατέρα, σὲ δὲ λαμβάνειν. Τὴν μέντοι παῖδα πρὸ ἦρος οὐκ ἂν δυναίμεθα πεζῇ ἀγαγεῖν. Ἀλλὰ ναὶ μὰ Δί᾽, ἔφη ὁ Ὄτυς,

§. 11. Dind. πυνθάνει.

§. 12. V. γὰρ ἂν pro γ᾽ ἄν. — Post μᾶλλον om. ἔφη B. C. D. E. H. V. Dind. — ἐκ τούτου δὴ B. D. V. et, monente Moro, Schneid. Dind. pro ἐκ τ. δέ. — A. C. edd. vett. om. τὸν ante Σπιθρ. — B. D. H. I. om. τοὺς ante ἄλλους.

§. 13. εὐθὺς B. C. D. E. F. H. I. V. marg. Leoncl. Dind. pro αὐτῶν.

§. 14. ἔφη, δοκεῖ, ὁ Ἀγησ. e coni., ut videtur, Dind. qui de libris tacet, Gailio teste A. B. C. D. E. habent ὁ Ἀγησ. ἔφη, δοκεῖ, ceteri ἔφη ὁ Ἀγησ., δοκεῖ. — K. παῖδα γυναῖκα pro παῖδα. — A. C. edd vett. om. ἤδη et σύ.

βουλομένῳ ταῦτ᾽ ἐστί] i. e. ταῦτα βούλεται, ut V, 3, 13: ἦν δὲ οὐ τῷ Ἀγησιλάῳ ἀχθομένῳ ταῦτα = οὐχ ὁ Ἀγησ. ἤχθετο ταῦτα. V. Buttm. §. 133. adn. 6. Rost. §. 161. 5. additam. Kuehn. §. 284. 3. 10. c.

ὑμεῖς, ὦ Ἡριππίδα] Nominato Herippida plures alloquitur, quorum princeps ille est. V. III, 4, 20. Rost. gr. mai. §. 100. adn. 8. Kuehn. §. 241. adn. 13.

διδάσκετε — βουληθῆναι] rem ei exponite, ut velit —.

§. 12. βούλει — καλέσωμεν] V. ad Comment. II, 1, 1: βούλει σκοπῶμεν —; Buttm. §. 139. 1. 1. Rost. gr. mai. §. 119. 2. 6. Kuehn. §. 259. 1. 6. Ceterum animadvertas, duas sententias in unam esse contractas: visne, ut arcessamus eum et ut nos quoque (non solum Herippidas) cum eo loquamur? Plurali ἡμεῖς modestiae causa utitur Agesilaus. Nam regis erat cum Spithridate loqui, ut mox fit.

§. 13. προσιόντων] scil. αὐτῶν. V. ad I, 1, 29.

τὰ ῥηθέντα — μακρολογοίη] Usitata dictio est τί δεῖ μακρολογεῖν περὶ τούτου; Exempla v. in Papii lex. v. μακρολογεῖν. Stephan. in thes. ex Athen. VI, affert: ἵνα δὲ μὴ πολλὰ μακρολογῶ.

§. 14. ἔφη, δοκεῖ, ὁ Ἀγ.] De verborum collocatione v. ad Oecon. VII, 16: καὶ τί δέ, ἔφη, ὁρᾷς, ἡ γυνή, et ad Cyrop. V, 2, 29. Kuehner. ad Comment. III, 5, 13: ἐγὼ μέν, ἔφη, οἶμαι, ὁ Σωκρ.

τύχῃ ἀγαθῇ] quod felix

15 κατὰ θάλατταν ἤδη ἂν πέμποιτο, εἰ σὺ βούλοιο. Ἐκ τούτου δεξιὰς δόντες καὶ λαβόντες ἐπὶ τούτοις ἀπέπεμπον τὸν Ὄτυν.

Καὶ εὐθὺς ὁ Ἀγησίλαος, ἐπεὶ ἔγνω αὐτὸν σπεύδοντα, τριήρη πληρώσας καὶ Καλλίαν Λακεδαιμόνιον κελεύσας ἀπαγαγεῖν τὴν παῖδα, αὐτὸς ἐπὶ Δασκυλείου ἀπεπορεύετο, ἔνθα καὶ τὰ βασίλεια ἦν Φαρναβάζῳ, καὶ κῶμαι περὶ αὐτὰ πολλαὶ καὶ μεγάλαι καὶ ἄφθονα ἔχουσαι τὰ ἐπιτήδεια, καὶ θῆραι αἱ μὲν καὶ ἐν περιειργμένοις παραδείσοις, αἱ δὲ καὶ ἐν ἀναπεπταμένοις τόποις,
16 πάγκαλαι. Περιέρρει δὲ καὶ ποταμὸς παντοδαπῶν ἰχθύων πλήρης. Ἦν δὲ καὶ τὰ πτηνὰ ἄφθονα τοῖς ὀρνιθεῦσαι δυναμένοις. Ἐνταῦθα μὲν δὴ διεχείμαζε, καὶ αὐτόθεν καὶ σὺν προνομαῖς τὰ ἐπιτήδεια τῇ στρατιᾷ

§. 15. *Δασκυλείου* B. Dind. pro *Δασκυλίου*. — *ἀπεπορεύετο* B. D. I. V. Dind., F. *ἐπεπορεύετο*, H. *ἐπιπορεύετο*, ceteri *ἐπορεύετο*. — A. C. edd. vett. *θῆρας*, K. *θῆρα* pro *θῆραι*. — *αἱ μὲν καὶ* B. C. D. E. F. H. I. V. Dind. pro *αἱ μέν*. — *περιειργμένοις* Schneid. Dind. pro *περιειργασμένοις*. — *ἐν* post *αἱ δὲ καὶ* interseruit Dind.

§. 16. H. *παρεῤῥεῖ* pro *περιέρρει*. — C. *ἐχείμαζε*, V. *καὶ ἐχείμαζε* pro *διεχείμαζε*. — C. D. edd. vett. om. *καὶ* post *αὐτόθεν*, utrumque *καὶ* et ante et post *αὐτόθεν* inclusit Mor.

faustumque sit. Item Cyrop. IV, 5, 51.

*ἤδη*] iam nunc. Comparant Anab. I, 4, 16. Cyrop. IV, 1, 2. 4, quibus locis haec significatio magis perspicua fit eo, quod praesenti tempori futurum tempus opponitur.

§. 15. *περιειργμένοις*] Saepire nusquam est *περιεργάζεσθαι*, ne Pollucis quidem loco I, 160, ubi est *τεῖχος περιειργάσαντο*, quem cum h. l. comparat Toupius ad Suidam s. v.

*αἱ δὲ καὶ ἐν*] Praepositionem necessariam esse, intelliges ex iis, quae docet Kuehnerus ad Comment. I, 3, 3: *καὶ πρὸς φίλους δὲ καὶ ξένους καὶ πρὸς τὴν ἄλλην δίαιταν*, cl. I, 4, 17: *καὶ περὶ τῶν ἐνθάδε καὶ περὶ τῶν ἐν Αἰγύπτῳ καὶ ἐν Σικελίᾳ*. Non repetitur praepositio ubi duae notiones in unam quasi coniunctae sunt. V. infra ad IV, 8, 35. Diversa ratio est loci de Venat. IV, 9, quo vulgatam lectionem huius loci tueri Hertlinius conatur. — De particula *καί* in distributionibus cumulata v. VII, 1, 46. Cyrop. I, 1, 1. II, 2, 17. III, 3, 67. VII, 1, 29. Oecon. I, 17 (ubi male non recepi *τοὺς μὲν καί*). XIV, 4. Haec et alia congessit Hertlin. in Observ. crit. in Xen. H. G. part. II. p. 15.

*πάγκαλαι*] De hac forma v. ad III, 2, 10.

§. 16. *Περιέρρει*] De imperfecto v. Add. ad II, 1, 21. et ad III, 2, 19.

*δυναμένοις*] Idem fere est quod *ἐπισταμένοις*. Oecon. I, 15: *τῷ δυναμένῳ ἀπὸ τῶν ἐχθρῶν ὠφελεῖσθαι*, ubi paullo post *τοῖς ἐχθροῖς ἐπίστασθαι χρῆσθαι*. Ages. XI, 10: *ἐν γε μὴν ταῖς εὐπραξίαις σωφρονεῖν ἐπιστάμενος ἐν τοῖς δεινοῖς εὐθαρσὴς ἐδύνατο εἶναι*. De Vectig. V, 3.

*καὶ αὐτόθεν καὶ σὺν προνομαῖς*] Commeatum exercitui parabat partim ex eo ipso loco, partim e vicinis vel etiam remo-

λαμβάνων. Καταφρονητικῶς δέ ποτε καὶ ἀφυλάκτως 17
διὰ τὸ μηδὲν πρότερον ἐσφάλθαι λαμβανόντων τῶν
στρατιωτῶν τὰ ἐπιτήδεια, ἐπέτυχεν αὐτοῖς ὁ Φαρνάβα-
ζος κατὰ τὸ πεδίον ἐσπαρμένοις, ἅρματα μὲν ἔχων δύο
δρεπανηφόρα, ἱππεῖς δὲ ὡς τετρακοσίους. Οἱ δ' Ἕλ- 18
ληνες ὡς εἶδον αὐτὸν προςελαύνοντα, συνέδραμον ὡς
εἰς ἑπτακοσίους· ὁ δ' οὐκ ἐμέλλησεν, ἀλλὰ προστησά-
μενος τὰ ἅρματα, αὐτὸς δὲ σὺν τοῖς ἱππεῦσιν ὄπισθεν
γενόμενος, ἐλαύνειν εἰς αὐτοὺς ἐκέλευσεν. Ὡς δὲ τὰ 19
ἅρματα ἐμβαλόντα διεσκέδασε τὸ ἀθρόον, ταχὺ οἱ ἱπ-
πεῖς κατέβαλον ὡς εἰς ἑκατὸν ἀνθρώπους, οἱ δ' ἄλλοι
κατέφυγον πρὸς Ἀγησίλαον· ἐγγὺς γὰρ ἔτυχε σὺν τοῖς
ὁπλίταις ὤν. Ἐκ δὲ τούτου τρίτῃ ἢ τετάρτῃ ἡμέρᾳ 20
αἰσθάνεται ὁ Σπιθριδάτης τὸν Φαρνάβαζον ἐν Καυῇ
κώμῃ μεγάλῃ στρατοπεδευόμενον, ἀπέχοντα στάδια ὡς
ἑξήκοντα καὶ ἑκατόν, καὶ εὐθὺς λέγει πρὸς τὸν Ἡριπ-
πίδαν. Καὶ ὁ Ἡριππίδας ἐπιθυμῶν λαμπρόν τι ἐργά- 21
σασθαι, αἰτεῖ τὸν Ἀγησίλαον ὁπλίτας τε εἰς δισχιλίους
καὶ πελταστὰς ἄλλους τοσούτους καὶ ἱππέας τούς τε
Σπιθριδάτου καὶ τοὺς Παφλαγόνας καὶ τῶν Ἑλλήνων

§. 17. Dind. ἱππέας pro ἱππεῖς.

§. 18. συνεδρ. B. D. Dind. pro ξυνεδρ. — ἐλαύνειν εἰς αὐτοὺς ἐκέλευσεν B., ceteri ἐκελ. ἐλ. εἰς αὐτούς.

§. 19. B. C. E. κατέβαλλον. — F. V. Dind. ὡς pro ὡς εἰς.

§. 20. B. om. καὶ ante εὐθύς.

§. 21. Ante λαμπρὸν inclusit ἀεὶ Schneid., om. B. C. D. F. I. V. Dind. — ἐργάσασθαι B. C. D. V. Dind. pro ἐργάζεσθαι.

tioribus regionibus, in quas instructo agmine praedatum suos mittebat. Hunc enim sensum habet locutio militaris σὺν προνομαῖς τὰ ἐπιτήδεια λαμβάνειν. Contrarium esse temere vagando frumentari apparet quum ex iis, quae statim sequuntur, tum ex Anab. V, 1, 7: ἀλλά μοι δοκεῖ σὺν προνομαῖς λαμβάνειν τὰ ἐπιτήδεια, ἄλλως δὲ μὴ πλανᾶσθε, ὡς σώζησθε, ubi v. Kuehner. Cf. etiam Cyrop. VI, 1, 24.

§. 18. ὡς εἰς ἑπτακοσίους] Ad septingentos fere, *etwa gegen* 700. Item §. 19. V, 2, 40. et ὡς περί V, 4, 14. Buttm. §. 147. 2. s. v. εἰς.

§. 19. τὸ ἀθρόον] globum Graecorum. V. ad Cyrop. VIII, 1 45 et 46, ubi opponuntur sibi ἀσυντάκτους et ἀθρόους.

κατέβαλον] Fortasse ex B. C. E. recipiendum est imperfectum, quod ferri posse quanquam ταχὺ antecedit et κατέφυγον sequitur, videbis ex adnotatis ad IV, 5, 15 et IV, 5, 3.

§. 21. πελταστὰς ἄλλους τοσούτους] i. e. ἄλλους τοσούτους πελταστὰς ὄντας. V. ad Cyrop. III, 2, 3: τοξόται εἰς τοὺς μυρίους καὶ πελτασταὶ ἄλλοι τοσοῦτοι.

22 ὁπόσους πείσειεν. Ἐπεὶ δὲ ὑπέσχετο αὐτῷ, ἐθύετο·
καὶ ἅμα δείλῃ καλλιερησάμενος κατέλυσε τὴν θυσίαν.
Ἐκ δὲ τούτου δειπνήσαντας παρήγγειλε παρεῖναι πρό-
σθεν τοῦ στρατοπέδου. Σκότους δὲ γενομένου οὐδ'
23 οἱ ἡμίσεις ἑκάστων ἐξῆλθον. Ὅπως δὲ μή, εἰ ἀποτρέ-
ποιτο, καταγελῷεν αὐτοῦ οἱ ἄλλοι τριάκοντα, ἐπο-
24 ρεύετο σὺν ᾗ εἶχε δυνάμει. Ἅμα δὲ τῇ ἡμέρᾳ ἐπιπεσὼν
τῇ Φαρναβάζου στρατοπεδείᾳ, τῆς μὲν προφυλακῆς
αὐτοῦ Μυσῶν ὄντων πολλοὶ ἔπεσον, αὐτοὶ δὲ διαφεύ-
γουσι, τὸ δὲ στρατόπεδον ἁλίσκεται, καὶ πολλὰ μὲν ἐκ-
πώματα καὶ ἄλλα δὴ οἷα Φαρναβάζου κτήματα, πρὸς
25 δὲ τούτοις σκεύη πολλὰ καὶ ὑποζύγια σκευοφόρα. Διὰ
γὰρ τὸ φοβεῖσθαι, μή, εἴ που κατασταίη, κυκλωθεὶς
πολιορκοῖτο, ἄλλοτε ἄλλῃ τῆς χώρας ἐπῄει, ὥσπερ οἱ
νομάδες, καὶ μάλα ἀφανίζων τὰς στρατοπεδεύσεις.
26 Ἐπεὶ δὲ τὰ ληφθέντα χρήματα ἀπήγαγον οἵ τε Παφλα-

§. 26. Verba ἐπεὶ δὲ τὰ ληφθέντα χρήματα ἀπήγαγον οἵ τε Πα-

πείσειεν] persuasisset, h. e. persuasurum se esse sperabat.

§. 22. ὑπέσχετο] Agesilaus. De subiecto non indicato v. ad III, 2, 4. 5, 20.

οἱ ἡμίσεις] V. ad Ages. II, 2: τοὺς ἡμίσεις — τῶν ἱππέων, ad Oecon. IV, 8. Infra ad V, 3, 2.

ἑκάστων] τῶν ὁπλιτῶν καὶ τῶν πελταστῶν καὶ τῶν ἱππέων, quos adesse iusserat.

§. 23. οἱ ἄλλοι τριάκοντα] V. ad III, 3, 8. Herippidas enim ipse est tricesimus. V. §. 11.

σὺν ᾗ εἶχε δυνάμει] Buttm. §. 143. 14. Rost. §. 177. 3. adn. 2. c). Kuehner. §. 332. 6.

§. 24. ἐπιπεσών] Oratio ἀνακόλουθος, quae vix pertinet ad id genus, quod exemplis illustravi ad II, 3, 54. Hic enim attractio quaedam efficit anacoluthiam. Etenim quum primum dicturus fuisset scriptor ἐπιπεσὼν — πολλοὺς κατέκτεινε, deinceps postquam animo concepit sequentia verba αὐτοὶ δὲ διαφεύγουσι, ut duo membra sibi opposita pariter formarentur, scripsit πολλοὶ ἔπεσον.

τῇ — στρατοπεδείᾳ] i. e. τῇ χώρᾳ τοῦ στρατοπέδου, quod verbum praeter h. l. apud recentiores demum scriptores reperitur.

αὐτοὶ δέ] qui erant in castris ipsis.

οἷα Φαρναβάζου] quae Pharnabazum habuisse credibile est, vel accuratius: Pharnabazo (tam diviti et magnifico homini) convenientia; nam adiectivi paene notionem h. l. asciscit οἷος. Perperam autem Dindorfius scribendum censet καὶ ἄλλα οἷα δή, comparans V, 2, 9, ubi οἷα δή est quemadmodum quidem, καὶ vero pertinet ad verbum finitum. Sed h. l. particulae καὶ — δή, ut solent, intendunt verbum interpositum.

§. 25. διὰ γὰρ τὸ φοβεῖσθαι] Sententiarum cohaerentia haec est: Non nisi Spithridatis calliditate et Herippidae prudentia ac strenuitate factum est, ut castris Pharnabazi potirentur: etenim metuens, ne, sicubi subsisteret, circumdatus obsideretur — castra, quantum poterat, occultabat.

καὶ μάλα] De particula καί

γόνες καὶ ὁ Σπιθριδάτης, ὑποστήσας Ἡριππίδας ταξιάρχους καὶ λοχαγοὺς ἀφείλετο ἅπαντα τόν τε Σπιθριδάτην καὶ τοὺς Παφλαγόνας, ἵνα δὴ πολλὰ ἀπαγάγοι τὰ αἰχμάλωτα τοῖς λαφυροπώλαις. Ἐκεῖνοι μέντοι 27 ταῦτα παθόντες οὐκ ἤνεγκαν, ἀλλ' ὡς ἀδικηθέντες καὶ ἀτιμασθέντες νυκτὸς συσκευασάμενοι ᾤχοντο ἀπιόντες εἰς Σάρδεις πρὸς Ἀριαῖον, πιστεύσαντες, ὅτι καὶ ὁ Ἀριαῖος ἀποστὰς βασιλέως ἐπολέμησεν αὐτῷ. Ἀγησι- 28 λάῳ μὲν δὴ τῆς ἀπολείψεως τοῦ Σπιθριδάτου καὶ τοῦ Μεγαβάτου καὶ τῶν Παφλαγόνων οὐδὲν ἐγένετο βαρύτερον ἐν τῇ στρατείᾳ.

Ἦν δέ τις Ἀπολλοφάνης Κυζικηνός, ὃς καὶ Φαρνα- 29 βάζῳ ἐτύγχανεν ἐκ παλαιοῦ ξένος ὢν καὶ Ἀγησιλάῳ κατ' ἐκεῖνον τὸν χρόνον ἐξενώθη. Οὗτος οὖν εἶπε πρὸς τὸν Ἀγησίλαον, ὡς οἴοιτο συναγαγεῖν αὐτῷ ἂν εἰς λόγους περὶ φιλίας Φαρνάβαζον. Ὡς δ' ἤκουσεν αὐ-

φλαγόνες καὶ ὁ Σπιθριδάτης addunt B. D. E. H. I. Steph. Leoncl. Wells. Schneid. sqq. edd. — Ante Ἡριππίδας om. δὲ B. C. D. E. F. I. et edd. modo commemoratae. — V. Ald. ταξιάρχας. — D. ἀπαγάγη, C. ἀπάγη, A. ἐπαγάγει, Ald. ἐπαγάγοι. — B. τοὺς αἰχμαλώτους pro τὰ αἰχμάλωτα.

§. 27. πιστεύσαντες B. D. I. V. marg. Leoncl. Dind., ceteri πιστεύσοντες. — F. καὶ Ἀριαῖος.

§. 28. Edd. vett. ἀπὸ τῆς ἀπολείψεως; ante Leonclavium edebatur ἀπολήψεως quod est etiam in codd. praeter B. D. F. H. — Μεγαβάτου B. C. F. I. V. Dind., ceteri vel Μεγαβάζου vel Μεγαβύζου, sed D. Μεγάτου.

§. 29. αὐτῷ ἂν B. C. D. E. F. V. Dind. pro ἂν αὐτῷ, A. om. ἂν, edd. vett. om. αὐτῷ.

v. ad III, 4, 9. Sed esse potest etiam et quidem ut IV, 3, 1.

§. 26. ὑποστήσας] Usitatius esset quod Leonclavius, Morus et Schneiderus maluerunt, ἐπιστήσας. Sed dictum est ut ὑπείσας, in insidiis collocans, Herod. III, 126. VI, 103. et passive ὑποστάς ibid. VIII, 91. De re cf. Plutarch. Ages. XI, 3: ἔνθα δὴ πικρὸς ὢν ὁ Ἡριππίδας ἐξεταστὴς τῶν κλαπέντων, καὶ τοὺς βαρβάρους ἀναγκάζων ἀποτίθεσθαι καὶ πάντα φωρῶν καὶ διερευνώμενος παρώξυνε τὸν Σπιθριδάτην.

τοῖς λαφυροπώλαις] Omnis praeda apud Lacedaemonios erat publica, quae tradebatur τοῖς λαφυροπώλαις vendenda. V. ad Ages. I, 18.

§. 27. πιστεύσαντες] De aoristi participio v. ad III, 4, 12.

Ἀριαῖος] V. Anab. I, 8, 5. 9, 31. II, 4, 2.

§. 28. Μεγαβάτου] Spithridatis filii. V. ad §. 6. Idem nomen legitur Ages. V, 4. Plutarch. Ages. XI, 1: ὁ δὲ Σπιθριδάτης — κάλλιστον — υἱὸν ἔχων, Μεγαβάτην, οὗ παιδὸς ὄντος ἤρα σφοδρῶς Ἀγησίλαος.

§. 29. ὡς δ' ἤκουσεν αὐτοῦ] quum vero auscultasset eum Agesilaus et annuisset. Cf. Anab. II, 6, 11. III, 5,

τοῦ. σπονδὰς λαβὼν καὶ δεξιὰν παρῆν ἄγων τὸν Φαρ-
30 νάβαζον εἰς συγκείμενον χωρίον, ἔνθα δὴ Ἀγησίλαος
καὶ οἱ περὶ αὐτὸν τριάκοντα χαμαὶ ἐν πόᾳ τινὶ κατακεί-
μενοι ἀνέμενον. Ὁ δὲ Φαρνάβαζος ἧκεν ἔχων στολὴν
πολλοῦ χρυσοῦ ἀξίαν. Ὑποτιθέντων δὲ αὐτῷ τῶν θε-
ραπόντων ῥαπτά, ἐφ' ὧν καθίζουσιν οἱ Πέρσαι μαλα-
κῶς, ᾐσχύνθη ἐντρυφῆσαι, ὁρῶν τοῦ Ἀγησιλάου τὴν
φαυλότητα· κατεκλίθη οὖν καὶ αὐτὸς ὥςπερ εἶχε χα-
31 μαί. Καὶ πρῶτα μὲν ἀλλήλους χαίρειν προςεῖπαν, ἔπει-
τα τὴν δεξιὰν προτείναντος τοῦ Φαρναβάζου ἀντι-
32 προύτεινε καὶ ὁ Ἀγησίλαος. Μετὰ δὲ τοῦτο ἤρξατο
λόγου ὁ Φαρνάβαζος· καὶ γὰρ ἦν πρεσβύτερος· Ὦ
Ἀγησίλαε καὶ πάντες οἱ παρόντες Λακεδαιμόνιοι, ἐγὼ
ὑμῖν, ὅτε τοῖς Ἀθηναίοις ἐπολεμεῖτε, φίλος καὶ σύμ-
μαχος ἐγενόμην, καὶ τὸ μὲν ναυτικὸν τὸ ὑμέτερον χρή-
ματα παρέχων ἰσχυρὸν ἐποίουν, ἐν δὲ τῇ γῇ αὐτὸς ἀπὸ
τοῦ ἵππου μαχόμενος μεθ' ὑμῶν εἰς τὴν θάλατταν
κατεδίωκον τοὺς πολεμίους. Καὶ διπλοῦν ὥςπερ Τισ-
σαφέρνους οὐδὲν πώποτέ μου οὔτε ποιήσαντος οὔτ'
33 εἰπόντος πρὸς ὑμᾶς ἔχοιτ' ἂν κατηγορῆσαι. Τοιοῦτος

§. 30. B. D. I. V. om. ἔνθα δὴ Ἀγησίλαος. — αὐτῷ ante τῶν θερ. addunt B. Leoncl. Steph. Wells. Schneid. Dind. — καθίζουσιν B. C. D. F. V. Steph. edd. sqq. pro καθίσουσιν. — κατεκλίθη B. D. F. V. Dind. pro κατεκλίνθη.

§. 31. ἀλλήλους Dind. pro ἀλλήλοις. — προςεῖπαν B. C. D. V. et pr. E., ceteri προςεῖπον.

§. 32. σύμμ. B. D. Dind. pro ξυμμ. — ναυτικὸν τὸ ὑμέτερον B. D. H. V. Dind. pro ὑμέτερον ναυτικὸν; I. ναυτικόν τι ὑμέτερον; C. E. F. ναυτικὸν ὑμέτερον. — A. E. edd. vett. om. prius οὔτε.

16. al. De subiecto non indicato v. ad §. 22.

§. 30. ἐν πόᾳ τινί] Plutarch. Ages. XII, 1: ὑπὸ σκιᾷ τινι, πόας οὔσης βαθείας, καταβαλὼν ἑαυτόν. Cf. XXXVI, extr.: κατακλινεὶς ἔν τινι πόᾳ.

ῥαπτά] Plutarch. Ages. XII, 1: ὑποβεβλημένων τ' αὐτῷ κωδίων μαλακῶν καὶ ποικίλων δαπίδων. De re cf. etiam Cyrop. VIII, 8, 15.

ὥςπερ εἶχε] ut erat. Plutarch. Ages. XII, 1: κατεκλίνη καὶ αὐτὸς, ὡς ἔτυχε, ἐπὶ τῆς πόας χαμᾶζε.

§. 31. προςεῖπαν] De forma v. ad III, 5, 24. Ceterum dativum in hac formula admitti non posse, quum verbi προςειπεῖν natura, tum loci: Comment. III, 13, 1. Hier. VIII, 3. Apol. §. 15. monstrant.

§. 32. ἤρξατο] prior locutus est, quippe qui aetate superaret Agesilaum. De media verbi forma v. ad III, 5, 2. 4.

ἀπὸ τοῦ ἵππου μαχόμενος] De hac re v. I, 1, 6.

διπλοῦν] duplex, dolosum. De re cf. I, 1, 31.

*δὲ γενόμενος νῦν οὕτω διάκειμαι ὑφ' ὑμῶν, ὡς οὐδὲ δεῖπνον ἔχω ἐν τῇ ἐμαυτοῦ χώρᾳ, εἰ μή τι ὧν ἂν ὑμεῖς λίπητε συλλέξομαι, ὥσπερ τὰ θηρία. Ἃ δέ μοι ὁ πατὴρ καὶ οἰκήματα καλὰ καὶ παραδείσους καὶ δένδρων καὶ θηρίων μεστοὺς κατέλιπεν, ἐφ' οἷς εὐφραινόμην, ταῦτα πάντα ὁρῶ τὰ μὲν κατακεκομμένα τὰ δὲ κατακεκαυμένα. Εἰ οὖν ἐγὼ μὴ γιγνώσκω μήτε τὰ ὅσια μήτε τὰ δίκαια, ὑμεῖς δὲ διδάξατέ με, ὅπως ταῦτ' ἐστὶν ἀνδρῶν ἐπισταμένων χάριτας ἀποδιδόναι. Ὁ μὲν ταῦτ' εἶπεν.* 34
*Οἱ δὲ τριάκοντα πάντες μὲν ἐπῃσχύνθησαν αὐτὸν καὶ ἐσιώπησαν· ὁ δὲ Ἀγησίλαος χρόνῳ ποτὲ εἶπεν, Ἀλλ' οἶμαι μέν σε, ὦ Φαρνάβαζε, εἰδέναι, ὅτι καὶ ἐν ταῖς Ἑλληνικαῖς πόλεσι ξένοι ἀλλήλοις γίγνονται ἄνθρωποι. Οὗτοι δέ, ὅταν αἱ πόλεις πολέμιαι γένωνται, σὺν ταῖς πατρίσι καὶ τοῖς ἐξενωμένοις πολεμοῦσι καί, ἂν οὕτω τύχωσιν, ἔστιν ὅτε καὶ ἀπέκτειναν ἀλλήλους. Καὶ ἡμεῖς*

§. 33. *νῦν οὕτω* B. D. E. F. H. I. V. Dind. pro *οὕτω νῦν.* — *συλλ.* B. V. Dind. pro *ξυλλ.* — B. *μεστὰ* pro *μεστούς.* — H. *καταλέλοιπεν.* — *κατακεκομμένα — κατακεκαυμένα* B. C. D. E. F. H. I. V. Schneid. Dind. pro *κατακεκαυμένα — κατακεκομμένα.* — *ὅσια — δίκαια* B. C. D. E. F. I. Schneid. Dind. pro *δίκαια — ὅσια.* — D. om. *δὲ* post *ὑμεῖς.* — B. et pr. E. *διδάξετε.*

§. 34. *ἄνθρωποι* B. Dind. pro *οἱ ἄνθρ.* — K. *τοῖς πατράσι* pro *ταῖς πατρίσι.* — *ἂν οὕτω* B. D. Dind. pro *ἐὰν οὕτω.*

§. 33. *οὕτω διάκειμαι ὑφ' ὑμῶν*] i. q. *οὕτω διατέθειμαι ὑφ' ὑμῶν*, ut est Comment. IV, 2, 20: *τῶν οὕτω διατεθέντων ὑπὸ Σωκράτους.*

*ὡς — ἔχω*] De *ὡς* consecutivo v. ad III, 4, 27. Rarius quam infinitivus sequitur indicativus, qui invenitur etiam VI, 1, 15. Cyrop. V, 4, 11. Anab. VI, 1, 5, ubi v. Kuehner.

*κατακεκομμένα — κατακεκαυμένα*] Per chiasmum posterius verbum ad *οἰκήματα*, prius ad *παραδείσους* refertur. V. Kuehner. gr. max. II, §. 865. 3.

*τὰ ὅσια — τὰ δίκαια*] quid sit sanctum, quid aequum. Ironice dicta sunt: quid sanctum et aequum sit se scire negat, si tantis iniuriis afficiatur ab iis de quibus optime meruisse sibi videatur.

*ὑμεῖς δέ*] De part. *δέ* in apodosi posita v. ad III, 3, 7, imprimis ad Cyrop. V, 5, 21.

§. 34. *ἐπῃσχύνθησαν*] Plutarch. Ages. XII, 2: *ὁ δ' Ἀγησίλαος ὁρῶν τοὺς σὺν αὐτῷ Σπαρτιάτας ὑπ' αἰσχύνης κύπτοντας εἰς τὴν γῆν καὶ διαποροῦντας.*

*χρόνῳ*] procedente tempore. Sed huic dativo sine adiectivo *πολλῷ* vel *συχνῷ* locus non esset, nisi accederet *ποτέ.* Cf. III, 2, 25.

*ἄνθρωποι*] sine articulo, quia de genere sermo est, ut II, 3, 29. VI, 3, 10. V. Kuehner. ad Anab. I. 4, 14.

*καὶ τοῖς ἐξενωμένοις*] etiam, adeo contra hospites.

*οὕτω τύχωσιν*] cum fors tulerit. Hoc verbum, ut de loco et modo fortuito saepius, ita ra-

οὖν νῦν βασιλεῖ τῷ ὑμετέρῳ πολεμοῦντες πάντα ἠναγκάσμεθα τὰ ἐκείνου πολέμια νομίζειν· σοί γε μέντοι
35 φίλοι γενέσθαι περὶ παντὸς ἂν ποιησαίμεθα. Καὶ εἰ μὲν ἀλλάξασθαί σε ἔδει ἀντὶ δεσπότου βασιλέως ἡμᾶς δεσπότας, οὐκ ἂν ἔγωγέ σοι συνεβούλευον· νῦν δὲ ἔξεστί σοι μεθ' ἡμῶν γενομένῳ μηδένα προσκυνοῦντα μηδὲ δεσπότην ἔχοντα ζῆν καρπούμενον τὰ ἑαυτοῦ.
36 Καίτοι ἐλεύθερον εἶναι ἐγὼ μὲν οἶμαι ἀντάξιον εἶναι τῶν πάντων χρημάτων. Οὐδὲ μέντοι τοῦτό σε κελεύομεν, πένητα μέν, ἐλεύθερον δ' εἶναι, ἀλλ' ἡμῖν συμμάχοις χρώμενον αὔξειν μὴ τὴν βασιλέως, ἀλλὰ τὴν σαυτοῦ ἀρχήν, τοὺς νῦν ὁμοδούλους σοι καταστρεφόμενον, ὥςτε σοὺς ὑπηκόους εἶναι. Καίτοι εἰ ἅμα ἐλεύθερός τ' εἴης καὶ πλούσιος γένοιο, τίνος ἂν δέοις μὴ
37 οὐχὶ πάμπαν εὐδαίμων εἶναι; Οὐκοῦν, ἔφη ὁ Φαρνάβαζος, ἁπλῶς ὑμῖν ἀποκρίνωμαι ἅπερ ποιήσω; Πρέπει

§. 35. σε B. D. V. Schneid. Dind. pro σοι. — συνεβ. B. D. Dind. pro ξυνεβ. — ἑαυτοῦ B. H. I. Dind. pro σαυτοῦ.

§. 36. συμμ. B. D. Dind. pro ξυμμ. — H. βασιλείαν pro βασιλέως. — E. σου pro σοὺς, Cast. Weisk. σοι. — ἐλεύθερος τ' B. C. D. I. V. Dind. pro τ' ἐλεύθερος, H. om. τ'. — δέοις est emendatio Cobeti, ceteri δέοιο.

§. 37. ἀποκρίνωμαι Schneid. Dind. pro ἀποκρίνομαι. — B. D. πρέπειν. — E. m. sec. Ald. Iunt. Weisk. φιλοτιμίας.

rius etiam de tempore dicitur et ita quidem, ut referatur ad subiectum. Cf. VII, 1, 44. Sauppius ad Comment. III, 12, 1: ὃν (ἀγῶνα) Ἀθηναῖοι θήσουσιν, ὅταν τύχωσιν. Ibidem v. Kuehner.

§. 35. γενομένῳ — προσκυνοῦντα] Non idem est quod γενόμενον — προσκυνοῦντα. Nam Agesilaus dicere vult: nunc tibi licet, si nobiscum te velis coniungere, neminem submisse veneranti — vivere. Item IV, 8, 4: ἔξεστιν ὑμῖν — οὖσι — εὐεργέτας γενέσθαι. Sed γενόμενον — προσκυνοῦντα esset: nunc tibi licet te nobiscum coniungere et — vivere. Eundem autem sensum praeberet dativus bis positus, ut est IV, 3, 19. Prorsus alius rationis sunt Cyrop. V, 4, 20. Comment. I, 1, 9, ubi post ἔξεστι participii dativum mox excipit accusativus infinitivo additus, ad quos locos v. adnotata. — De notione verbi προσκυνεῖν et de hoc Persarum more v. ad Ages. I, 34.

τὰ ἑαυτοῦ] *dein Eigenthum.* De hoc pronomine primae loco et secundae personae usurpato v. ad Oecon. X, 5. Cyrop. I, 6, 35. VI, 3, 27. Comment. I, 4, 9. II, 1, 30. 6, 35.

§. 36. καίτοι] atqui, *und ich meine doch.* Item paullo post.

αὔξειν μή] *nicht etwa.*

δέοις] Cobetus comparat Eurip. Troad. 792: τίνος ἐνδέομεν μὴ οὐ πανσυδίᾳ χωρεῖν ὀλέθρου διὰ παντός. Contra rectum esset δέοιο, si sequeretur πρὸς τὸ εὐδαίμων εἶναι.

μὴ οὐχί] V. ad III, 3, 6. Nam δεῖν habet vim negativam et altera negatio latet in interrogatione.

γοῦν σοι. Ἐγὼ τοίνυν, ἔφη, ἐὰν βασιλεὺς ἄλλον μὲν στρατηγὸν πέμπῃ, ἐμὲ δὲ ὑπήκοον ἐκείνου τάττῃ, βουλήσομαι ὑμῖν καὶ φίλος καὶ σύμμαχος εἶναι· ἐὰν μέντοι μοι τὴν ἀρχὴν προστάττῃ, τοιοῦτόν τι, ὡς ἔοικε, φιλοτιμία ἐστίν, εὖ χρὴ εἰδέναι, ὅτι πολεμήσω ὑμῖν ὡς ἂν δύνωμαι ἄριστα. Ἀκούσας ταῦτα ὁ Ἀγησίλαος ἐλάβετο 38 τῆς χειρὸς αὐτοῦ καὶ εἶπεν, Εἴθ', ὦ λῷστε, σὺ τοιοῦτος ὢν φίλος ἡμῖν γένοιο. Ἓν δ' οὖν, ἔφη, ἐπίστω, ὅτι νῦν τε ἄπειμι ὡς ἂν δύνωμαι τάχιστα ἐκ τῆς χώρας τῆς σῆς, τοῦ τε λοιποῦ, κἂν πόλεμος ᾖ, ἕως ἂν ἐπ' ἄλλον ἔχωμεν στρατεύεσθαι, σοῦ τε καὶ τῶν σῶν ἀφεξόμεθα.

Τούτων δὲ λεχθέντων, διέλυσε τὴν σύνοδον. Καὶ 39 ὁ μὲν Φαρνάβαζος ἀναβὰς ἐπὶ τὸν ἵππον ἀπῄει, ὁ δὲ ἐκ τῆς Παραπίτας υἱὸς αὐτοῦ, καλὸς ἔτι ὤν, ὑπολειφθεὶς καὶ προςδραμών, Ξένον σε, ἔφη, ὦ Ἀγησίλαε, ποιοῦμαι. Ἐγὼ δέ γε δέχομαι. Μέμνησό νυν, ἔφη. Καὶ εὐθὺς τὸ παλτόν, εἶχε δὲ καλόν, ἔδωκε τῷ Ἀγησιλάῳ. Ὁ δὲ δεξάμενος, φάλαρα ἔχοντος περὶ τῷ ἵππῳ Ἰδαίου τοῦ γραφέως πάγκαλα, περιελὼν ἀντέδωκεν αὐτῷ. Τότε μὲν οὖν ὁ παῖς ἀναπηδήσας ἐπὶ τὸν ἵππον μετεδίωκε τὸν πατέρα. Ὡς δ' ἐν τῇ τοῦ Φαρναβάζου ἀποδημίᾳ 40 ἀποστερῶν ἀδελφὸς τὴν ἀρχὴν φυγάδα ἐποίησε τὸν τῆς Παραπίτας υἱόν, τά τ' ἄλλα ὁ Ἀγησίλαος ἐπεμελεῖτο

§. 38. B. ἐκ τῆς σῆς χώρας.

§. 39. διέλυσε B. C. D. E. I. V. marg. Leoncl. Dind. pro διέλυσαν. — τὴν σύνοδον B. D. Schneid. Dind. pro τὸν σύλλογον. — C. ὢν ἔτι. — V. δὲ pro δέ γε. — μέμνησό νυν Both. Dind. pro μέμνησο νῦν. — Edd. vett. ἔχων pro ἔχοντος.

§. 40. Dind. ἀδελφὸς; Schneid. Weisk. ὁ ἀδελφὸς pro ἀδελφὸς.

§. 37. *τοιοῦτόν τι — ἐστιν*] Haec parenthesis causam indicat subsequentis sententiae. Sensus est: nam tale quid sive tali natura est gloriae cupiditas, ut scil. imperium a rege mihi oblatum vestrae praeferam amicitiae.

§. 38. *ἄπειμι*] pro futuro accipiendum.

§. 39. *καλὸς ἔτι ὤν*] Weiskius comparat ἔτι ὡραῖος ὤν Anab. II, 6, 28.

*Μέμνησό νυν*] Memento igitur. Infra V, 1, 32: ἴτε νυν, agedum. V. ad Cyrop. V, 3, 21. Kuehner. ad Anab. VII, 2, 26: ἴθι νυν.

§. 40. *τά τ' ἄλλα — ἐπεμελεῖτο*] De accusativo v. ad Oecon. VII, 34. Comment. II, 9, 4. Infra V, 4, 4. Cf. etiam adn. ad III, 1, 1. IV, 5, 19.

αὐτοῦ, καὶ ἐρασθέντος αὐτοῦ τοῦ Εὐάλκους υἱέος Ἀθηναίου, πάντ' ἐποίησεν, ὅπως ἂν δι' ἐκεῖνον ἐγκριθείη τὸ στάδιον ἐν Ὀλυμπίᾳ, μέγιστος ὢν τῶν παίδων.

41 Καὶ τότε δή, ὥσπερ εἶπε πρὸς τὸν Φαρνάβαζον, Ch. s. 391. εὐθὺς ἀπεπορεύετο ἐκ τῆς χώρας· σχεδὸν δὲ καὶ ἔαρ ἤδη ὑπέφαινεν. Ἀφικόμενος δὲ εἰς Θήβης πεδίον κατεστρατοπεδεύσατο περὶ τὸ τῆς Ἀστυρηνῆς Ἀρτέμιδος ἱερόν, καὶ ἐκεῖ πρὸς ᾧ εἶχε συνέλεγε πανταχόθεν παμπληθὲς στράτευμα. Παρεσκευάζετο γὰρ πορευσόμενος ὡς δύναιτο ἀνωτάτω, νομίζων ὁπόσα ὄπισθεν ποιήσαιτο ἔθνη πάντα ἀποστερήσειν βασιλέως.

— Εὐάλκους Dind. pro Εὐαλκοῦς. — υἱέος B. D. V. Schneid. Dind. pro υἱέως.

§. 41. ἐκ τῆς B. D. E. F. I. V. Schneid. Dind. pro ἀπὸ τῆς. — σχεδὸν δὲ καὶ ἔαρ ἤδη ὑπέφαινε B. C. D. E. F. I. V. Dind. pro σχεδὸν δέ τι καὶ ἔαρ ὑπέφαινε ἤδη. — Cast. om. τὸ post περὶ. — Ἀστυρηνῆς Dind. pro Ἀστυρήνης, quod est in B. D., ceteri Ἀστυρίνης vel Ἀστυρίης. — Dind. ex coni. Voigtlaenderi ἀποστήσειν recepit pro ἀποστερήσειν.

τοῦ Εὐάλκους υἱέος] Plutarch. Ages. XIII, 2: ἠράσθη γὰρ ἀθλητοῦ παιδὸς ἐξ Ἀθηνῶν· ἐπεὶ δὲ μέγας ὢν καὶ σκληρὸς Ὀλυμπιάσιν ἐκινδύνευσεν ἐκκριθῆναι, καταφεύγει πρὸς τὸν Ἀγησίλαον ὁ Πέρσης, δεόμενος ὑπὲρ τοῦ παιδός.

ἐκεῖνον] pertinet ad αὐτοῦ, h. e. ad Pharnabazi filium.

ἐγκριθείη τὸ στάδιον] ut illius causa in stadium admitteretur. De accusativo cum verbis agonisticis coniuncto v. Bernhardy. Synt. p. 111. et 213. Buttm. §. 131. adn. 11. a. Rost. §. 160. 4. d. Kuehn. §. 278. 2. Infra IV, 5, 2: ἃ τῶν ἄθλων — ἐνικήθη —, ἃ — ἐκηρύχθησαν. Dindorf. comparat Georg. Sync. p. 239 B: Πυθαγόρας ὁ Σάμιος Ὀλυμπιάσιν ἐκκριθεὶς παίδων πυγμὴν ὡς ἁπαλὸς προσβὰς τοὺς ἄνδρας ἐνίκα.

μέγιστος ὢν] quanquam maximus erat. Verebatur igitur Pharnabazi filius, ne amasius propter corporis magnitudinem á certamine puerorum excluderetur.

§. 41. ἔαρ — ὑπέφαινε] V. ad III, 4, 16.

Θήβης] in Troade sitae.

Ἀστυρηνῆς] ab Ἄστυρα, pago regionis Troianae, ubi erat templum Dianae. Strab. XIII, p. 606. 613.

πορευσόμενος] sine ὡς, quod post verbum παρασκευάζεσθαι participio futuri praeter h. l. Xenophon ubique addit. Ex Thucydide Dindorf. affert II, 91. V, 8. VI, 54. VII, 17, ubi item ὡς omittitur.

ἀποστερήσειν] Hanc lectionem merito tuetur Sauppius ad Comment. I, 7, 5. Kuehner. ad Comment. I, 5, 3. verbum ἀποστερεῖν, ubi abstrahendi vim habeat, construi docet cum genitivo personae et accusativo rei. V. de Venat. XII, 8: εἴ τι βούλονται ἐπιτηδεύειν καλῶν, οὐδενὸς ἀποστερεῖ scil. τὰ κυνηγέσια. Thucyd. I, 40: ὅστις μὴ ἄλλων ἑαυτὸν ἀποστερῶν, ἀσφαλείας δεῖται, i. e. aliis se subducens, ab aliis desciscens. Obstare quidem videtur Cyrop. III, 1, 11: ἢν δὲ τῷ πολέμῳ κρατηθεὶς — ἐπιχειρῶν τις φαίνηται τοὺς δεσπότας ἀποστερεῖν ἑαυτοῦ. Sed nihil impedit, quin hic privandi magis, nostro autem loco abstrahendi notio praevaluerit.

# CAPUT II.

## ARGUMENTUM.

Itaque adiunctis ex Asia sociis eodem itinere rediit, quo Xerxes ad bellum inferendum iverat. Interim quum Corinthii cum sociis de belli ratione consultarent, Lacedaemonii iam in agrum processerant Sicyoniorum. In pugna socii Lacedaemoniorum cedunt praeter Pellenaeos, ipsi vincunt et victores sociorum redeuntes caedunt.

---

*Ἀγησίλαος μὲν δὴ ἐν τούτοις ἦν. Οἱ δὲ Λακεδαι-* 1
*μόνιοι ἐπεὶ σαφῶς ᾔσθοντο τά τε χρήματα ἐληλυθότα εἰς τὴν Ἑλλάδα καὶ τὰς μεγίστας πόλεις συνεστηκυίας ἐπὶ πολέμῳ πρὸς ἑαυτούς, ἐν κινδύνῳ τε τὴν πόλιν ἐνόμισαν καὶ στρατεύειν ἀναγκαῖον ἡγήσαντο εἶναι.*
*Καὶ αὐτοὶ μὲν ταῦτα παρεσκευάζοντο, εὐθὺς δὲ καὶ* 2
*ἐπὶ τὸν Ἀγησίλαον πέμπουσιν Ἐπικυδίδαν. Ὁ δ' ἐπεὶ ἀφίκετο, τά τε ἄλλα διηγεῖτο ὡς ἔχοι καὶ ὅτι ἡ πόλις*
*ἐπιστέλλοι αὐτῷ βοηθεῖν ὡς τάχιστα τῇ πατρίδι. Ὁ δὲ* 3
*Ἀγησίλαος ἐπεὶ ἤκουσε, χαλεπῶς μὲν ἤνεγκεν, ἐνθυμούμενος, καὶ οἵων τιμῶν καὶ οἵων ἐλπίδων ἀπεστερεῖτο, ὅμως δὲ συγκαλέσας τοὺς συμμάχους ἐδήλωσε τὰ ὑπὸ τῆς πόλεως παραγγελλόμενα καὶ εἶπεν, ὅτι ἀναγκαῖον εἴη βοηθεῖν τῇ πατρίδι· ἐὰν μέντοι ἐκεῖνα*

Cap. II. §. 2. *δὲ καὶ* B. Ald. Cast. Schneid. Dind. pro *δὲ*.
§. 3. *καὶ οἵων τιμῶν* B. C. D. F. Dind., Schneid., ut Gail. ex B. C. D. refert, *οἵων καὶ τιμῶν*, ceteri om. *καὶ*. — *ἀπεστερεῖτο* B. D. Schneid., *ἀποστεροῖτο* F. Dind., *ἀπεστεροῖτο* C., ceteri *ἀπεστέρητο*, cui *ει* superscribit V. — *συγκ.* et *συμμ.* B.D. Dind. pro *ξυγκ.* et *ξυμμ.* — *ἐὰν μέντοι* B. C. D. I. V. Steph. Leoncl. Wells. Schneid. Dind., *κἂν μέντοι* E., ceteri *κἄν τοι*. — Edd. vett. *πράξας* pro *πράξων*.

Cap. II. §. 1. *οἱ δὲ Λακεδαιμόνιοι*] His verbis recurritur ad ea quae narrata sunt III, 5.
*τά τε χρήματα*] V. III, 5, 1.
*πρὸς ἑαυτούς*] contra Lacedaemonios.
§. 2. *ταῦτα*] quae ad bellum pertinerent.
*Ἐπικυδίδαν*] Cf. Plutarch. Ages. XV, 2.
§. 3. *τοὺς συμμάχους*] h. e. Graecos Asiaticos, quod apparet ex verbis *οὐ μὴ λάθωμαι ὑμῶν* et ex §. 8. IV, 3, 2. Cf. etiam Ages. I, 38. Alii perperam intelligebant milites Lacedaemonios, quibus, num manerent, an sequerentur Agesilaum ad defendendam patriam non fuisse relinquendum per se patet.
*ἐκεῖνα*] i. e. *τὰ ἐν τῇ πατρίδι* sive *τἀκεῖ*, quod est §. 4 et VI, 2,

καλῶς γένηται, εὖ ἐπίστασθε, ἔφη, ὦ ἄνδρες σύμμαχοι,
ὅτι οὐ μὴ ἐπιλάθωμαι ὑμῶν, ἀλλὰ πάλιν παρέσομαι
4 πράξων ὧν ὑμεῖς δεῖσθε. Ἀκούσαντες δὲ ταῦτα πολ-
λοὶ μὲν ἐδάκρυσαν, πάντες δ' ἐψηφίσαντο βοηθεῖν μετ'
Ἀγησιλάου τῇ Λακεδαίμονι· εἰ δὲ καλῶς τἀκεῖ γένοιτο,
5 λαβόντες αὐτὸν πάλιν ἥκειν εἰς τὴν Ἀσίαν. Καὶ οἱ μὲν
δὴ συνεσκευάζοντο ὡς ἀκολουθήσοντες. Ὁ δ' Ἀγη-
σίλαος ἐν μὲν τῇ Ἀσίᾳ κατέλιπεν Εὔξενον ἁρμοστὴν
καὶ φρουροὺς παρ' αὐτῷ οὐκ ἔλαττον τετρακισχιλίων,
ἵνα δύναιτο διασώζειν τὰς πόλεις· αὐτὸς δὲ ὁρῶν, ὅτι
οἱ πολλοὶ τῶν στρατιωτῶν μένειν ἐπεθύμουν μᾶλλον
ἢ ἐφ' Ἕλληνας στρατεύεσθαι, βουλόμενος ὡς βελτί-
στους καὶ πλείστους ἄγειν μεθ' ἑαυτοῦ, ἆθλα προὔ-
θηκε ταῖς πόλεσιν, ἥτις ἄριστον στράτευμα πέμποι, καὶ
τῶν μισθοφόρων τοῖς λοχαγοῖς, ὅςτις εὐοπλότατον λό-
χον ἔχων συστρατεύοιτο καὶ ὁπλιτῶν καὶ τοξοτῶν καὶ
πελταστῶν. Προεῖπε δὲ καὶ τοῖς ἱππάρχοις, ὅςτις εὐ-
ιπποτάτην καὶ εὐοπλοτάτην τάξιν παρέχοιτο, ὡς καὶ
6 τούτοις νικητήριον δώσων. Τὴν δὲ κρίσιν ἔφη ποιή-

§. 4. F. V. om. δὲ. — πολλοὶ C. D. E. V. Schneid. Dind., B. πολὺ, ceteri πολλὰ. — ἐψηφίσαντο B. C. D. E. V. marg. Leoncl. Schneid. Dind., ἀπεψηφίσ. C., ceteri ἐπεψηφίσ.

§. 5. συνεσκ. Dind., ceteri ξυνεσκ.

14. Cf. IV, 3, 2: ἐὰν καὶ τάδε εὖ γένηται et V, 2, 15.

ὅτι οὐ μὴ ἐπιλάθωμαι] non verendum esse, ne vestri obliviscar. V. ad Hier. XI, 15. Cyrop. III, 2, 8. Cum sententia totius loci cf. Ages. I, 36. Plutarch. Ages. XV, 4: Ἀγησιλάῳ μέντοι οὐδὲν κρεῖσσον ἢ μεῖζόν ἐστι τῆς ἀναχωρήσεως ἐκείνης διαπεπραγμένον, οὐδὲ γέγονε παράδειγμα πειθαρχίας καὶ δικαιοσύνης ἕτερον κάλλιον.

§. 4. λαβόντες αὐτόν] significantius quam μετ' αὐτοῦ.

§. 5. τῶν στρατιωτῶν] Milites Lacedaemonios, qui, Persarum timiditate cognita, mollitie divitiisque eorum frui quam contra Graecos in patria bellare maluissent, intelligebat Schneiderus. De Asiaticis potius hic quoque sermonem esse cognoscitur ex iis, quae statim narrantur de praemiis, quibus propositis invitos et renitentes urbium Asiaticarum incolas ad expeditionis societatem Agesilaus excitat. Recte enim vidit Grotius H. G. V. p. 248. eosdem socios, qui primum, quum ephororum nuntius advenisset, Lacedaemoni succurrendi studio incensi fuissent, deinde quum in Graecia contra Graecos pugnandum esse secum reputarent, magnam partem voluisse in Asia manere. V. etiam quae dixi ad §. 3.

βελτίστους καὶ πλείστους] Item Cyrop. I, 4, 17: βελτίστους καὶ πλείστους. V, 3, 44. VIII, 1, 12: μέγισται καὶ πλεῖσται. Plura v. apud Kuehner. ad Comment. I, 2, 24.

προεῖπε] Repete ἆθλα.

σειν, ἐπεὶ διαβαίησαν ἐκ τῆς Ἀσίας εἰς τὴν Εὐρώπην,
ἐν Χερρονήσῳ, ὅπως εὖ εἰδείησαν, ὅτι τοὺς στρατευο-
μένους δεῖ εὐκρινεῖν. Ἦν δὲ τὰ ἆθλα τὰ μὲν πλεῖστα 7
ὅπλα ἐκπεπονημένα εἰς κόσμον καὶ ὁπλιτικὰ καὶ ἱππι-
κά· ἦσαν δὲ καὶ στέφανοι χρυσοῖ· τὰ δὲ πάντα ἆθλα
οὐκ ἔλαττον ἐγένοντο ἢ ἀπὸ τεττάρων ταλάντων. Το-
σούτων μέντοι ἀναλωθέντων, παμπόλλων χρημάτων
ὅπλα εἰς τὴν στρατιὰν κατεσκευάσθη. Ἐπεὶ δὲ διέβη 8
τὸν Ἑλλήσποντον, κριταὶ κατέστησαν Λακεδαιμονίων
μὲν Μένασκος καὶ Ἡριππίδας καὶ Ὄρσιππος, τῶν δὲ
συμμάχων εἷς ἀπὸ πόλεως. Καὶ Ἀγησίλαος μέν, ἐπεὶ τὴν
κρίσιν ἐποίησεν, ἔχων τὸ στράτευμα ἐπορεύετο τὴν αὐ-
τὴν ὁδόν, ἥνπερ βασιλεὺς ὅτε ἐπὶ τὴν Ἑλλάδα ἐστράτευεν.
Ἐν δὲ τούτῳ οἱ μὲν ἔφοροι φρουρὰν ἔφηναν· ἡ δὲ 9
πόλις, ἐπεὶ Ἀγησίπολις παῖς ἔτι ἦν, Ἀριστόδημον τοῦ
γένους ὄντα καὶ πρόδικον τοῦ παιδός, ἡγεῖσθαι τῇ
στρατιᾷ ἐκέλευον. Ἐπεὶ δ' ἐξῄεσαν μὲν οἱ Λακεδαιμό- 10

§. 6. στρατευομένους B. D. V. Dind., στρατευσόμενος F., στρατευσαμένους Steph., ceteri στρατευσομένους.
§. 7. E. ἐγίνοντο, Steph. Leoncl. Wells. ἐγένετο pro ἐγένοντο.
§. 8. συμμ. B. D. Dind. pro ξυμμ.
§. 9. ἔφηναν D. F. V. marg. Leoncl. Dind. pro ἔφαινον.
§. 10. B. ἐξήνεγκαν pro ἐξῄεσαν. — συν. B. D. Dind. pro ξυν. —

§. 6. εὐκρινεῖν] Morus: „diligenter omnia exsequi." διευκρινεῖν exstat Oecon. VIII, 6. et 9. et saepius apud recentiores; sed εὐκρινεῖν alibi non reperitur.

§. 7. ἔλαττον] extra structuram. V. ad III, 2, 19. 4, 13.

ἐγένοντο] De plurali numero v. ad I, 1, 23. Addas II, 3, 8. VII, 2, 8.

τοσούτων μέντοι ἀναλωθέντων] Verum tantis sumptibus factis id certe effecit Agesilaus, ut socii Asiatici permagnis pecuniis (quae quatuor illa talenta in praemia collata longe superarent) arma compararent exercitui. Hic sensus fugit Schneiderum et Dindorfium, quorum ille ὅμως aut ἔτι post παμπόλλων inserendum, hic χρημάτων πάμπολλα scribendum putabat.

§. 8. εἷς ἀπὸ πόλεως] singuli ex singulis urbibus. Cf. ἕνα ἀπὸ φυλῆς II, 4, 24.

τὴν αὐτὴν ὁδόν] Ages. II, 1: ἐπορεύετο διὰ τῶν αὐτῶν ἐθνῶν, ὧνπερ Πέρσης τῷ παμπληθεῖ στόλῳ, Xerxes scil. a. 480.

§. 9. φρουρὰν ἔφηναν] V. ad III, 2, 23.

Ἀγησίπολις] Pausaniae, de quo III, 5, 25 narratum est, filius.

τοῦ γένους — τοῦ παιδός] agnatum et tutorem pueri. Quem Attici ἐπίτροπον, eum Spartani πρόδικον appellabant teste Plutarch. Lycurg. III. Cf. Pausan. III, 5, 7: Παυσανίου δὲ φυγόντος οἱ μὲν παῖδες Ἀγησίπολις καὶ Κλεόμβροτος νέοι παντάπασιν ἔτι ἦσαν· Ἀριστόδημος δὲ ἐπετρόπευεν αὐτούς, γένους ἐγγύτατα ὤν.

ἐκέλευον] Refertur ad πόλις per synesin, de qua v. ad IV, 3, 2.

σύμμαχοι ἐν τῷ Σικυῶνι. Ἐμβαλόντων δὲ αὐτῶν κατὰ τὴν Ἐπιεικίαν, τὸ μὲν πρῶτον ἐκ τῶν ὑπερδεξίων βάλλοντες αὐτοὺς καὶ τοξεύοντες μάλα κακῶς ἐποίουν οἱ
15 γυμνῆτες τῶν ἀντιπάλων· ὡς δὲ κατέβησαν ἐπὶ θάλατταν, ταύτῃ προήεσαν διὰ τοῦ πεδίου τέμνοντες καὶ κάοντες τὴν χώραν· καὶ οἱ ἕτεροι μέντοι ἐπελθόντες κατεστρατοπεδεύσαντο, ἔμπροσθεν ποιησάμενοι τὴν χαράδραν· ἐπεὶ δὲ προϊόντες Λακεδαιμόνιοι οὐκέτι δέκα στάδια ἀπεῖχον τῶν πολεμίων, κἀκεῖνοι αὐτοῦ στρατοπεδευσάμενοι ἡσυχίαν εἶχον.

16 Φράσω δὲ καὶ τὸ πλῆθος ἑκατέρων. Συνελέγησαν γὰρ ὁπλῖται Λακεδαιμονίων μὲν εἰς ἑξακισχιλίους, Ἠλείων δὲ καὶ Τριφυλίων καὶ Ἀκρωρείων καὶ Λασιω-

§. 14. συμμ. B. D. Dind. pro ξυμμ. — C. ἐμβαλλόντων. — V. Steph. Ἐπιείκειαν. — V. om. οἱ ante γυμνῆτες.

§. 15. Ante θάλατταν om. τὴν B. D. E. F. V. Dind. — προήεσαν Leoncl. Mor. edd. sqq. pro προςήεσαν. — ἐπελθόντες Dind. pro vulg. ἐλθόντες; B. C. D. E. F. I. K. marg. Leoncl. ἀπελθόντες.

§. 16. B. D. Dinf. Συνελ. pro Ξυνελ. — Τριφυλίων B. marg. Leoncl. Weisk. Dind. pro Τριφυλλ. — A. E. V. edd. vett. Ἀκρωρίων.

ἐμβαλόντων] in agrum Corinthiacum.

Ἐπιεικίαν] montem vel loca montosa, de quorum situ v. ad IV, 4, 13.

τῶν ἀντιπάλων] Corinthiorum cum sociis.

§. 15. θάλατταν] Grotius H. G. V, 244 intelligit sinum Saronicum. Non recte, si quidem, ut ipsa verba κατέβησαν ἐπὶ θάλατταν ostendunt, monte transcenso statim ad mare perveniunt. Res, ni fallor, sic se habet: adversarii Lacedaemoniorum, in ipsorum terram, si fieri posset, bellum illaturi, Corintho profecti usque ad Nemeam progressi erant, quum Lacedaemonios iam Sicyonem pervenisse nuntium acceperunt. Tum, mutato consilio, suae terrae succursuri versus confinia Sicyonii et Corinthii agri contendunt. Praemissis levis armaturae militibus ad prohibendos vel vexandos hostes, qui per Epiiciam in terram Corinthiam invasuros esse audiverant, reliquus exercitus (οἱ ἕτεροι) procedit ad vallem (χαράδραν, de qua voce v. Weissenborn. ad Livii l. c.), per quam fluebat Nemea fluvius, ibique castra collocat. Quid agerent Corinthii, certiores facti Lacedaemonii, postquam agros inter Sicyonem et Corinthum iacentes sinui Corinthiaco vicinos depopulati sunt, versus eam regionem se convertunt, ubi castra a Corinthiis posita esse allatum erat.

καὶ — μέντοι] fortius quum καὶ — δέ. Cf. Anab. I, 8, 20. Cyrop. I, 4, 9. 20.

ἐπελθόντες] Grotius l. c. praefert meliorum codicum scripturam ἀπελθόντες, quia Corinthii a Nemea restrorsum profecti essent. Sed hoc esset non ἀπελθόντες, sed ἀναστρέψαντες vel στρέψαντες. Sensus est: quum etiam ceteri (h. e. reliquus exercitus) accessissent, scil. eo, quo οἱ γυμνῆτες relictis montibus descenderant. Sic recte habet ἐπελθόντες. Alii οἱ ἕτεροι accipiunt pro οἱ πολέμιοι, ut est VII, 5, 8. Qui quomodo ἐπελθόντες interpretari velint, nescio.

νίων ἐγγὺς τρισχίλιοι καὶ Σικυωνίων πεντακόσιοι καὶ χίλιοι, Ἐπιδαυρίων δὲ καὶ Τροιζηνίων καὶ Ἑρμιονέων καὶ Ἁλιέων ἐγένοντο οὐκ ἐλάττους τρισχιλίων. Πρὸς δὲ τούτοις ἱππεῖς μὲν Λακεδαιμονίων περὶ ἑξακοσίους, Κρῆτες δὲ τοξόται ἠκολούθουν ὡς τριακόσιοι, καὶ μὴν σφενδονῆται Μαργανέων καὶ Λετρίνων καὶ Ἀμφιδόλων οὐκ ἐλάττους τετρακοσίων. Φλιάσιοι μέντοι οὐκ ἠκολούθουν· ἐκεχειρίαν γὰρ ἔφασαν ἔχειν. Αὕτη μὲν δὴ ἡ μετὰ Λακεδαιμονίων δύναμις ἦν. Ἥ γε μὴν τῶν πο- 17
λεμίων ἠθροίσθη Ἀθηναίων μὲν εἰς ἑξακισχιλίους ὁπλίτας, Ἀργείων δ' ἐλέγοντο περὶ ἑπτακισχιλίους, Βοιωτῶν δέ, ἐπεὶ Ὀρχομένιοι οὐ παρῆσαν, περὶ πεντακισχιλίους, Κορινθίων γε μὴν εἰς τρισχιλίους, καὶ μὴν ἐξ Εὐβοίας ἁπάσης οὐκ ἐλάττους τρισχιλίων. Ὁπλιτικὸν μὲν δὴ τοσοῦτον· ἱππεῖς δὲ Βοιωτῶν μὲν [, ἐπεὶ Ὀρχομένιοι οὐ παρῆσαν,] εἰς ὀκτακοσίους, Ἀθηναίων δ' εἰς ἑξακοσίους, καὶ Χαλκιδέων τῶν ἐξ Εὐβοίας εἰς ἑκατόν, Λοκρῶν δὲ τῶν Ὀπουντίων εἰς πεντήκοντα. Καὶ ψιλῶν

— *Λασιωνίων* Schneid. Dind. pro *Δασιωνέων*. — Ante *Συκιωνίων* om. *οἱ* B. D. F. I. V. Dind. — *Λετρίνων*, suasu Schneideri, Dind. pro *Λεδρίνων*, marg. Leoncl. *Λεπρίνων*. — *ἡ* post *δὴ* addidit Dind.

§. 17. V. *Θηβαίων δὲ εἰς ἑξακοσίους καὶ χιλίους* pro *Ἀθηναίων δ' εἰς ἑξακοσίους*. — V. om. *εἰς* ante *ἑκατόν*. — *ψιλῶν* B. D. et fortasse C. pro *ψιλόν*. — *σὺν* B. D. Dind. pro *ξὺν*.

§. 16. *αὕτη — ἦν*] quatuordecim milia ducenti pedites, sexcenti equites. Contra Diodor. XIV, 83: *ἀθροίσαντες πεζοὺς μὲν δισμυρίους τρισχιλίους, ἱππεῖς δὲ πεντακοσίους ἀπήντησαν τοῖς πολεμίοις*. Differentia numerorum a Xenophonte et Diodoro traditorum tanta est, ut cum Schneidero et Grotio excidisse quaedam merito supicemur, praesertim quum Tegeatae, Mantineenses et Achaei non adnumeratos videamus, qui commemorantur §. 13. 18.

§. 17. [*ἐπεὶ Ὀρχομένιοι οὐ παρῆσαν*]] Haec verba uncis inclusi: ex antecedentibus inepte repetita ferri non possunt. De re cf. III, 5, 6. extr.

*καὶ ψιλῶν δὲ — πλέον ἦν*] Ut hoplitarum et equitum numeris Corinthii Lacedaemonios superabant, sic levis etiam armaturae militum cum Corinthiorum copiis maior erat numerus. *τοῖς* pro neutro habendum est, ut *τὰ τῶν Κορινθίων* sunt Corinthiorum copiae, opes. Corinthiorum autem nomen, ut antea Lacedaemoniorum, simul comprehendit socios. Ceterum Diodor. XIV, 82. extr., de Corinthiis narrat: *συνήγαγον ἐξ ἁπασῶν τῶν πόλεων στρατιώτας εἰς Κόρινθον πεζοὺς μὲν πλείους μυρίων πεντακισχιλίων, ἱππεῖς δὲ περὶ πεντακοσίους*. Quas autem Xenophon sociorum copias enumerat, efficiunt viginti quatuor milia peditum et mille quingentos quinquaginta equites, velitibus non numeratis. Qui si tanto numero superiores erant Lacedaemonio-

δὲ σὺν τοῖς τῶν Κορινθίων πλέον ἦν· καὶ γὰρ Λοκροὶ οἱ Ὀζόλαι καὶ Μηλιεῖς καὶ Ἀκαρνᾶνες παρῆσαν αὐτοῖς.
18 Αὕτη μὲν δὴ ἑκατέρων ἡ δύναμις ἐγένετο. Οἱ δὲ Βοιωτοὶ ἕως μὲν τὸ εὐώνυμον εἶχον, οὐδέν τι κατήπειγον τὴν μάχην συνάπτειν· ἐπεὶ δὲ οἱ μὲν Ἀθηναῖοι κατὰ Λακεδαιμονίους ἐγένοντο, αὐτοὶ δὲ τὸ δεξιὸν ἔσχον καὶ κατ' Ἀχαιοὺς ἀντετάχθησαν, εὐθὺς τά τε ἱερὰ καλὰ ἔφασαν εἶναι καὶ παρήγγειλαν παρασκευάζεσθαι ὡς μάχης ἐσομένης. Καὶ πρῶτον μὲν ἀμελήσαντες τοῦ εἰς ἑκκαίδεκα βαθεῖαν παντελῶς ἐποιήσαντο τὴν φάλαγγα, ἔτι δὲ καὶ ἦγον ἐπὶ τὰ δεξιά, ὅπως ὑπερέχοιεν τῷ κέρατι τῶν πολεμίων· οἱ δὲ Ἀθηναῖοι, ἵνα μὴ διασπασθείησαν, ἐπηκολούθουν, καίπερ γιγνώσκοντες, ὅτι κίνδυ-
19 νος εἴη κυκλωθῆναι. Τέως μὲν οὖν οἱ Λακεδαιμόνιοι οὐκ ᾔσθάνοντο προσιόντων τῶν πολεμίων· καὶ γὰρ ἦν λάσιον τὸ χωρίον· ἐπεὶ δ' ἐπαιάνισαν, τότε δὴ ἔγνωσαν καὶ εὐθὺς ἀντιπαρήγγειλαν ἅπαντας διασκευάζεσθαι

§. 18. V. μαχεσομένοις pro μάχης ἐσομένης. — διασπασθείησαν B. C. D. F. I. V. Steph. Schneid. Dind. pro διασπασθῶσι.
§. 19. A. edd. vett. ἅπαντες pro ἅπαντας. — V. συσκευάζεσθαι

rum exercitu, intelligi vix potest, qua ratione, ne sua acies circumiretur ab hostibus, veriti sint. V. §. 13. 18. extr.

§. 18. *κατὰ Λακεδαιμονίους*] e regione Lacedaemoniorum.

*αὐτοὶ δὲ τὸ δεξιὸν ἔσχον*] Inde apparet, summum imperium et proelium ineundi potestatem civitates alias aliis diebus habuisse. Quae habebat, ea dextrum cornu tenebat. Boeoti — hoc dicere videtur Xenophon — antequam ipsi in dextro cornu collocati erant, iis, qui imperium habebant, proelium committere dissuaserant (*οὐδέν τι κατήπειγον τὴν μάχην*), ubi autem ipsi in dextro latere constiterunt, statim signum dederunt pugnae, quia sic collocatis non contra Spartanos pugnandum erat.

*ὡς — ἐσομένης*] V. ad III, 4, 1. 23.

*ἀμελήσαντες τοῦ εἰς ἑκκαίδεκα*] scil. *ποιεῖσθαι τὴν φάλαγγα*. Cf. IV, 3, 6. Ergo decretum erat non plus quam in denos ac senos (*nicht mehr als 16 M. tief*) aciem instruere, de qua re deliberatio commemorata est §. 13. Postea, commissa pugna, aciem magis distractam esse indicari videtur per *πρῶτον μέν*. De *μέν* solitario v. ad III, 1, 5. IV, 1, 7.

*βαθεῖαν παντελῶς*] V. ad II, 4, 34.

*κυκλωθῆναι*] scil. a sinistra, si ad dextram acies longius procederet.

§. 19. *ἐπαιάνισαν*] οἱ πολέμιοι.

*διασκευάζεσθαι*] Hoc uno loco apud Xenophontem hoc verbum invenitur eo fere sensu, quo alibi *παρασκευάζεσθαι* vel *συσκευάζεσθαι*. Etiam Thucyd. non nisi IV, 38: *διεσκευάζοντο ὡς ἐς πλοῦν*, ceteris locis *παρασκευάζεσθαι* in eadem formula dicit. V. ibi Poppo.

ὡς εἰς μάχην. Ἐπεὶ δὲ συνετάχθησαν ὡς ἑκάστους οἱ
ξεναγοὶ ἔταξαν, παρηγγύησαν μὲν ἀκολουθεῖν τῷ ἡγου-
μένῳ, ἦγον δὲ καὶ οἱ Λακεδαιμόνιοι ἐπὶ τὰ δεξιά, καὶ
οὕτω πολὺ ὑπερέτεινον τὸ κέρας, ὥςτε τῶν Ἀθηναίων
αἱ μὲν ἓξ φυλαὶ κατὰ τοὺς Λακεδαιμονίους ἐγένοντο,
αἱ δὲ τέτταρες κατὰ Τεγεάτας. Οὐκέτι δὲ στάδιον ἀπε- 20
χόντων, σφαγιασάμενοι οἱ Λακεδαιμόνιοι τῇ Ἀγροτέρᾳ,
ὥςπερ νομίζεται, τὴν χίμαιραν, ἡγοῦντο ἐπὶ τοὺς ἐναν-
τίους, τὸ ὑπερέχον ἐπικάμψαντες εἰς κύκλωσιν. Ἐπεὶ
δὲ συνέμιξαν, οἱ μὲν ἄλλοι σύμμαχοι πάντες οἱ τῶν Λα-
κεδαιμονίων ἐκρατήθησαν ὑπὸ τῶν ἐναντίων, Πελλη-
νεῖς δὲ κατὰ Θεσπιέας γενόμενοι ἐμάχοντό τε καὶ ἐν
χώρᾳ ἔπιπτον ἑκατέρων. Αὐτοὶ δὲ οἱ Λακεδαιμόνιοι 21

pro διασκευάζεσθαι. — A. edd. vett. πολὺ ὑπερετείναντο. — D. pr. E. F. I. V. φυλακαὶ, marg. D. φάλαγγες pro φυλαί.

§. 20. F. om. τὸ ὑπερέχον.

ὡς εἰς μάχην] V. ad III, 4, 11.

παρηγγύησαν] „Non solebant in Spartanorum exercitu ducis imperia classico aut signis denunciari, quoniam id facile etiam hostes sentiebant, sed voce quasi per manus tradi, ita ut milites suo quisque παραστάτῃ et ἐπιστάτῃ quae facere iuberentur, nuntiarent. Haasius ad Xen. Remp. Lac. p. 208.

τῷ ἡγουμένῳ] est neutrum. V. Anab. II, 4, 26: τὸ ἡγούμενον τοῦ στρατεύματος. II, 2, 4: ἕπεσθε τῷ ἡγουμένῳ. Idem est quod Lacones dicunt ἄγημα, de quo v. Haas. ad Remp. Lac. p. 274. Heiland. de dial. Xen. p. 4. Kuehner. ad Anab. II, 2, 4.

ἦγον δὲ καὶ — ἐπὶ τὰ δεξιά] ut fecerant hostes §. 18. Ergo utraque sibi opposita acies in partem diversam cedebat, quo factum est, ut Athenienses, qui sinistrum cornu tenebant, a Lacedaemoniis circumirentur §. 21.

φυλαί] Decem tribus militares ex decem tribubus erant compositae, in quas cives Athenienses descripti erant. V. Thucyd. VI, 98. Plura de hac re docent Morus et Schneiderus.

αἱ δὲ τέτταρες] reliquae autem quattuor. De vi articuli v. I, 6, 26: κατέλιπε πεντήκοντα ναῦς —, ταῖς δὲ εἴκοσι καὶ ἑκατὸν, i. e. reliquis autem centum viginti, et ad I, 1, 18, ubi dicere debebam: non solum ubi totum quiddam dictum, sed etiam ubi notum est totum, ut h. l., parti articulum addi.

κατὰ Τεγεάτας] qui iuxta Lacedaemonios a parte sinistra stabant.

§. 20. σφαγιασάμενοι — τῇ Ἀγροτέρᾳ] i. e. Ἀρτέμιδι. V. Haas. ad Remp. Lac. III, 8 (XI, 4): ὅταν γὰρ ὁρώντων ἤδη τῶν πολεμίων χίμαιρα σφαγιάζηται, αὐλεῖν τε πάντας τοὺς παρόντας αὐλητὰς νόμος, καὶ μηδένα Λακεδαιμονίων ἀστεφάνωτον εἶναι. V. ad Ages. I, 31.

Θεσπιέας] De hac forma v. ad III, 5, 6.

ἐν χώρᾳ] eo quo steterant loco, ergo fortissime pugnantes, cadebant. Cf. IV, 5, 10. 8, 39.

ἑκατέρων] Intellige τινές. V. ad III, 2, 14: τῶν — φρουρῶν.

ὅσον τε κατέσχον τῶν Ἀθηναίων ἐκράτησαν, καὶ κυκλωσάμενοι τῷ ὑπερέχοντι πολλοὺς ἀπέκτειναν αὐτῶν, καὶ ἅτε δὴ ἀπαθεῖς ὄντες, συντεταγμένοι ἐπορεύοντο· καὶ τὰς μὲν τέτταρας φυλὰς τῶν Ἀθηναίων πρὶν ἐκ τῆς διώξεως ἐπαναχωρῆσαι παρῆλθον, ὥςτε οὐκ ἀπέθανον
22 αὐτῶν πλὴν εἴ τις ἐν τῇ συμβολῇ ὑπὸ Τεγεατῶν· τοῖς δὲ Ἀργείοις ἐπιτυγχάνουσιν οἱ Λακεδαιμόνιοι ἀναχωροῦσι, καὶ μέλλοντος τοῦ πρώτου πολεμάρχου ἐκ τοῦ ἐναντίου συμβάλλειν αὐτοῖς, λέγεται ἄρα τις ἀναβοῆσαι παρεῖναι τοὺς πρώτους. Ὡς δὲ τοῦτ' ἐγένετο, παραθέοντας δὴ παίοντες εἰς τὰ γυμνὰ πολλοὺς ἀπέκτειναν αὐτῶν. Ἐπελάβοντο δὲ καὶ Κορινθίων ἀναχωρούντων. Ἔτι δ' ἐπέτυχον οἱ Λακεδαιμόνιοι καὶ τῶν Θηβαίων τισὶν ἀναχωροῦσιν ἐκ τῆς διώξεως, καὶ ἀπέκτειναν
23 συχνοὺς αὐτῶν. Τούτων δὲ γενομένων, οἱ ἡττώμενοι τὸ μὲν πρῶτον ἔφευγον πρὸς τὰ τείχη· ἔπειτα δ' εἰρξάντων Κορινθίων πάλιν κατεσκήνησαν εἰς τὸ ἀρχαῖον

§. 21. συντετ. et συμβ. B. D. pro ξυντετ. et ξυμβ.
§. 22. παρεῖναι B. C. D. V. Leoncl. Steph. Dind., παρῆναι A. E., ceteri παριέναι. — A. edd. vett. παραθέοντες. — B. τοὺς γυμνοὺς pro τὰ γυμνά.
§. 23. πρὸς τὰ B. C. D. F. I. Dind. pro ἐς τά. — εἰρξάντων

§. 21. ὅσον — κατέσχον] quatenus eos circumdederant et quodammodo in sua potestate tenebant.

καὶ τὰς μὲν τέτταρας — παρῆλθον] Praeterierunt eum locum, quo reliquae quattuor phylae, antequam Tegeatas persecutae sunt, steterant.

πλὴν εἴ τις] scil. ἀπέθανε. V. Kuehner. ad Anab. V, 3, 3: οἱ δὲ ἄλλοι ἀπώλοντο ὑπό τε τῶν πολεμίων καὶ τῆς χιόνος καὶ εἴ τις νόσῳ. Cyrop. V, 2, 5. Infra V, 3, 3.

§. 22. ἀναχωροῦσι] scil. ἐκ τῆς διώξεως, ut est paullo post. Socii enim Lacedaemoniorum victi erant ab adversariis §. 20. Itaque postquam fugatos hostes persecuti sunt, iam redeunt Argivi. Quos quum iam a fronte invasurus esset primus Spartanorum polemarchus, ex Lacedaemoniis quidam clamans monet, ut primum Argivorum agmen praeterire sinat. Quo facto eos a latere sinistro, armis non munito, adoriuntur.

ἄρα] tum subito.

παρεῖναι] Aoristi magis quam praesentis infinitivus sententiae convenit.

§. 23. τὰ τείχη] Κορίνθου. Sine iusta causa ex his verbis colligit Grotius non ad Nemeam fluvium (de quo v. ad §. 14.), sed ad ipsa Corinthi moenia pugnatum esse. Inspicias chartam Graeciae a Kieperto a. 1851 descriptam. Facile concedas, a Nemea brevi tempore fugientes potuisse ad urbem pervenire.

εἰρξάντων] Demosth. adv. Lept. 53, ex quo loco Schneiderus veram h. l. lectionem restituit, primum a Corinthiis non receptos esse e pugna fugientes Athenienses narrat, deinde vero exsules Corinthios magna Peloponnesiorum multitudine adiutos invita plebe urbis muros patefe-

στρατόπεδον. Λακεδαιμόνιοι δ' αὖ ἐπαναχωρήσαντες, ἔνθα τὸ πρῶτον τοῖς πολεμίοις συνέμιξαν, ἐστήσαντο τρόπαιον. Καὶ αὕτη μὲν δὴ ἡ μάχη οὕτως ἐγένετο.

## CAPUT III.

### ARGUMENTUM.

Nunciatur haec pugna Agesilao, qui continuo civitatibus Asiaticis eandem nuntiari iubet. In Thessalia vexatur a Boeotorum sociis: sed equitibus suis Thessalos ipsos equitatu maxime valentes vincit. Ad Boeotiam accedenti nuntius affertur de infelici pugna navali apud Cnidum facta: quo dissimulato effecit, ut in levi proelio Lacedaemonii superiores discederent. Pugna ad Coroneam in eaque virtus Agesilai. Finito bello decimam partem praedae consecravit Apollini.

Ὁ δ' Ἀγησίλαος σπεύδων μὲν ἐκ τῆς Ἀσίας ἐβοή- 1
θει· ὄντι δ' αὐτῷ ἐν Ἀμφιπόλει ἀγγέλλει Δερκυλίδας, ὅτι νικῷέν τε αὖ Λακεδαιμόνιοι, καὶ αὐτῶν μὲν τεθνάναι ὀκτώ, τῶν δὲ πολεμίων παμπληθεῖς· ἐδήλουν δέ, ὅτι καὶ τῶν συμμάχων οὐκ ὀλίγοι πεπτωκότες εἶεν.
Ἐρομένου δὲ τοῦ Ἀγησιλάου, Ἆρ' ἄν, ὦ Δερκυλίδα, 2
ἐν καιρῷ γένοιτο, εἰ αἱ συμπέμπουσαι πόλεις ἡμῖν τοὺς

Schneid. edd. sqq. pro ἀρξάντων. — κατεσκήνησαν B. D. V. Dind. pro κατεσκήνωσαν. — συνεμ. B. D. Dind. pro ξυνεμ.
Cap. III. §. 1. Δερκυλίδας Dind. pro Δερκυλλίδας.

cisse. E nostro autem loco apparet, postea iterum clausos esse muros sive quia salutem in urbe petentium numerus maior erat, quam quem urbs capere posset, sive quia iram Lacedaemoniorum magis magisque appropinquantium timebant oppidani.

Cap. III. §. 1. Ὁ δ' Ἀγησίλαος] Continuatur IV, 2, 8.

Δερκυλίδας] De quo v. III, 4, 6. Inde in Graeciam videtur rediisse.

νικῷεν] vicisse, victores esse. Buttm. §. 137. adn. 8. Rost. §. 151. 3. additam. 2. Kuehn. §. 255. adn. 1. b.

καὶ] et quidem, quae vis particulae efficere videtur, ut mutetur structura: *und zwar wären von ihnen nur acht gefallen* etc. De infinitivo post ὅτι illato cf. §. 13, supra ad III, 2, 4.

ὀκτὼ — παμπληθεῖς] Ages. VII, 5: ὡς ἐν τῇ ἐν Κορίνθῳ μάχῃ ὀκτὼ μὲν Λακεδαιμονίων, ἐγγὺς δὲ μύριοι τῶν πολεμίων τεθναῖεν. Plutarch. Ages. XVI, 3: Σπαρτιατῶν μὲν ὀλίγους παντάπασι τεθνηκέναι, παμπόλλους δὲ τῶν πολεμίων. Contra ingenti differentia Diodor. XIV, 83: τῶν μὲν Λακεδαιμονίων καὶ τῶν συμμάχων ἔπεσον ἑκατὸν πρὸς τοῖς χιλίοις, Βοιωτῶν δὲ καὶ τῶν ἄλλων συμμάχων περὶ δισχιλίους ὀκτακοσίους.

τῶν συμμάχων] Spartanorum sociorum.

§. 2. αἱ συμπέμπουσαι πόλεις] Asiaticae. V. IV, 2, 5.

στρατιώτας τὴν νίκην ὡς τάχιστα πύθοιντο; ἀπεκρί-
νατο δὴ ὁ Δερκυλίδας, Εὐθυμοτέρους γοῦν εἰκὸς ταῦτ'
ἀκούσαντας εἶναι. Οὐκοῦν σύ, ἐπεὶ παρεγένου, κάλ-
λιστ' ἂν ἀπαγγείλαις; Ὁ δὲ ἄσμενος ἀκούσας, καὶ γὰρ
ἀεὶ φιλαπόδημος ἦν, εἶπεν, Εἰ σὺ τάττοις. Ἀλλὰ
τάττω, ἔφη, καὶ προςαπαγγέλλειν κελεύω, ὅτι, ἐὰν καὶ
τάδε εὖ γένηται, πάλιν παρεσόμεθα, ὥςπερ καὶ ἔφαμεν.
3 Ὁ μὲν δὴ Δερκυλίδας ἐφ' Ἑλληςπόντου πρῶτον ἐπο-
ρεύετο· ὁ δ' Ἀγησίλαος διαλλάξας Μακεδονίαν εἰς Θετ-
ταλίαν ἀφίκετο. Λαρισαῖοι μὲν οὖν καὶ Κραννώνιοι
καὶ Σκοτουσσαῖοι καὶ Φαρσάλιοι, σύμμαχοι ὄντες Βοιω-
τοῖς, καὶ πάντες δὲ Θετταλοί, πλὴν ὅσοι αὐτῶν φυγά-
δες τότ' ἐτύγχανον, ἐκακούργουν αὐτὸν ἐπακολου-
4 θοῦντες. Ὁ δὲ τέως μὲν ἦγεν ἐν πλαισίῳ τὸ στράτευμα,
τοὺς ἡμίσεις μὲν ἔμπροσθεν, τοὺς ἡμίσεις δ' ἐπ' οὐρᾷ
ἔχων τῶν ἱππέων· ἐπεὶ δ' ἐκώλυον τῆς πορείας οἱ Θετ-
ταλοὶ ἐπελαύνοντες τοῖς ὄπισθεν, παραπέμπει ἐπ' οὐ-
ρὰν καὶ τὸ ἀπὸ τοῦ στόματος ἱππικὸν πλὴν τῶν περὶ
5 αὐτόν. Ὡς δὲ παρετάξαντο ἀλλήλοις, οἱ μὲν Θετταλοὶ
νομίσαντες οὐκ ἐν καλῷ εἶναι πρὸς τοὺς ὁπλίτας ἱπ-

§. 2. φιλαπόδημος A. B. C. D. E. Steph. Leoncl. Dind. pro φιλοπόλεμος. — κελεύω B. C. D. E. F. I. V. Steph. Leoncl. Dind. pro λέγω.
§. 3. ἐφ' Ἑλλ. Dind. pro ἀφ' Ἑλλ. — πρῶτον B. D. I. V., ceteri ἤδη. — Λαρισ. et Σκοτουσσ. B. C. Dind. pro Λαρισσ. et Σκοτουσ. — Κραννώνιοι Dind. pro Κρανώνιοι. — συμμ. B. D. Dind. pro ξυμμ.
§. 4. περὶ αὐτὸν B. D., ceteri περὶ αὑτὸν.

τοὺς στρατιώτας] suos milites.

ἀκούσαντας] Per synesin dictum, quasi πολίτας, non πόλεις praecessisset. Item I, 4, 12. V. etiam ad II, 3, 55.

εἶναι] De praesentis infinitivo v. ad III, 5, 14.

ἐπεὶ παρεγένου] quandoquidem huc venisti.

τάδε] V. ad ἐκεῖνα IV, 2, 3.

ὥςπερ καὶ ἔφαμεν] De καὶ in comparationibus abundanti v. ad III, 4, 5. IV, 4, 6. De re ipsa v. IV, 2, 3.

§. 3. ἐφ' Ἑλληςπόντου] Cf. ad III, 2, 9.

ἐτύγχανον] omisso ὄντες. V. ad Oecon. XX, 28. Ages. VI, 8. Buttm. §. 144. adn. 6. et 7. Rost. §. 182. adn. 8. Kuehn. §. 310. adn. 5.

§. 4. τοὺς ἡμίσεις] V. ad IV, 1, 22. Inde pendet genitivus τῶν ἱππέων.

τὸ ἀπὸ τοῦ στόματος] De hac attractione v. ad III, 1, 18. 22.

πλὴν τῶν περὶ αὐτόν] praeter eos qui circa eum erant, item IV, 4, 10. 11. VI, 1, 6: τῶν παρ' αὐτῷ. VI, 4, 21. Aliter se habent IV, 3, 6. V, 3, 22. al. De trecentis equitibus, qui semper cum rege antecedebant agmen v. Thucyd. V, 72. Xen. de Rep. Lac. XIII, 6, nos ad Ages. II, 3.

§. 5. παρετάξαντο] V. ad III, 4, 23.

νομίσαντες] V. ad III, 4, 12.

πομαχεῖν, στρέψαντες βάδην ἀπεχώρουν. Οἱ δὲ μάλα σωφρόνως ἐπηκολούθουν. Γνοὺς δὲ ὁ Ἀγησίλαος ἃ 6 ἑκάτεροι ἡμάρτανον, πέμπει τοὺς περὶ αὐτὸν μάλα εὐρώστους ἱππέας καὶ κελεύει τοῖς τε ἄλλοις παραγγέλλειν καὶ αὐτοὺς διώκειν ὡς τάχιστα καὶ μηκέτι δοῦναι αὐτοῖς ἀναστροφήν. Οἱ δὲ Θετταλοὶ ὡς εἶδον παρὰ δόξαν 7 ἐλαύνοντας, οἱ μὲν αὐτῶν ἔφυγον, οἱ δ' ἀνέστρεψαν, οἱ

§. 5. Steph. *μάλ' ἀφρόνως* pro *μάλα σωφρόνως*.
§. 6. B. om. *μάλα*.
§. 7. Dind. ex. Ages. II, 3. *οὐδ' ἀνέστρεψαν* pro *ἔφυγον, οἱ δ' ἀνέστρεψαν*.

*ἐν καλῷ*] Thucyd. V, 59: *ἐν καλῷ ἐδόκει ἡ μάχη ἔσεσθαι*, ubi schol.: *ἐπὶ συμφέροντι*. Cf. infra VI, 2, 9.

*πρὸς τοὺς ὁπλίτας ἱππομαχεῖν*] Thessali quum equites, qui caput agminis efficiebant, conversionem facientes viderent, in eo esse, ut totus exercitus se converteret, sibique (qui equites erant) cum hoplitis etiam pugnandum fore opinantes, se recipere coeperunt. Haec animadverti ad Ages. II, 3.

*σωφρόνως*] quid sit, cognoscitur ex iis, quae mox sequuntur. Nimis caute, i. e. lentius Agesilai equites sequebantur Thessalos. Recte igitur ex h. l. Weiskius correxit *μάλ' ἀφρόνως*, quod vulgo legitur Ages. II, 3. *ἀφρόνως* esset aut temere, ut est V, 1, 19: *ἀφρόνως ἔπλει*, aut prae stupore, ut legimus Cyrop. I, 6, 40: *ὥςτε ἀφρόνως ἁλίσκεσθαι (τὸν λαγὼν)*, quarum neutra significatio sententiae huius loci apta est. Cf. etiam Ages. VI, 7: *οὕτως ἦγε τὸ στράτευμα, ὡς ἂν ἐπικουρεῖν μάλιστα ἑαυτῷ δύναιτο, ἡσύχως δὲ ὥςπερ ἂν παρθένος ἡ σωφρονεστάτη προβαίνοι.*

§. 6. *ἃ ἑκάτεροι ἡμάρτανον*] Etiam hostes peccabant, quod *βάδην ἀπεχώρουν*.

*παραγγέλλειν*] scil. *διώκειν*. Saepius praecedit verbum, cuius infinitivus deinceps ad verbum imperandi vel adhortandi subaudiendum est, velut Anab. IV, 3, 17: *ἐλάμβανε τὰ ὅπλα καὶ τοῖς ἄλλοις πᾶσι παρήγγελλε* scil. *λαμβάνειν τὰ ὅπλα*, ibid. III, 1, 44: *ἐν τοιούτῳ γὰρ καιρῷ ἐσμεν, αὐτούς τε ἄνδρας ἀγαθοὺς εἶναι καὶ τοὺς ἄλλους παρακαλεῖν*, ad quem locum v. Kuehner. Cf. supra IV, 2, 18. ad *ἀμελήσαντες τοῦ* —.

*δοῦναι — ἀναστροφήν*] se convertendi potestatem facere.

§. 7. *οἱ μὲν αὐτῶν ἔφυγον, οἱ δ' ἀνέστρεψαν*] Schneideri sententiam, cui magis placebant quae sunt in Agesilao: *οὐδ' ἀνέστρεψαν, οἱ δὲ καὶ ἀναστρέφειν πειρώμενοι* omisso verbo *ἔφυγον*, probat Dindorfius propter sequentia verba *Πολύχαρμος μέντοι — ἀνέστρεψε*, quae vix illaturum fuisse dicit Xenophontem, si antea dixisset *οἱ δ' ἀνέστρεψαν*. Sed qui, quaeso, erant, qui una cum Polycharmo ceciderunt, si praeter hunc nemo conversionem fecit contra hostes? Qui porro erant, quorum *φυγὴ — ἐξαισία* post Polycharmi eiusque sociorum caedem facta est, si praeter eos, qui capti sunt conversionem facientes, nemo ad pugnandum se convertit? Eos nimirum Thessalos, qui nulla facta conversione perrexerant in fuga eamque instantibus Agesilai equitibus acceleraverant, iam ante factam Polycharmi caedem in tutum pervenisse, id pro certo habendum est. Ergo nihil mutandum est in vulgata lectione. Sequentia hunc sensum habent:

*δὲ πειρώμενοι τοῦτο ποιεῖν πλαγίους ἔχοντες τοὺς ἵπ-*
8 *πους ἡλίσκοντο. Πολύχαρμος μέντοι ὁ Φαρσάλιος ἱπ-*
*παρχῶν ἀνέστρεψέ τε καὶ μαχόμενος σὺν τοῖς περὶ αὐ-*
*τὸν ἀποθνήσκει. Ὡς δὲ τοῦτ᾽ ἐγένετο, φυγὴ τῶν Θετ-*
*ταλῶν ἐξαισία γίγνεται· ὥστε οἱ μὲν ἀπέθνησκον αὐ-*
*τῶν, οἱ δὲ καὶ ἡλίσκοντο. Ἔστησαν δ᾽ οὖν οὐ πρόσθεν,*
9 *πρὶν ἐν τῷ ὄρει ἐν Ναρθακίῳ ἐγένοντο. Καὶ τότε μὲν*
*δὴ ὁ Ἀγησίλαος τρόπαιόν τ᾽ ἐστήσατο μεταξὺ Πραντὸς*
*καὶ Ναρθακίου καὶ αὐτοῦ ἔμεινε μάλα ἡδόμενος τῷ*
*ἔργῳ, ὅτι τοὺς μέγιστον φρονοῦντας ἐπὶ ἱππικῇ ἐνενι-*
*κήκει σὺν ᾧ αὐτὸς συνέλεξεν ἱππικῷ. Τῇ δ᾽ ὑστεραίᾳ*

§. 8. *Πολύχαρμος* B. C. D. I. Ages. Dind., *Πολύμαρχος* C. V., *Πολέμαρχος* F., ceteri *Πολύμαχος*. — *σὺν* B. D. Dind. pro *ξὺν*. — V. *οὖν* pro *δ᾽ οὖν*. — D. Dind. *ἐν τῷ ὄρει τῷ Ναρθ.*, Leoncl. sqq. edd. *ἐν τῷ ὄρει Ναρθ.*

§. 9. Codd. et edd. vett. *Παπραντὸς*. — *σὺν* et *συνέλ.* B. D. Dind. pro *ξὺν* et *ξυνελ.*

Polycharmus vero non captus est, sed erat inter eos, qui se obvertebant hosti. Quo cum iis, quos circum se habebat, caeso, ceteri terga dederunt, ex quibus nonnulli perierunt, nonnulli etiam in manus hostium venerunt.

*πλαγίους ἔχοντες*] h. e. antequam prorsus circumegissent equos et frontem advertissent aggredientibus. V. ad Ages. II, 3. Id ipsum voluerat Agesilaus, quum suos iuberet *μηκέτι δοῦναι ἀναστροφήν*.

*ἡλίσκοντο*] Antea erant aoristi. V. ad III, 4, 24.

§. 8. *ἀνέστρεψέ τε καὶ — ἀποθνήσκει*] Cf. Anab. I, 1, 9: *ὁ Κῦρος ἠγάσθη τε αὐτὸν καὶ δίδωσιν αὐτῷ μυρίους δαρεικούς*. Vertas: ubi se convertit, pugnans statim — obit.

*ἐν τῷ ὄρει ἐν Ναρθακίῳ*] Quae Hertlinius affert in Observ. crit. in H. G. III, p. 23: VI, 5, 30: *εἰς τὸν ἱππόδρομον εἰς Γαιούχου*. Aesch. adv. Ctesiph. 176: *εἰς τὴν ὀρχήστραν εἰς τὸ ἱερὸν τοῦ Διονύσου*. Hom. Il. XXIV, 614, quibus locis per appositionem addita (*εἰς Γαιούχου*) etiam deesse possent, ad defendendam vulgatam lectionem non sunt idonea, quia *ἐν τῷ ὄρει*, omisso *ἐν Ναρθακίῳ*, nullo modo sufficeret. Discernendus enim erat mons, in quo substiterunt Thessali, ab aliis multis, qui erant in vicinia, aut dicendum erat sine articulo *ἐν ὄρει*. Sed ex iis, quae statim sequuntur, ubi urbs Narthacium commemoratur, colligendum est, discernere voluisse scriptorem montem ab urbe eiusdem nominis. Ergo scribendum videtur *ἐν Ναρθακίῳ ἐν τῷ ὄρει*. Praepositionis in appositione iteratae exempla congessit praeter Hertlinium etiam Herbst. de Cobeti in Thucyd. emend. p. 31, quum multa alia, tum Lys. in Andoc. 14: *ἐν Ἀρείῳ πάγῳ ἐν τῷ σεμνοτάτῳ καὶ δικαιοτάτῳ δικαστηρίῳ*. Quod Dindorfius recepit, manifesta est librarii correctio. Pessime vero huic loco Cobetus consulit. Exstinguens enim *ἐν τῷ ὄρει*, utrum urbs an mons intelligendus sit, ambiguum relinquit.

§. 9. *τρόπαιόν τ᾽ ἐστήσατο*] Plutarch. Ages. XVI, 4: *ἔστησε τρόπαιον ὑπὸ τῷ Ναρθακίῳ*. Ceterum Pras et Narthacium sunt oppida inter Phthiotim et Pelasgiotim haud procul a monte Narthacio sita.

*σὺν ᾧ — συνέλεξεν ἱππι-*

ὑπερβάλλων τὰ Ἀχαϊκὰ τῆς Φθίας ὄρη τὴν λοιπὴν πᾶ-
σαν διὰ φιλίας ἐπορεύετο μέχρι πρὸς τὰ Βοιωτῶν ὅρια.
Ὄντος δ' αὐτοῦ ἐπὶ τῇ ἐμβολῇ, ὁ ἥλιος μηνοειδὴς 10
ἔδοξε φανῆναι, καὶ ἠγγέλθη, ὅτι ἡττημένοι εἶεν Λακε-
δαιμόνιοι τῇ ναυμαχίᾳ καὶ ὁ ναύαρχος Πείσανδρος τε-
θναίη. Ἐλέγετο δὲ καί, ᾧ τρόπῳ ἡ ναυμαχία ἐγένετο.
Εἶναι μὲν γὰρ περὶ Κνίδον τὸν ἐπίπλουν ἀλλήλοις, 11
Φαρνάβαζον δὲ ναύαρχον ὄντα σὺν ταῖς Φοινίσσαις εἶ-
ναι, Κόνωνα δὲ τὸ Ἑλληνικὸν ἔχοντα τετάχθαι ἔμπρο-
σθεν αὐτοῦ. Ἀντιπαραταξαμένου δὲ τοῦ Πεισάνδρου 12
καὶ πολὺ ἐλαττόνων αὐτῷ τῶν νεῶν φανεισῶν τῶν αὐ-
τοῦ τοῦ μετὰ Κόνωνος Ἑλληνικοῦ, τοὺς μὲν ἀπὸ τοῦ
εὐωνύμου συμμάχους εὐθὺς αὐτῷ φεύγειν, αὐτὸν δὲ
συμμίξαντα τοῖς πολεμίοις ἐμβολὰς ἐχούσῃ τῇ τριήρει

§. 10. I. οἱ Λακεδ.

§. 12. B. D. τῶν αὐτοῦ. — B. D. V. Κόνωνος τοῦ Ἑλλ., A. C. edd.

ᾧ] De attractione v. ad IV, 1, 23. Cf. Ages. II, 5: σὺν ᾧ αὐτὸς ἐμηχανήσατο ἱππικῷ. Plutarch. Ages. XVI, 4: συστησάμενος ἱππικὸν αὐτὸς δι' ἑαυτοῦ.

μέχρι πρός] ἔστε, μέχρι et ἄχρι cum πρὸς, εἰς, ἐπί iuncta v. in locis a Krueger. et Kuehnero ad Anab. IV, 5, 6 collectis.

§. 10. ἐπὶ τῇ ἐμβολῇ] in faucibus. Cf. IV, 7, 7. V, 4, 48. Plutarch. Ages. XVII, 3: ὁ δ' Ἀγησίλαος εἴσω πυλῶν παρελθὼν καὶ διοδεύσας τὴν Φωκίδα φίλην οὖσαν, ἐπεὶ τῆς Βοιωτίας πρῶτον ἐπέβη, καὶ περὶ τὴν Χαιρώνειαν κατεστρατοπέδευσεν, ἅμα μὲν τὸν ἥλιον ἐκλείποντα καὶ γενόμενον μηνοειδῆ κατεῖδεν κ. τ. λ.

μηνοειδής] Hesych. μηνοειδές· σεληνοειδές. Sol lunae instar falcatus videtur, si pars solis luna obtegitur. Haec solis eclipsis erat d. XIV. mensis Augusti a. 394.

τῇ ναυμαχίᾳ] Proelium omnibus notum esse indicat articulus. Cf. ad IV, 2, 13. 5, 7.

§. 11. ἀλλήλοις] h. e. αὐτοῖς (Λακεδαιμονίοις καὶ Ἀθηναίοις) πρὸς ἀλλήλους. Cf. V, 2, 9.

σὺν ταῖς Φοινίσσαις] De quibus v. III, 4, 1.

Κόνωνα] qui e pugna ad Aegos potamos facta cum novem navibus Cyprum fugerat ad Euagoram (II, 1, 29), unde se coniunxerat cum Persarum rege. Corn. Nep. Con. II et IV. Diodor. XIV, 83.

τὸ Ἑλληνικόν] Cum Conone fuisse non alios Athenienses quam φυγάδας καὶ ἐθελοντάς ait Plat. Menex. p. 245 A. Atque hae sunt quas Isocr. Paneg. 39 vocat τὰς ὑπηρεσίας τὰς παρ' ἡμῶν. Schneider.

§. 12. καὶ — φανεισῶν] i. e. καίπερ — φαν. V. ad III, 5, 2.

ἐλαττόνων] Diodor. XIV, 83: Κόνων — καὶ Φαρνάβαζος — τριήρεις ἔχοντες πλείους τῶν ἐνενήκοντα· — Πείσανδρος — ἐξέπλευσεν ἐκ τῆς Κνίδου τριήρεσιν ὀγδοήκοντα πέντε.

τοὺς — ἀπὸ τοῦ] V. ad III, 1, 18. 22.

ἐμβολὰς ἐχούσῃ τῇ τριήρει] triremi, quae vulnera acceperat in latere impulsu navis rostratae adversariorum. Eodem sensu ἐμβολὰς δέξασθαι Charit. VII, 6. Cf. Polyaen.

πρὸς τὴν γῆν ἐξωσθῆναι· καὶ τοὺς μὲν ἄλλους, ὅσοι εἰς τὴν γῆν ἐξεώσθησαν, ἀπολιπόντας τὰς ναῦς σώζεσθαι ὅπῃ δύναιντο εἰς τὴν Κνίδον, αὐτὸν δὲ ἐπὶ τῇ νηῒ
13 μαχόμενον ἀποθανεῖν. Ὁ οὖν Ἀγησίλαος πυθόμενος ταῦτα τὸ μὲν πρῶτον χαλεπῶς ἤνεγκεν· ἐπεὶ μέντοι ἐνεθυμήθη, ὅτι τοῦ στρατεύματος τὸ πλεῖστον εἴη αὐτῷ οἷον ἀγαθῶν μὲν γιγνομένων ἡδέως μετέχειν, εἰ δέ τι χαλεπὸν ὁρῷεν, οὐκ ἀνάγκην εἶναι κοινωνεῖν αὐτοῖς, ἐκ τούτου μεταβαλὼν ἔλεγεν, ὡς ἀγγέλλοιτο ὁ μὲν Πείσανδρος τετελευτηκώς, νικῴη δὲ τῇ ναυμαχίᾳ.
14 Ἅμα δὲ ταῦτα λέγων καὶ ἐβουθύτει ὡς εὐαγγέλια καὶ πολλοῖς διέπεμπε τῶν τεθυμένων· ὥστε ἀκροβολισμοῦ ὄντος πρὸς τοὺς πολεμίους ἐκράτησαν οἱ τοῦ Ἀγησιλάου τῷ λόγῳ, ὡς Λακεδαιμονίων νικώντων τῇ ναυμαχίᾳ.

vett. *Κόνωνος αὐτοῦ* Ἑλλ. — *ὅπῃ* B. C. V. marg. Leoncl. Steph. Schneid. edd. sqq. pro *ὅποι*.

§. 13. *ὁ οὖν* B. C. D. V. Dind. pro *ὁ μὲν οὖν*. — *ἤνεγκεν* B. C. D. F. I. V. margg. Steph. et Leoncl. Dind. pro *ἔφερεν*. — Steph. edd. sqq. usque ad Weiskium *ὁρῴη* pro *ὁρῷεν*.

III, 10, 11: *διδόναι διττὰς ἐμβολάς* et I, 40, 9: *ἐμβολαῖς ἀναῤῥηγνύειν*. Haec et alia v. apud Sturz. v. *ἐμβολή* et apud Schneiderum.

*αὐτὸν — ἀποθανεῖν*] scil. *Πείσανδρον*, de quo v. III, 4, 29.

§. 13. *οἷον*] h. e. *τοιοῦτον, ὥστε*. Cf. IV, 1, 24.

*οὐκ ἀνάγκην εἶναι — αὐτοῖς*] quia sua voluntate cum Agesilao profecti erant urbium Asiaticarum cives. Infinitivus infertur, antecedente *ὅτι*, ut supra §. 1. *αὐτοῖς* per synesin refertur ad *τοῦ στρατ. τὸ πλεῖστον*. V. ad II, 3, 55. IV, 3, 2.

*κοινωνεῖν*] sc. *αὐτοῦ*. Idem est quod *μετέχειν*. Cf. VI, 5, 11: *Ὀρχομενίων δὲ οὐκ ἐθελόντων κοινωνεῖν τοῦ Ἀρκαδικοῦ*, et §. 22: *οὐκ ἤθελον τοῦ Ἀρκαδικοῦ μετέχειν*.

*μεταβαλὼν ἔλεγεν*] h. e. *μεταβαλὼν τὰ ἠγγελμένα ἔλεγε*. Pertinet hoc dicendi genus ad frequentem illum usum, quo ad participium supplendum est sequentis verbi obiectum, de quo v. Kuehner. ad Anab. I, 8, 11: *καλέσας (τοὺς Ἕλληνας) παρεκελεύετο τοῖς Ἕλλησι*, et ad Comment. I, 4, 17.

*νικῴη*] V. ad *νικῷεν* §. 1.

§. 14. *ἅμα — λέγων — ἐβουθύτει*] V. ad Hier. II, 17: *ἀπολογεῖται ἅμα πράττων*. Infra II, 1, 20. Animadvertas etiam vim imperfecti: dum haec dicit, parabat, inchoabat sacrificium. V. §. 22.

*ὡς εὐαγγέλια*] simulans etc.

*διέπεμπε τῶν τεθυμένων*] De genitivo v. ad II, 3, 14. III, 1, 4. 3, 8. Plutarch. Ages. XVII, 4: *διέπεμπε μερίδας τοῖς φίλοις ἀπὸ τῶν τεθυμένων*.

*τῷ λόγῳ, ὡς — νικώντων*] eo, quod dixerat, Lac. vicisse. Cf. V, 1, 25: *διασπείρας λόγον, ὡς μεταπεμπομένων τῶν Καλχηδονίων*. Anab. V, 6, 3: *ὅτι οὐχ ὡς τοῖς Ἕλλησι πολεμησόντων σφῶν εἴποι*. Cyrop. I, 6, 11: *ὥς γ᾽ ἐμοῦ — μηδέποτε ἀμελή-*

*Ἦσαν δὲ οἱ μὲν ἀντιτεταγμένοι τῷ Ἀγησιλάῳ Βοιω-* 15
*τοί, Ἀθηναῖοι, Ἀργεῖοι, Κορίνθιοι, Αἰνιᾶνες, Εὐβοεῖς,*
*Λοκροὶ ἀμφότεροι· σὺν Ἀγησιλάῳ δὲ Λακεδαιμονίων*
*μὲν μόρα ἡ ἐκ Κορίνθου διαβᾶσα, ἥμισυ δὲ μόρας τῆς*
*ἐξ Ὀρχομενοῦ, ἔτι δὲ οἱ ἐκ Λακεδαίμονος νεοδαμώδεις*
*συστρατευσάμενοι αὐτῷ, πρὸς δὲ τούτοις οὗ Ἡριππί-*
*δας ἐξενάγει ξενικοῦ, ἔτι δὲ οἱ ἀπὸ τῶν ἐν τῇ Ἀσίᾳ πό-*
*λεων Ἑλληνίδων, καὶ ἀπὸ τῶν ἐν τῇ Εὐρώπῃ ὅσας*
*διιὼν παρέλαβεν· αὐτόθεν δὲ προσεγένοντο ὁπλῖται*
*Ὀρχομένιοι καὶ Φωκεῖς. Πελτασταί γε μὴν πολὺ πλέ-*
*ονες οἱ μετ' Ἀγησιλάου· ἱππεῖς δ' αὖ παραπλήσιοι ἀμ-*
*φοτέροις τὸ πλῆθος. Ἡ μὲν δὴ δύναμις αὕτη ἀμφοτέ-* 16
*ρων· διηγήσομαι δὲ καὶ τὴν μάχην· καί πως ἐγένετο οἵα*
*οὐκ ἄλλη τῶν γ' ἐφ' ἡμῶν. Συνῆσαν μὲν γὰρ εἰς τὸ*

§. 15. *πόλεων Ἑλληνίδων* post *Εὐρώπῃ* om. B. D. I. V. Dind., quae verba posteriori loco retinuit, priori inclusit Schneid. — D. V. *ὅσους* pro *ὅσας*. — B. *οἱ ὁπλῖται*. — *πολὺ* B. C. D. E. F. V. Dind. pro *πολλῷ*.

§. 16. *καί πως* scripsi pro vulg. *καὶ πῇ*; B. marg. Leoncl. *καὶ σοντος* —, *οὕτως ἔχε τὴν γνώμην*. Cf. infra VI, 3, 10. VII, 2, 5. Rost. §. 182. adn. 4. Kuehn. §. 312. adn. 12.

§. 15. *διαβᾶσα*] sinum Corinthiacum, quoniam Isthmum tenebant hostes.

*τῆς ἐξ Ὀρχομενοῦ*] Cf. IV, 2, 17.

*νεοδαμωδεις*] V. ad III, 1, 4.

*τῶν — πόλεων Ἑλληνίδων*] De adiectivi collocatione v. ad Ages. I, 10.

*ὅσας*] Etiam *ὅσους* ferri potest, si iungitur cum *παρέλαβεν*, ad *διιὼν* autem subauditur *αὐτάς*.

*αὐτόθεν*] ex ipsa regione, in qua tum erat Agesilaus.

*πελτασταὶ — πλέονες*] Non solum equites, sed ceteras etiam copias utrisque adversariis *μάλα ἰσομάχους* fuisse narratur Ages. II, 9.

§. 16. *καί πως*] Sic scribendum est. Nam eodem codicis B marginisque Leonclavii scriptura et vulgata lectio ducunt. In libris enim *πῶς* (*πως*) et *πῆ* (*πη*) saepe permutantur. V. lect. var. Cyrop. VI, 2, 24. Ages. IV, 3. „Significat (autem) *πως* sane, profecto, ita quidem, ut is, qui loquitur, videri velit cum dubitatione quadam dicere suam sententiam, sed id hoc consilio faciat, ut certius eliciat et exprimat adsensum alterius, veluti quum latine opinor aut nescio an dicimus." Schweighaeuser. in lex. Herod. II, p. 62. V. Herod. III, 108: *καί κως τοῦ θείου ἡ προνοίη — ὅσα μὲν ψυχήν τε δειλὰ καὶ ἐδώδιμα, ταῦτα μὲν πάντα πολύγονα πεποίηκε.* In qua formula *καί* est atque, sed ita, ut non multum differat a *καὶ γάρ*, quam vim etiam alioquin interdum adsciscit, velut Plutarch. Ages. XVIII, 1: *λέγει δὲ τὴν μάχην ὁ Ξεν. ἐκείνην οἵαν οὐκ ἄλλην τῶν πώποτε γενέσθαι· καὶ παρῆν αὐτὸς τῷ Ἀγησιλάῳ συναγωνιζόμενος*, ubi dici poterat *καὶ γὰρ παρῆν*. Vertas igitur: Atque, opinor, fuit qualis non alia ex iis quae nostra memoria sunt commissa.

κατὰ Κορώνειαν πεδίον οἱ μὲν σὺν Ἀγησιλάῳ ἀπὸ τοῦ Κηφισοῦ, οἱ δὲ σὺν Θηβαίοις ἀπὸ Ἑλικῶνος. Εἶχε δ' Ἀγησίλαος μὲν δεξιὸν τοῦ μετ' αὐτοῦ, Ὀρχομένιοι δ' αὐτῷ ἔσχατοι ἦσαν τοῦ εὐωνύμου. Οἱ δ' αὖ Θηβαῖοι αὐτοὶ μὲν δεξιοὶ ἦσαν, Ἀργεῖοι δ' αὐτοῖς τὸ εὐώνυμον
17 εἶχον. Συνιόντων δὲ τέως μὲν σιγὴ πολλὴ ἀπ' ἀμφοτέρων ἦν· ἡνίκα δ' ἀπεῖχον ἀλλήλων ὅσον στάδιον, ἀλαλάξαντες οἱ Θηβαῖοι δρόμῳ ὁμόσε ἐφέροντο. Ὡς δὲ τριῶν ἔτι πλέθρων ἐν μέσῳ ὄντων ἀντεξέδραμον ἀπὸ τῆς Ἀγησιλάου φάλαγγος ὧν Ἡριππίδας ἐξενάγει καὶ σὺν αὐτοῖς Ἴωνες καὶ Αἰολεῖς καὶ Ἑλλησπόντιοι, καὶ πάντες οὗτοι τῶν συνεκδραμόντων τε ἐγένοντο καὶ εἰς δόρυ ἀφικόμενοι ἔτρεψαν τὸ καθ' αὑτούς. Ἀργεῖοι μέντοι οὐκ ἐδέξαντο τοὺς περὶ Ἀγησίλαον, ἀλλ' ἔφυγον
18 ἐπὶ τὸν Ἑλικῶνα. Κἀνταῦθα οἱ μέν τινες τῶν ξένων ἐστεφάνουν ἤδη τὸν Ἀγησίλαον, ἀγγέλλει δέ τις αὐτῷ, ὅτι οἱ Θηβαῖοι τοὺς Ὀρχομενίους διακόψαντες ἐν τοῖς σκευοφόροις εἴησαν. Καὶ ὁ μὲν εὐθὺς ἐξελίξας τὴν φάλαγγα ἦγεν ἐπ' αὐτούς· οἱ δ' αὖ Θηβαῖοι ὡς εἶδον τοὺς συμμάχους πρὸς Ἑλικῶνι πεφευγότας, διαπεσεῖν βουλόμενοι πρὸς τοὺς ἑαυτῶν, συσπειραθέντες ἐχώ-
19 ρουν ἐρρωμένως. Ἐνταῦθα δὴ Ἀγησίλαον ἀνδρεῖον

πῶς; Schneid. edd. sqq. καὶ γάρ, quod est Ages. II, 9. — Κηφισοῦ B. C. Dind. pro Κηφισσοῦ. — δεξιὸν τοῦ Dind., τὸ δεξιὸν τοῦ Schneid. ex Ages., ceteri δεξιὸν τό. — δεξιοὶ ἦσαν — τὸ εὐώνυμον εἶχον B. C. D. E. pr. F. I. V. Ages. Dind., ceteri δεξιὸν εἶχον — τὸ εὐώνυμον.
§. 17. ἀπ' ἀμφοτέρων Ages. II, 10. Dind., ceteri ἐπ' ἀμφ.
§. 18. συμμ. B. D. Dind. pro ξυμμ.

εἶχε δ' Ἀγησίλαος] Ages. II, 9: εἶχε δὲ ὁ Ἀγ. μὲν τὸ δεξιὸν τοῦ μεθ' ἑαυτοῦ. Plutarch. Ages. XVIII, 1: αὐτὸς τὸ δεξιὸν ἐπῆγε.

§. 17. ὡς δὲ τριῶν] trium fere.

εἰς δόρυ] Cf. de Re equ. VIII, 10: εἰς δόρατος πληγήν et εἰς ἀκόντιον. Infra VII, 1, 31.

ἔτρεψαν] Ages. II, 11: ἐτρέψαντο. Sed Anab. I, 8, 24: εἰς φυγὴν ἔτρεψε τοὺς ἑξακισχιλίους. Adde Thucyd. I, 62, 6. IV, 25, 9. Herod. I, 63. IV, 128.

τὸ καθ' αὑτούς] V. ad IV, 2, 18: κατὰ Λακεδαιμονίους.

§. 18. τοῖς σκευοφόροις] Lacedaemoniorum.

ἐξελίξας] Thebani ab impedimentis, i. e. a tergo aciem Spartanorum perrupturi erant. Hanc ob causam, ut hostibus sui exercitus frontem opponat, conversionem aciei Agesilaus facit, de qua re v. ad Cyrop. VIII, 5, 15: ὄπισθεν ἐπιφανέντων πολεμίων ὀρθῶς ἐξελίξαι.

τοὺς συμμάχους] Argivos.

ἐχώρουν ἐρρωμένως] magno cum impetu procedebant.

μὲν ἔξεστιν εἰπεῖν ἀναμφισβητήτως· οὐ μέντοι εἵλετό γε τὰ ἀσφαλέστατα. Ἐξὸν γὰρ αὐτῷ παρέντι τοὺς διαπίπτοντας ἀκολουθοῦντι χειροῦσθαι τοὺς ὄπισθεν, οὐκ ἐποίησε τοῦτο, ἀλλ' ἀντιμέτωπος συνέῤῥαξε τοῖς Θηβαίοις· καὶ συμβαλόντες τὰς ἀσπίδας ἐωθοῦντο, ἐμάχοντο, ἀπέκτεινον, ἀπέθνησκον. Τέλος δὲ τῶν Θηβαίων οἱ μὲν διαπίπτουσι πρὸς τὸν Ἑλικῶνα, πολλοὶ
δὲ ἀποχωροῦντες ἀπέθανον. Ἐπεὶ δὲ ἡ μὲν νίκη Ἀγη- 20
σιλάου ἐγεγένητο, τετρωμένος δ' αὐτὸς προςενήνεκτο πρὸς τὴν φάλαγγα, προςελάσαντές τινες τῶν ἱππέων λέγουσιν αὐτῷ, ὅτι τῶν πολεμίων ὡς ὀγδοήκοντα σὺν ὅπλοις ὑπὸ τῷ νεῷ εἰσι, καὶ ἠρώτων, τί χρὴ ποιεῖν. ὁ δέ, καίπερ πολλὰ τραύματα ἔχων, ὅμως οὐκ ἐπελάθετα τοῦ θείου, ἀλλ' ἐᾶν τ' ἀπιέναι ᾗ βούλοιντο ἐκέλευσε καὶ ἀδικεῖν οὐκ εἴα. Τότε μὲν οὖν, καὶ γὰρ ἦν
ἤδη ὀψέ, δειπνοποιησάμενοι ἐκοιμήθησαν. Πρωῒ δὲ 21
Γῦλιν τὸν πολέμαρχον παρατάξαι τε ἐκέλευε τὸ στράτευμα καὶ τρόπαιον ἵστασθαι καὶ στεφανοῦσθαι πάντας τῷ θεῷ καὶ τοὺς αὐλητὰς πάντας αὐλεῖν. Καὶ οἱ μὲν ταῦτ' ἐποίουν. Οἱ δὲ Θηβαῖοι ἔπεμψαν κήρυκας ὑποσπόνδους τοὺς νεκροὺς αἰτοῦντες θάψαι. Καὶ οὕτω δὴ αἵ τε σπονδαὶ γίγνονται καὶ Ἀγησίλαος μὲν εἰς Δελφοὺς ἀφικόμενος δεκάτην τῶν ἐκ τῆς λείας τῷ θεῷ

§. 19. Cast. ἀντιμέτωπον. — Iunt. Cast. om. ἀπέκτεινον.
§. 20. B. Schneid. Dind. Ages. II, 13. ἐκέλευε pro ἐκέλευσε.
§. 21. Dind. πρῷ pro πρωΐ. — ἐκέλευε B. C. D. Schneid. Dind., ceteri ἐκέλευσε.

§. 19. παρέντι — ἀκολουθοῦντι] omittere — et subsequi. V. ad IV, 1, 35.
συμβαλόντες] Lacedaemonii et Thebani.
ἐωθοῦντο — ἀπέθνησκον] Oratio ἀσύνδετος congressus certaminisque vehementiam quoddam modo pingit. Eidem consilio inserviunt imperfecta. Cf. ad Cyrop. VII, 1, 38: προσπεσόντες ἐμάχοντο, ἐώθουν, ἐωθοῦντο, ἔπαιον, ἐπαίοντο. V. etiam adn. ad eadem verba Ages. II, 12.
§. 20. ὑπὸ τῷ νεῷ] Plutarch. Ages. XIX, 1: ὅσοι μέντοι τῶν πολεμίων εἰς τὸ ἱερὸν κατέφυγον, πάντας ἐκέλευσεν ἀφεθῆναι· πλησίον γὰρ ὁ νεώς ἐστιν ὁ τῆς Ἰτωνίας Ἀθηνᾶς. Cf. Pausan. III, 9, 7. IX, 34, 1.
ἐκέλευσε — εἴα] De temporibus cf. ad III, 1, 23. 4, 24.
§. 21. παρατάξαι — ἐκέλευε] periculum scil. facturus, num denuo pugnare vellent, id quod coniicere licet ex Plutarch. Ages. XIX, 2: ἅμα δ' ἡμέρᾳ βουλόμενος ἐξελέγξαι τοὺς Θηβαίους ὁ Ἀγ., εἰ διαμαχοῦνται, στεφανοῦσθαι μὲν ἐκέλευσε τοὺς στρατιώτας, αὐλεῖν δὲ κ. τ. λ.
εἰς Δελφοὺς] Diodor. XIV, 84: εἰς Δελφοὺς ἐκομίσθη κἀκεῖ

ἀπέθυσεν οὐκ ἔλαττω ἑκατὸν ταλάντων· Γῦλις δὲ ὁ πολέμαρχος ἔχων τὸ στράτευμα ἀπεχώρησεν εἰς Φωκέας, ἐκεῖθεν δ' εἰς τὴν Λοκρίδα ἐμβάλλει.
22 Καὶ τὴν μὲν ἄλλην ἡμέραν οἱ στρατιῶται καὶ σκεύη ἐκ τῶν κωμῶν καὶ σῖτον ἥρπαζον· ἐπεὶ δὲ πρὸς ἑσπέραν ἦν, τελευταίων ἀποχωρούντων τῶν Λακεδαιμονίων ἐπηκολούθουν αὐτοῖς οἱ Λοκροὶ βάλλοντες καὶ ἀκοντίζοντες. Ὡς δ' αὐτῶν οἱ Λακεδαιμόνιοι ὑποστρέψαντες καὶ διώξαντες κατέβαλλόν τινας, ἐκ τούτου ὄπισθεν μὲν οὐκέτι ἐπηκολούθουν, ἐκ δὲ τῶν ὑπερδεξίων ἔβαλλον.
23 Οἱ δ' ἐπεχείρησαν μὲν καὶ πρὸς τὸ σιμὸν διώκειν· ἐπεὶ δὲ σκότος τε ἐγένετο καὶ ἀποχωροῦντες οἱ μὲν διὰ τὴν δυσχωρίαν ἔπιπτον, οἱ δὲ καὶ διὰ τὸ μὴ προορᾶν τὰ ἔμπροσθεν, οἱ δὲ καὶ ὑπὸ τῶν βελῶν, ἐνταῦθα ἀποθνήσκουσι Γῦλίς τε ὁ πολέμαρχος καὶ τῶν παραστατῶν Πελλῆς, καὶ οἱ πάντες ὡς ὀκτωκαίδεκα τῶν στρατιωτῶν, οἱ μὲν καταλευσθέντες, οἱ δὲ καὶ τραυματισθέντες. Εἰ δὲ μὴ ἐβοήθησαν αὐτοῖς ἐκ τοῦ στρατοπέδου δειπνοῦντες, ἐκινδύνευσαν ἂν ἅπαντες ἀπολέσθαι.

§. 22. *τελευταίων* Schneid. Dind. pro *τελευταῖον*. — *κατέβαλλον* B. C., ceteri *κατέβαλον*.

§. 23. B. C. E. edd. ante Cast. *τὸν σιμὸν*. — *τε* post *σκότος* addunt B. Schneid. Dind. — *τὰ ἔμπροσθεν* B. D. I. V. marg. Leoncl. Schneid. Dind. pro *τοὺς ἔμπροσθεν*. — Vulg. *Πελλεῖς*, B. *Πελλῆς*, D. Leoncl. Schneid. *πολλοὶ*, Steph. notat *τελεῖς* et coni. *Πελληνεῖς*, *Πελλῆς* dedit Dind. — B. D. V. Dind. *Σπαρτιατῶν* pro *στρατιωτῶν*. — Weisk. Schneid. ante *ἐκ τοῦ στρατ.* inserunt *οἱ*.

*τὴν ἐπιμέλειαν τοῦ σώματος ἐποιεῖτο*. Cf. Plutarch. l. c.

*τῶν ἐκ τῆς λείας*] scil. *χρημάτων*. Plutarch. l. c. *τῶν ἐκ τῆς Ἀσίας λαφύρων*.

§. 22. *τελευταίων*] Extremum agmen, ubi, sequentibus hostibus, plurimum erat periculi, efficiunt Spartani ipsi, quibus socii Asiatici aliique praecedunt.

*κατέβαλλον*] prosternerent, unum et alterum, quod huic loco certe non minus convenit quam *κατέβαλον*, i. e. prostravissent. De imperfecto cf. §. 14.

§. 23. *οἱ δ' ἐπεχείρησαν*] Lacedaemonii.

*Πελλῆς*] Dindorfius ad Steph. thes. probabilius esse dicit *Πόλλις*. Sed Papius in lex. nom. propr. commemorat nomen *Πέλλης* ex Apoll. Rhod. Argon. I, 177.

*στρατιωτῶν*] Hoc recte restituit R. Schneider. Quaest. Xen. p. 20. Ita enim numerantur interfecti, ut primum de duce dicatur, deinde de eius comitibus, i. e. Spartiatis, ex quibus est Pelles, denique de gregariis militibus. Ex his vero nullum cecidisse non credibile est.

*δειπνοῦντες*] i. e. pars eorum, qui non *ἐπεχείρησαν καὶ πρὸς τὸ σιμὸν διώκειν*, sed castra collocaverant, in quibus iam coenabant.

# CAPUT IV.

## ARGUMENTUM.

Apud Corinthios ultimo Eucleorum die optimates pacis cupidi ab adversariis necopini caeduntur. Ab eo tempore quum tota civitas sub Argivorum deditionem ventura videretur, Pasimelus et Alcimenes in praesidiis ad portus constituti noctu Praxitam Lacedaemonium Sicyone cum suis adductum intra muros recipiunt. Insecuto die facta pugna vincunt Lacedaemonii, qui deinde parte murorum longorum diruta et Sidunte Crommyoneque capta munierunt Epiiciam. Inde conductitio milite utrinque bellatum. Iphicrates irrupit Phliuntem: Phliasii sponte arcessunt Lacedaemonios iisque civitatem suam tuendam tradunt. Athenienses muros Corinthiorum dirutos reficiunt: quas Agesilaus rursus demolitur.

---

*Μετὰ τοῦτό γε μὴν ἀφείθη μὲν κατὰ πόλεις τὸ ἄλλο* 1
*στράτευμα, ἀπέπλευσε δὲ καὶ ὁ Ἀγησίλαος ἐπ' οἴκου.* A.Ch.
*Ἐκ δὲ τούτου ἐπολέμουν Ἀθηναῖοι μὲν καὶ Βοιωτοὶ καὶ Ἀργεῖοι καὶ οἱ σύμμαχοι αὐτῶν ἐκ Κορίνθου ὁρμώμενοι, Λακεδαιμόνιοι δὲ καὶ οἱ σύμμαχοι ἐκ Σικυῶνος. Ὁρῶντες δ' οἱ Κορίνθιοι ἑαυτῶν μὲν καὶ τὴν χώραν δῃουμένην καὶ ἀποθνήσκοντας διὰ τὸ ἀεὶ τῶν πολεμίων ἐγγὺς εἶναι, τοὺς δ' ἄλλους συμμάχους καὶ αὐτοὺς ἐν εἰρήνῃ ὄντας καὶ τὰς χώρας αὐτῶν ἐνεργοὺς οὔσας, οἱ πλεῖστοι καὶ βέλτιστοι αὐτῶν εἰρήνης ἐπεθύμησαν καὶ συνιστάμενοι ἐδίδασκον ταῦτα ἀλλήλους. Γνόντες δ'* 2
*οἱ Ἀργεῖοι καὶ Ἀθηναῖοι καὶ Βοιωτοὶ καὶ Κορινθίων οἵ τε τῶν παρὰ βασιλέως χρημάτων μετεσχηκότες καὶ οἱ τοῦ πολέμου αἰτιώτατοι γεγενημένοι, ὡς, εἰ μὴ ἐκπο-*

Cap. IV. §. 2. *Ἀθην. κ. Βοιωτοὶ* B. D. F. V. Dind., ceteri *Βοιωτ.*

Cap. IV. §. 1. *τὸ ἄλλο στράτευμα*] Ita dicitur respecto Agesilao, qui cum parva manu Delphos profectus erat, unde traiecto sinu Corinthiaco in Peloponnesum redit.

*ἀποθνήσκοντας*] Excidit aliquid: *πολλοὺς* aut *τοὺς ἀνθρώπους* aut *τοὺς ἄνδρας*.

*οἱ πλεῖστοι — αὐτῶν*] Subiectum erat *οἱ Κορίνθιοι*; iam pars eorum tanquam novum subiectum infertur. V. IV, 5, 16. Cf. ad Oecon. XII, 8: *οὐχ ὁρᾷς, ὅτι καὶ ἑαυτοῖς εὔνοι πάντες ὄντες — πολλοὶ αὐτῶν εἰσιν οἳ —.* XVII, 2. et ad Cyrop. IV, 5, 37. Supra III, 4, 7. Infra V, 4, 41. VI, 3, 19. 5, 31.

*βέλτιστοι*] scil. ex mente Xenophontis, qui sentit cum Lacedaemoniis.

§. 2. *οἵ — μετεσχηκότες*] V. ad III, 5, 1.

δὼν ποιήσοιντο τοὺς ἐπὶ τὴν εἰρήνην τετραμμένους, κινδυνεύσει πάλιν ἡ πόλις λακωνίσαι, οὕτω δὴ σφαγὰς ἐπεχείρουν ποιεῖσθαι. Καὶ πρῶτον μὲν τὸ πάντων ἀνοσιώτατον ἐβουλεύσαντο· οἱ μὲν γὰρ ἄλλοι, κἂν νόμῳ τις καταγνωσθῇ, οὐκ ἀποκτιννύουσιν ἐν ἑορτῇ· ἐκεῖνοι δ' Εὐκλείων τὴν τελευταίαν προείλοντο, ὅτι πλείονας ἂν ᾤοντο λαβεῖν ἐν τῇ ἀγορᾷ, ὥςτε ἀποκτεῖναι. Ὡς δ' ἐσημάνθη οἷς εἴρητο οὓς ἔδει ἀποκτεῖναι, σπασάμενοι τὰ ξίφη ἔπαιον τὸν μέν τινα συνεστηκότα ἐν κύκλῳ, τὸν δὲ καθήμενον, τὸν δέ τινα ἐν θεάτρῳ, ἔστι δ' ὃν καὶ
3 κριτὴν καθήμενον. Ὡς δ' ἐγνώσθη τὸ πρᾶγμα, εὐθὺς ἔφευγον οἱ βέλτιστοι, οἱ μὲν πρὸς τὰ ἀγάλματα τῶν ἐν τῇ ἀγορᾷ θεῶν, οἱ δ' ἐπὶ τοὺς βωμούς· ἔνθα δὴ οἱ ἀνοσιώτατοι καὶ παντάπασιν οὐδὲν νόμιμον φρονοῦντες, οἵ τε κελεύοντες καὶ οἱ πειθόμενοι, ἔσφαττον καὶ πρὸς τοῖς ἱεροῖς· ὥςτ' ἐνίους καὶ τῶν οὐ τυπτομένων, νομίμων δ' ἀνθρώπων, ἀδημονῆσαι τὰς ψυχὰς ἰδόντας

κ. Ἀθην. — ποιήσοιντο B. C. D. E. pr. F. Dind. pro ποιήσαιντο. — Ante σφαγὰς om. καὶ B. C. D. F. V. Dind. — πλείονας B. D. E. F. I. V. Dind. pro πλείους.

§. 3. οὐδὲν νόμιμον B. C. D. Steph. Leoncl. Wells. Dind., ceteri μηδὲν vel μηδὲν νόμιμον. — B. μέλλοντες pro κελεύοντες. — B. C. D. O. V. Dind. om. ὄντων post νομίμων δ'.

οὕτω δή] V. ad III, 2, 9.

τις καταγνωσθῇ] Cobetus corrigit τινος καταγνωσθῇ immemor locorum I, 7, 20: ἐὰν καταγνωσθῇ ἀδικεῖν, §. 22: ἂν καταγνωσθῇ. Verbi activum cum duplici accusativo habes V, 4, 30. Plura de huius verbi constructione docet Lobeck. ad Soph. Ai. p. 351.

Εὐκλείων] Dianae festum, de quo certius nihil traditum est.

ὥςτε ἀποκτεῖναι] V. ad III, 4, 17.

§. 3. συνεστηκότα ἐν κύκλῳ] scil. cum aliis colloquendi causa. Cf. Anab. V, 7, 2: σύλλογοι ἐγίγνοντο καὶ κύκλοι συνίσταντο.

κριτήν] ludorum scenicorum. Diodor. XIV, 86: ἀγώνων ὄντων ἐν τῷ θεάτρῳ φόνον ἐποίησαν.

οἵ τε κελεύοντες καὶ οἱ πειθόμενοι] Haec pertinent ad antecedentia, non ad insequens verbum. Caedem faciebant tantum οἱ πειθόμενοι; nam alioquin non discernendi erant iubentes et obedientes; sceleratissimos autem nec quidquam aequi in animo habentes fuisse eos non minus qui iusserant quam qui perpetrabant caedem verbis intersertis exprimitur: nisi forte dicere putas Xenophontem, qui caedem decreverant, quod aliis mandaverant, id saevitia abreptos simul ipsos fecisse.

νομίμων δ' ἀνθρώπων] qui, etsi non caederentur, propter meram animi aequitatem et iusti sensum conspecta tanta impietate horrore perfundebantur. Ad verba οὐ τυπτομένων ne desideres μὲν, v. ad III, 3, 1.

τὴν ἀσέβειαν, Ἀποθνήσκουσι δ' οὕτως τῶν μὲν πρε- 4
σβυτέρων πολλοί· μᾶλλον γὰρ ἔτυχον ἐν τῇ ἀγορᾷ ὄν-
τες· οἱ δὲ νεώτεροι, ὑποπτεύσαντος Πασιμήλου τὸ μέλ-
λον ἔσεσθαι, ἡσυχίαν ἔσχον ἐν τῷ Κρανείῳ. Ὡς δὲ
τῆς κραυγῆς ᾔσθοντο, καὶ φεύγοντές τινες ἐκ τοῦ πρά-
γματος ἀφίκοντο πρὸς αὐτούς, ἐκ τούτου ἀναδραμόν-
τες κατὰ τὸν Ἀκροκόρινθον, προςβαλόντας μὲν Ἀρ-
γείους καὶ τοὺς ἄλλους ἀπεκρούσαντο· βουλευομένων 5
δέ, τί χρὴ ποιεῖν, πίπτει τὸ κιονόκρανον ἀπό του κίονος
οὔτε σεισμοῦ οὔτε ἀνέμου γενομένου. Καὶ θυομένοις
δὲ τοιαῦτα ἦν τὰ ἱερά, ὥςτε οἱ μάντεις ἔφασαν ἄμεινον
εἶναι καταβαίνειν ἐκ τοῦ χωρίου. Καὶ τὸ μὲν πρῶτον
ὡς φευξόμενοι ἔξω τῆς Κορινθίας ἀπεχώρησαν· ἐπεὶ
δὲ καὶ οἱ φίλοι αὐτοὺς ἔπειθον καὶ μητέρες ἰοῦσαι καὶ
ἀδελφαί, καὶ αὐτῶν δὲ τῶν ἐν δυνάμει ὄντων ἦσαν οἳ
ὀμνύοντες ὑπισχνοῦντο μηδὲν χαλεπὸν αὐτοὺς πείσε-
σθαι, οὕτω δὴ ἀπῆλθόν τινες οἴκαδε αὐτῶν. Ὁρῶν- 6
τες δὲ τοὺς τυραννεύοντας, αἰσθανόμενοι δὲ ἀφανιζο-

§. 4. οὕτως B. C. I. V., ceteri οὕτω. — Κρανείῳ F. Dind. pro Κρανίῳ. — Steph. κατὰ τὴν Ἀκροκ. — B. προςβαλλόντας (sic).

§. 5. F. Dind. κιόκρανον pro κιονόκρανον. — ἀπό του Schneid. pro ἀπὸ τοῦ. — B. Steph. Leoncl. om. καὶ ante θυομένοις. — A. E. edd. vett. φευξούμενοι. — ἀδελφαὶ coni. Naber. pro ἀδελφοὶ. — F. οὕτω δὲ. — Campius in Philol. 1852. p. 273. pro ἀπῆλθον coni. ἐπανῆλθον.

§. 6. Ald. Iunt. ὁρῶντες δή. — αἰσθανόμενοι B. C. D. E. F.

§. 4. οὕτως] V. ad III, 5, 14.

μᾶλλον] Magis enim versabantur tunc forte in foro quam alibi: rarius sane dicendi genus, quo cave ne putes adverbium loco esse adiectivi. Nam si dicere voluisset scriptor maiorem seniorum quam iuniorum numerum fuisse in foro, ponere debebat πλέονες, non μᾶλλον.

ἐν τῷ Κρανείῳ] qui lucus cum gymnasio erat ante urbem. Pausan. II, 2, 4.

ἐκ τοῦ πράγματος] ex caede, ut VII, 1, 17.

§. 5. ἀπό του κίονος] Non video, quid obstet huic scripturae, si quidem de nota et certa quadam columna non cogitandum est. Aut hoc aut ἀπὸ κίονος scribendum.

ἰοῦσαι] venientes. V. ad IV, 8, 5. V, 4, 29.

ἀπῆλθον — οἴκαδε] Cf. I, 7, 4. V, 3, 26. Cyrop. I, 3, 6. Anab. I, 7, 4. Plat. Syrup. p. 193. C. Demosth. adv. Leoch. 33. Unde videbis, non opus esse ἐπανῆλθον. Ne id quidem debet offendere, quod non dicitur, unde abierint domum redeuntes, si quidem satis est scire fuisse in exsilio, id quod paullo ante dictum est verbis οἱ φευξόμενοι ἔξω Κορινθίας ἀπεχώρησαν. Reliqui, ut coniicere licet, Sicyonem fugerunt, qui §. 8. commemorantur. Teste Diodoro XIV, 86 erant quingenti, Xenophon §. 9 centum quinquaginta exsulum mentionem facit.

§. 6. ἀφανιζομένην τὴν πόλιν] Diodor. XIV, 92: Ἀρ-

μένην τὴν πόλιν διὰ τὸ καὶ ὅρους ἀνασπᾶσθαι καὶ Ἄργος ἀντὶ Κορίνθου τὴν πατρίδα αὐτοῖς ὀνομάζεσθαι καὶ πολιτείας μὲν ἀναγκαζόμενοι τῆς ἐν Ἄργει μετέχειν, ἧς οὐδὲν ἐδέοντο, ἐν δὲ τῇ πόλει μετοίκων ἔλαττον δυνάμενοι, ἐγένοντό τινες αὐτῶν, οἳ ἐνόμισαν οὕτω μὲν ἀβίωτον εἶναι· πειρωμένους δὲ τὴν πατρίδα, ὥςπερ ἦν καὶ ἐξ ἀρχῆς, Κόρινθον ποιῆσαι καὶ ἐλευθέραν ἀποδεῖξαι καὶ τῶν μὲν μιαιφόνων καθαράν, εὐνομίᾳ δὲ χρωμένην, ἄξιον εἶναι, εἰ μὲν δύναιντο καταπρᾶξαι ταῦτα, σωτῆρας γενέσθαι τῆς πατρίδος, εἰ δὲ μὴ δύναιντο, τῶν γε καλλίστων καὶ μεγίστων ἀγαθῶν ὀρεγομένους ἀξιεπαινοτάτης τελευτῆς τυχεῖν.
7 Οὕτω δὴ ἐπιχειρεῖτον ἄνδρε δύο, Πασίμηλός τε καὶ Ἀλκιμένης, διαδύντες διὰ χειμάῤῥου συγγενέσθαι Πραξίτᾳ τῷ Λακεδαιμονίων πολεμάρχῳ, ὃς ἐτύγχανε μετὰ τῆς ἑαυτοῦ μόρας φρουρῶν ἐν Σικυῶνι, καὶ εἶπον, ὅτι δύναιντ' ἂν παρασχεῖν αὐτῷ εἴςοδον εἰς τὰ κατατείνοντα ἐπὶ Λέχαιον τείχη. Ὁ δὲ καὶ πρόσθεν γιγνώσκων τὼ ἄνδρε ἀξιοπίστω ὄντε, ἐπίστευσε καὶ διαπραξάμενος, ὥςτε καὶ τὴν ἀπιέναι μέλλουσαν ἐκ Σικυῶνος μόραν καταμεῖναι, ἔπραττε τὴν

Schneid. Dind. pro *αἰσθόμενοι*. — Schneid. addit *τοὺς* ante *ὅρους*. — *αὐτοῖς* B. Dind. pro *αὐτῶν*. — A. E. edd. vett. *καί τι πολιτείας*. — *μὲν ἀβίωτον* F. Dind., *μὲν ἀξιοβίωτον* B. C. D. E., *μὴ ἀξιοβίωτον* V., ceteri *μὲν οὐκ ἀξιοβίωτον*. — *τῶν γε καλλ.* Schneid. Dind. pro *τῶν τε καλλ.* — *ἀξιεπαινοτάτης* B. E. Schneid. Dind. pro *ἀξιεπαινετωτάτης*.

§. 7. *διαδύντες* B. I. pro *διαδύντε*. — *παρασχεῖν αὐτῷ* B. C. D. I. V. Dind. pro *αὐτῷ παρασχεῖν*.

*γεῖοι — στρατεύσαντες εἰς Κόρινθον τήν τ' ἀκρόπολιν κατελάβοντο καὶ τὴν πόλιν ἐξιδιοποιησάμενοι τὴν Κορινθίων, χώραν Ἀργείαν ἐποίησαν.* V. infra IV, 8, 34. V, 1, 36.

*μετοίκων*] Argivorum.

*πειρωμένους δέ*] De structura verborum Morus, Weiskius, Schneiderus mira profecto in medium proferunt, quae recocta esse a Dindorfio magis etiam mireris. Non viderunt, a verbo *ἐνόμισαν*, ut *οὕτω μὲν ἀβίωτον εἶναι*, sic etiam *ἄξιον εἶναι* pendere. Ergo coniungas: *ἄξιον εἶναι — σωτῆρας γενέσθαι —, εἰ δὲ μὴ δύναιντο, — τυχεῖν*, ita ut infinitivi *γενέσθαι* et *τυχεῖν* suspensi sint ab *ἄξιον — εἶναι*.

*ὥςπερ — καί*] V. ad IV, 3, 2.

§. 7. *διαδύντες*] quanquam antecedit dualis *ἐπιχειρεῖτον*. V. ad Comment. I, 2, 16. 33: *καλέσαντες ὅτε Κριτίας καὶ ὁ Χαρικλῆς τὸν Σωκράτην τόν τε νόμον ἐδεικνύτην αὐτῷ καὶ — ἀπειπέτην μὴ διαλέγεσθαι.*

*τείχη*] qui duo muri Corinthum cum portu Lechaeo coniungebant. His a parte occidentali porta erat indita, per quam intrat Praxitas §. 8.

*ἔπραττε τὴν εἴςοδον*] hoc

εἴςοδον. Ἐπεὶ δὲ τὼ ἄνδρε καὶ κατὰ τύχην καὶ κατ' ἐπιμέλειαν ἐγενέσθην φύλακε κατὰ τὰς πύλας ταύτας, ἔνθαπερ τὸ τρόπαιον ἕστηκεν, οὕτω δὴ ἔχων ὁ Πραξίτας ἔρχεται τήν τε μόραν καὶ Σικυωνίους καὶ Κορινθίων ὅσοι φυγάδες ὄντες ἐτύγχανον. Ἐπεὶ δ' ἦν πρὸς ταῖς πύλαις, φοβούμενος τὴν εἴςοδον, ἐβουλήθη τῶν πιστῶν ἄνδρα εἰςπέμψαι σκεψόμενον τὰ ἔνδον. Τὼ δὲ εἰςηγαγέτην καὶ οὕτως ἁπλῶς ἀπεδειξάτην, ὥςτε ὁ εἰςελθὼν ἐξήγγειλε πάντα εἶναι ἀδόλως οἷάπερ ἐλεγέτην. Ἐκ τούτου δ' εἰςέρχεται. 8

Ὡς δὲ πολὺ διεχόντων τῶν τειχῶν ἀπ' ἀλλήλων παρατεττόμενοι ὀλίγοι ἑαυτοῖς ἔδοξαν εἶναι, σταύρωμά τ' ἐποιήσαντο καὶ τάφρον οἵαν ἐδύναντο πρὸ αὑτῶν, ἕως δὴ οἱ σύμμαχοι βοηθήσοιεν αὐτοῖς. Ἦν δὲ καὶ ὄπισθεν αὐτῶν ἐν τῷ λιμένι Βοιωτῶν φυλακή. Τὴν μὲν οὖν ἐπὶ τῇ νυκτί, ᾗ εἰςῆλθον, ἡμέραν ἄμαχοι διήγαγον· τῇ δ' ὑστεραίᾳ ἧκον οἱ Ἀργεῖοι πασσυδίᾳ βοηθοῦντες· καὶ εὑρόντες τεταγμένους 9

§. 8. καὶ ante κατὰ τυχὴν addunt B. D. I. V. Schneid. Dind. — ἔχων ὁ Πρ. ἔρχεται B. C. D. E. V. Dind. pro ἔρχ. ὁ Πρ. ἔχων. — ὄντες ἐτύγχανον B., ceteri ἐτύγχ. ὄντες. — ἐβουλήθη B. D. E. Dind. pro ἠβ.

§. 9. V. ἐκ τούτων δη. — A. E. edd. vett. ὡς δ' οὐ πολὺ; E. addit δὴ post πολὺ. — V. σταυρώματά τε. — βοηθήσοιεν αὐτοῖς B., Dind. αὐτοῖς βοηθήσοιεν, ceteri αὐτοῖς βοηθήσαιεν. — πασσυδίᾳ B. C. I.

agebat, ut intraret urbem. V. ad Ages. I, 11.

§. 8. καὶ κατὰ τύχην καὶ κατ' ἐπιμέλειαν] partim fortuna partim industria sua, quum alter fortuna (h. e. ex ordine) portae custos esset, alter operam dedit, ut socius illius fieret. Ita non erat cur Campius corrigeret ἢ κατὰ τύχην ἢ καὶ κατ' ἀμέλειαν. Quamquam saepissime inter ἢ et καί, interdum etiam inter ἢ et ἢ καί variant libri, velut infra IV, 5, 12. Cyrop. II, 2, 2.

τὸ τρόπαιον] quod a Spartanis exstructum erat post pugnam Corinthiam. V. IV, 2, 23.

φυγάδες] V. ad §. 5.

ἁπλῶς ἀπεδειξάτην] scil. τὰ ἔνδον. Quare noli quidquam desiderare cum Schneidero, cui huc retrahenda videntur οἷάπερ ἐλεγέτην. Dindorfium, qui malebat ἐπεδειξάτην, fugit sensum esse: monstrantes probabant intus omnia esse tuta.

§. 9. εἰςέρχεται] Diodor. XIV, 86. narrat, Lacedaemonios cum exsulibus Corinthiis et sociis primum cepisse Lechaeum, postero die pugnasse cum Iphicrate eiusque exercitu ad idem Lechaeum, tum demum advenisse Boeotos, Athenienses, Argivos, Corinthios ad oppugnandum Lechaeum, unde victos et repulsos in urbem Corinthum concessisse. Propius a Xenophonte absunt quae refert Polyaen. I, 9, 54, qui certe pugnae inter muros factae mentionem facit.

σταύρωμα — καὶ τάφρον] per totum inter muros spatium, ne ab una vel altera parte circumiri et invadi possent.

τῷ λιμένι] Lechaeo.

Λακεδαιμονίους μὲν ἐπὶ τῷ δεξιῷ ἑαυτῶν, Σικυωνίους δὲ ἐχομένους, Κορινθίων δὲ τοὺς φυγάδας ὡς πεντήκοντα καὶ ἑκατὸν πρὸς τῷ ἑῴῳ τείχει, ἀντιτάττονται ἐχόμενοι τοῦ ἑῴου τείχους οἱ περὶ Ἰφικράτη μισθοφόροι, πρὸς δὲ τούτοις Ἀργεῖοι· εὐώνυμον δ' εἶχον αὐτοῖς Κορίνθιοι οἱ ἐκ τῆς πόλεως. Καταφρονήσαντες δὲ τῷ πλήθει εὐθὺς ἐχώρουν· καὶ τοὺς μὲν Σικυωνίους ἐκράτησαν καὶ διασπάσαντες τὸ σταύρωμα ἐδίωκον ἐπὶ θάλατταν, καὶ ἐκεῖ πολλοὺς αὐτῶν ἀπέκτειναν. Πασίμαχος δὲ ὁ ἱππαρμοστής, ἔχων ἱππέας οὐ πολλούς, ὡς ἑώρα τοὺς Σικυωνίους πιεζομένους, καταδήσας ἀπὸ δένδρων τοὺς ἵππους, [καὶ] ἀφελόμενος τὰς ἀσπίδας

Dind. pro πασσυδὶ. — ὡς πεντήκοντα Dind. pro vulg. ὡς ἐς πεντ. quod ex codd. solus habet A. — Post ἐχόμενοι om. δὲ Mor. edd. sqq. — Ἰφικράτη scripsi pro Ἰφικράτην, quod dederunt Schneid. edd. sqq. pro vulg. Φιλοκράτη. — οἱ post Κορίνθιοι inserunt C. V. marg. Leoncl. Schneid. Dind.

§. 10. B. om. ὡς ante ἑώρα. — B. ἐθελόντων. — σίγμα Schaef. Dind. pro vulg. σίγματα. — ὑμὲ Dind. pro vulg. ὕμμε, F. V. ὗμε.

ἐπὶ τῷ δεξιῷ ἑαυτῶν] idem est quod τὸ δεξιὸν ἔχοντας ἑαυτῶν, de qua re Schneiderus non debebat dubitare. Genitivus autem ἑαυτῶν, quia partitivus est, non attributivus, sic recte collocatus est. Si dicere voluisset Xenophon: Lacedaemonios adversus suum cornu dextrum collocatos inveniunt, scribendum erat non ἐπὶ τῷ δεξιῷ ἑαυτῶν, sed κατὰ τὸ ἑαυτῶν δεξιόν. Cf. infra §. 11, supra IV, 2, 18. 19; 3, 17. Praeterea Lacedaemonii si dextro hostium cornu oppositi fuissent, ipsi sui exercitus laevum cornu tenuissent. Nunquam vero dextrum cornu sociis concessum esse a Spartanis recte monet Campius. V. IV, 2, 18. 3, 16. Ergo Lacedaemonii locum tenent muro occidentali proximum, quibus opponuntur Corinthii. Adversariorum dextrum cornu, i. e. locum iuxta murum orientalem, habent Iphicratis milites, contra quos stant exsules Corinthiorum; in media acie collocantur ab altera parte Sicyonii, ab altera Argivi. Versus meridiem urbemque conversi sunt Lacedaemonii cum sociis, versus septentrionem et Lechaeum adversarii.

Ἰφικράτη] De forma v. ad IV, 8, 13.

§. 10. ἐχώρουν] procedebant.

ἐκράτησαν] scil. Ἀργεῖοι, ad quos etiam antea εὑρόντες pertinebat, sed ita, ut subiecto paululum mutato verbum finitum ἀντιτάττονται simul socios Argivorum comprehendat. Transitur igitur a parte ad totum, ut saepius a toto ad partem. V. ad §. 1. Iam vero reditur ad solos Argivos, quos, quum plurimam exercitus partem efficiant, imprimis in animo habet Xenophon.

τὸ σταύρωμα] Initium pugnae erat inter urbem et vallum, quo diruto superati Sicyonii ab Argivis versus Lechaeum propelluntur.

καταδήσας] postquam religari iussit.

[καὶ] ἀφελόμενος] Malim καὶ delere, quia sic per rationem grammaticam αὐτῶν facilius refertur ad Sicyonios, ad quos referatur necesse est. Vertas: quum

αὐτῶν, μετὰ τῶν ἐθελοντῶν ᾔει ἐναντίον τοῖς Ἀργείοις. Οἱ δὲ Ἀργεῖοι ὁρῶντες τὰ σίγμα τὰ ἐπὶ τῶν ἀσπίδων, ὡς Σικυωνίους οὐδὲν ἐφοβοῦντο. Ἔνθα δὴ λέγεται εἰπὼν ὁ Πασίμαχος Ναὶ τὼ σιώ, Ἀργεῖοι, ψεύσει ὑμὲ τὰ σίγμα ταῦτα, χωρεῖν ὁμόσε· καὶ οὕτω μαχόμενος μετ' ὀλίγων πρὸς πολλοὺς ἀποθνήσκει καὶ ἄλλοι τῶν περὶ αὐτόν. Οἱ μέντοι φυγάδες τῶν Κορινθίων νικῶντες 11
τοὺς καθ' αὐτοὺς διέδυσαν ἄνω καὶ ἐγένοντο ἐγγὺς τοῦ περὶ τὸ ἄστυ κύκλου· οἱ δ' αὖ Λακεδαιμόνιοι ὡς ᾔσθοντο κρατοῦντα τὰ κατὰ τοὺς Σικυωνίους, βοηθοῦσιν ἐξελθόντες, ἐν ἀριστερᾷ ἔχοντες τὸ σταύρωμα. Οἵ γε μὴν Ἀργεῖοι ἐπεὶ ἤκουσαν ὄπισθεν ὄντας τοὺς Λακε-

§. 11. κρατοῦντα ex coni. dedi pro κρατούμενα. — B. στραφέν-

pressos videret Sicyonios, religatis ad arbores equis, clipeos illis ademit et cum eis, qui sponte se adiungerent, obviam ivit Argivis.

μετὰ τῶν ἐθελοντῶν] cum iis ex equitibus suis, qui tanquam pedites Sicyoniorum fugatorum clipeis armati contra Argivos ire vellent.

τὰ σίγμα] Hoc vocabulum, ubi significat litteram, apud recentiores demum scriptores declinatur. Ut Sicyonii litteram Σ, sic Thebani Θ, Lacedaemonii Λ scutis suis inscribebant. V. Schneider. ad VII, 5, 20.

ἐφοβοῦντο] scil. αὐτούς.

Ναὶ τὼ σιώ] h. e. Ναὶ τὼ θεώ. De qua formula laconica v. Anab. VI, 6, 34. VII, 6, 39. Etiam Ages. V, 5. pro εἶπεν οὑτωσί, iubente Dindorfio ad l. Anab. posteriorem, scribendum est εἶπε Ναὶ τὼ σιώ. Intelligendi sunt Dioscuri, Castor et Pollux. V. Heiland. de dial. Xen. p. 5. et 10.

ὑμέ] forma dorica, ὔμμε aeolica.

§. 11. τοὺς καθ' αὐτούς] Iphicratis mercenarios, quos levis armaturae fuisse opinatur Grotius. Praeterea pauci videntur fuisse, si superantur a centum quinquaginta exsulibus Corinthiis, et parum adhuc exercitati, quippe qui nuper demum essent collecti: certe ante hoc tempus non commemorantur.

τοῦ — κύκλου] muri urbem cingentis. Schneiderus comparat Demosth. pro corona §. 300: καὶ τούτοις ἐτείχισα τὴν χώραν, οὐχὶ τὸν κύκλον μόνον τοῦ Πειραιῶς οὐδὲ τοῦ ἄστεος. Cf. infra V, 3, 22.

οἱ δ' αὖ Λακεδαιμόνιοι] Deesse aliquid videtur, nisi Lacedaemonios, qui iam occurrunt Argivis, antea repulisse Corinthios sibi oppositos et rediisse intra vallum facile per se intelligi putaveris. Alia h. l. Campius in Philol. 1852. p. 275. immerito desiderat. Numero Lacedaemonii longe inferiores (v. §. 9 et 10.) erant adversariis. Hanc ob causam non recta via vallum post terga relinquentes petunt Argivos a parte septentrionali redeuntes, sed egressi ita, ut a sinistra vallum habeant, quo tuti sunt contra impetum Argivorum, pergunt versus partem orientalem usque ad eum locum, ubi Argivi super vallum ab ipsis (§. 10) dirutum praetereunt.

κρατοῦντα] Necessario scribendum erat pro κρατούμενα, propterea quod per τὰ κατὰ τοὺς Σικυωνίους nullo modo Sicyonii, sed victores Argivi, qui collocati antea fuerant contra Sicyonios, significantur.

δαιμονίους, στραφέντες δρόμῳ πάλιν ἐκ τοῦ σταυρώματος ἐξέπιπτον. Καὶ οἱ μὲν ἐν δεξιᾷ ἔσχατοι αὐτῶν παιόμενοι εἰς τὰ γυμνὰ ὑπὸ τῶν Λακεδαιμονίων ἀπέθνῃσκον, οἱ δὲ πρὸς τῷ τείχει ἀθρόοι σὺν πολλῷ ὄχλῳ πρὸς τὴν πόλιν ἀπεχώρουν. Ὡς δ' ἐνέτυχον τοῖς φυγάσι τῶν Κορινθίων καὶ ἔγνωσαν πολεμίους ὄντας, ἀπέκλιναν πάλιν. Ἐνταῦθα μέντοι οἱ μὲν κατὰ τὰς κλίμακας ἀναβαίνοντες ἥλοντο κατὰ τοῦ τείχους καὶ διεφθείροντο, οἱ δὲ περὶ τὰς κλίμακας ὠθούμενοι καὶ παιόμενοι ἀπέθνῃσκον, οἱ δὲ καὶ καταπατούμενοι ὑπ'
12 ἀλλήλων ἀπεπνίγοντο. Οἱ δὲ Λακεδαιμόνιοι οὐκ ἠπόρουν, τίνα ἀποκτείνοιεν· ἔδωκε γὰρ τότε γε ὁ θεὸς αὐτοῖς ἔργον οἷον οὐδ' εὔξαντό ποτ' ἄν. Τὸ γὰρ ἐγχειρισθῆναι αὐτοῖς πολεμίων πλῆθος πεφοβημένον, ἐκπεπληγμένον, τὰ γυμνὰ παρέχον, ἐπὶ τὸ μάχεσθαι οὐδένα τρεπόμενον, εἰς δὲ τὸ ἀπόλλυσθαι πάντας πάντα ὑπηρετοῦντας, πῶς οὐκ ἄν τις θεῖον ἡγήσαιτο; Τότε

τας et εἰς τοὺς γυμνούς. — A. B. E. F. edd. vett. ἥλοντο, quod recepi, ceteri ἥλλοντο.

§. 12. Ald. οὐκ εὔξ. pro οὐδ' εὔξ., εὔξαντο B. C. D. (E. ex corr.) F. I. V. Leoncl. Dind. pro εὔξαιντο. — ἐπὶ τὸ B. C. D. F. marg. Leoncl. Schneid. Dind. pro ἐπὶ τῷ.

πάλιν — ἐξέπιπτον] h. e. redeunt ex ea parte, quae erat inter vallum et Lechaeum, in eam quae inter vallum erat et urbem.

εἰς τὰ γυμνά] Advertebant enim Argivi dextra sua latera adorientibus Lacedaemoniis. V. ad IV, 2, 22.

τοῖς φυγάσι τ. Κ.] qui Iphicratis mercenariis in urbem fugatis iam redeunt.

ἀπέκλιναν πάλιν] rursus declinabant; nam qui a Spartanis pressi quam proxime ad murum orientalem concesserant, nunc, ut occurrentes exsules Corinthios vitent, versus occidentalem murum se convertunt.

κατὰ τὰς κλίμακας] Oppidanis portas aperire non ausi scalas a muro demittunt, per quas fugientes adscendunt murum, sed desilientes in urbem pereunt.

ἥλοντο] Etiam IV, 5, 7. plurimi libri praebent καθαλόμενος, eodem ducit scriptura cod. B: καθαλλόμενος. V. Kuehner. ad Anab. IV, 2, 17. Comment. I, 3, 9. G. Saupp. in Annal. Lips. a. 1833. p. 394. Buttm. gr. max. §. 114. et Rost. gr. mai. v. ἅλλομαι. Ceterum qua vi ponatur aoristus, quem mox sequuntur imperfecta, facile senties, si comparaveris adn. ad III, 4, 24: ἔπεσον — ἔφευγον, IV, 6, 11: ταχὺ ἐνέκλιναν καὶ ἀπέθνῃσκον.

§. 12. πάντας πάντα ὑπηρετοῦντας] omnes omnem interficiendi dantes facultatem. Secundum Diodor. XIV, 86 circa mille homines occidebantur.

πῶς — ἡγήσαιτο] Eandem sententiae conformationem habes Comment. II, 1, 8: καὶ γὰρ πάνυ μοι δοκεῖ ἄφρονος ἀνθρώπου εἶναι τὸ — ὑπέχειν, τοῦτο πῶς οὐ

γοῦν οὕτως ἐν ὀλίγῳ πολλοὶ ἔπεσον, ὥςτε εἰθισμένοι ὁρᾶν οἱ ἄνθρωποι σωροὺς σίτου, ξύλων, λίθων, τότε ἐθεάσαντο σωροὺς νεκρῶν. Ἀπέθανον δὲ καὶ οἱ ἐν τῷ λιμένι τῶν Βοιωτῶν φύλακες, οἱ μὲν ἐπὶ τῶν τειχῶν, οἱ δὲ ἐπὶ τὰ τέγη τῶν νεωςοίκων ἀναβάντες. Μετὰ μὲν 13
τοίνυν τοῦτο οἱ μὲν Κορίνθιοι καὶ Ἀργεῖοι τοὺς νεκροὺς ὑποσπόνδους ἀπήγοντο, οἱ δὲ σύμμαχοι τῶν Λακεδαιμονίων ἐβοήθουν. Ἐπεὶ δὲ ἠθροίσθησαν, ἔγνω Πραξίτας πρῶτον μὲν τῶν τειχῶν καθελεῖν, ὥςτε δίοδον στρατοπέδῳ ἱκανὴν εἶναι, ἔπειτα ἀναλαβὼν τὸ στράτευμα ἦγε τὴν ἐπὶ Μέγαρα καὶ αἱρεῖ προςβαλὼν πρῶτον μὲν Σιδοῦντα, ἔπειτα δὲ Κρομμυῶνα. Καὶ ἐν τούτοις τοῖς τείχεσι καταστήσας φρουροὺς τοὔμπαλιν ἐπορεύετο· καὶ τειχίσας Ἐπιεικίαν, ἵνα φρούριον εἴη πρὸ τῆς φιλίας τοῖς συμμάχοις, οὕτω διαφῆκε τὸ στράτευμα καὶ αὐτὸς τὴν ἐπὶ Λακεδαίμονα ἀπεχώρει.

§. 13. συμμ. B. D. Dind. pro ξύμμ. — B. E. pr. στρατοπέδων. — F. V. ἔπειτα δ' ἀναλ. — V. ἔπειτα Κρομμ. — A. B. C. E. edd. vett. Steph. πρὸς τῆς φιλίας.

πολλὴ ἀφροσύνη ἐστί; Cf. etiam ad Cyrop. I, 1, 3.

εἰθισμένοι ὁρᾶν] Haec inepte interposita arbitror ab eo, qui manca putaret ὥςτε ὡς σωροὺς σίτου. Nam haec scripsisse mihi videtur Xenophon, aut ὥςτε οἱ ἄνθρωποι ὡς σωροὺς σίτου, aut etiam ὥςτε οἱ ἄνθρωποι ὥς που σωροὺς σίτου.

οἱ ἐν τῷ λιμένι — φύλακες] De quibus v. §. 9. Cf. etiam Diodor. XIV, 86. Grotium V, p. 267. adn. 16.

§. 13. ὑποσπόνδους ἀπήγοντο] Cobetus emendat ὑποσπόνδους ἀνῃροῦντο, quae usitata de hac re est locutio. At si τοὺς νεκροὺς ὑποσπόνδους ἀπολαμβάνειν I, 2, 11. et VII, 5, 26, cur non liceat dicere ὑποσπόνδους ἀπάγειν, h. e. collecta corpora (vehiculo) abducere ad sepulturam.

οἱ δὲ σύμμαχοι] qui exspectabantur §. 9.

τῶν τειχῶν —, ὥςτε] tantum murorum, quantum opus erat, ut —. De genitivo v. ad III, 1, 4. 3, 8. IV, 3, 14.

δίοδον στρατοπέδῳ] nimirum Sicyone in Isthmum profecturo.

ἔπειτα] omisso δέ, ut Ages. I, 12. Oecon. V, 5. ubi v. adn.

πρὸ τῆς φιλίας] i. e. ad terram sociorum tuendam, Sicyoniorum scil., quod manifestum est ex iis, quae modo narrata sunt. Perperam Grotius Epidaurios intelligit. In quem errorem incidit eo, quod Epiiciam in confinio Corinthiorum et Epidauriorum sitam esse statuit. Apparet autem ex IV, 2, 14, ubi Spartani κατὰ τὴν Ἐπιεικίαν ex agro Sicyonio in Corinthium invasisse dicuntur, Sicyonem et Corinthum illo monte disterminatas fuisse.

§. 14. στρατιαὶ — μεγάλαι] Opponuntur exercitus omnibus civibus, qui armis ferendis pares sunt, constantes exercitibus mercenariis, qui illo primum tempore Conone, Iphicrate, Chabria auctoribus conducti sunt. V. quos

14 *Ἐκ δὲ τούτου στρατιαὶ μὲν μεγάλαι ἑκατέρων διεπέπαυντο, φρουροὺς δὲ πέμπουσαι αἱ πόλεις, αἱ μὲν εἰς Κόρινθον, αἱ δὲ εἰς Σικυῶνα, ἐφύλαττον τὰ τείχη· μισθοφόρους γε μὴν ἑκάτεροι ἔχοντες διὰ τούτων ἐῤῥωμένως ἐπολέμουν.*

15 *Ἔνθα δὴ καὶ Ἰφικράτης εἰς Φλιοῦντα ἐμβαλὼν καὶ ἐνεδρεύσάμενος, ὀλίγοις δὲ λεηλατῶν, βοηθησάντων τῶν ἐκ τῆς πόλεως ἀφυλάκτως, ἀπέκτεινε τοσούτους, ὥςτε καὶ τοὺς Λακεδαιμονίους πρόσθεν οὐ δεχόμενοι εἰς τὸ τεῖχος οἱ Φλιάσιοι, φοβούμενοι, μὴ τοὺς φάσκοντας ἐπὶ λακωνισμῷ φεύγειν κατάγοιεν, τότε οὕτω κατεπλάγησαν τοὺς ἐκ Κορίνθου, ὥςτε μετεπέμψαντό τε τοὺς Λακεδαιμονίους καὶ τὴν πόλιν καὶ τὴν ἄκραν φυλάττειν αὐτοῖς παρέδωκαν. Οἱ μέντοι Λακεδαιμόνιοι, καίπερ εὐνοϊκῶς ἔχοντες τοῖς φυγάσιν, ὅσον χρόνον εἶχον αὐτῶν τὴν πόλιν, οὐδ᾽ ἐμνήσθησαν παντάπασι περὶ καθόδου φυγάδων, ἀλλ᾽ ἐπεὶ ἀναθαῤῥῆσαι ἐδόκει ἡ πόλις, ἐξῆλθον καὶ τὴν πόλιν καὶ τοὺς νόμους παρα-*
16 *δόντες οἵανπερ καὶ παρέλαβον. Οἱ δ᾽ αὖ περὶ τὸν Ἰφικράτην πολλαχόσε καὶ τῆς Ἀρκαδίας ἐμβαλόντες ἐλεηλάτουν τε καὶ προςέβαλλον πρὸς τὰ τείχη· ἔξω γὰρ οἱ τῶν Ἀρκάδων ὁπλῖται παντάπασιν οὐκ ἀντεξῄεσαν· οὕτω τοὺς πελταστὰς ἐπεφόβηντο. Τοὺς μέντοι Λακε-*

§. 15. B. om. *τοὺς* ante *φάσκοντας.*
§. 16. *προςέβαλλον* B. C. D. F. V. Schneid. Dind pro *προςέβα-*

affert Schneiderus: Isocr. ad Philipp. p. 101 D. Demosth. contr. Phil. I, p. 46. Harpocration. v. *ξενικόν.* Bellum, ait Xenophon, milite mercenario continuatur, sed in praesidia cives mittuntur.

§. 15. *εἰς Φλιοῦντα*] in agros Phliasiorum. Has incursiones fecit Iphicrates ex urbe Corintho. Hic enim cum mercenariis suis significatur paullo post verbis *τοὺς ἐκ Κορίνθου.*

*ὀλίγοις*] cum paucis. V. Buttm. §. 133. adn. 13. Rost. §. 161. 9. b. Kuehner. §. 285. adn. 2.

*ὥςτε καί*] Iungas *καὶ* cum *οὐ δεχόμενοι* eodem sensu quo est III, 5, 2: *καὶ οὐ μεταλαβόντες.* De re hic narrata cf. Diod. XIV, 92.

*πρόσθεν οὐ δεχόμενοι*] De praesentis participio de re praeterita, quae ad praesens usque tempus pertinet, usurpato v. ad Cyrop. I, 4, 25: *καὶ πρόσθεν τιμῶν αὐτὸν τότε ὑπερεξεπέπληκτο ἐπ᾽ αὐτῷ,* et ad Ages. I, 3, 6. Comment. III, 5, 4. Infra V, 4, 29.

*οἵανπερ*] facilius esset ferendum, si antecederet *τὴν πόλιν τούς τε νόμους,* id quod recte animadvertit R. Schneider. Quaest. Xen. p. 28, qui scribendum censet *οἵαπερ.* De part. *καί* v. ad *ὥςπερ καὶ* IV, 3, 2.

§. 16. *τῆς Ἀρκαδίας*] Genitivus pendet a *πολλαχόσε.*

*τὰ τείχη*] oppida muris munita.

*πελταστὰς*] Corn. Nep. Iph. I, 3: pedestria arma mutavit

δαιμονίους οὕτως αὖ οἱ πελτασταὶ ἐδεδίεσαν, ὡς ἐντὸς ἀκοντίσματος οὐ προςῄεσαν τοῖς ὁπλίταις· ἤδη γάρ ποτε καὶ ἐκ τοσούτου διώξαντες οἱ νεώτεροι τῶν Λακεδαιμονίων ἑλόντες ἀπέκτειναν τινας αὐτῶν. Καταφρο- 17
νοῦντες δὲ οἱ Λακεδαιμόνιοι τῶν πελταστῶν, ἔτι μᾶλλον τῶν ἑαυτῶν συμμάχων κατεφρόνουν· καὶ γὰρ οἱ Μαντινεῖς βοηθήσαντές ποτε ἐπεκδραμόντες πελτασταῖς ἐκ τοῦ ἐπὶ Λέχαιον τείνοντος τείχους, ἀκοντιζόμενοι ἐνέκλινάν τε καὶ ἀπέθανόν τινες αὐτῶν φεύγοντες· ὥςτε οἱ μὲν Λακεδαιμόνιοι καὶ ἐπισκώπτειν ἐτόλμων, ὡς οἱ σύμμαχοι φοβοῖντο τοὺς πελταστὰς ὥςπερ μορμόνας παιδάρια. Αὐτοὶ δ' ἐκ τοῦ Λεχαίου ὁρμώμενοι σὺν μόρᾳ καὶ τοῖς Κορινθίων φυγάσι κύκλῳ περὶ τὸ ἄστυ τῶν Κορινθίων ἐστρατοπεδεύοντο· οἱ δ' αὖ 18
Ἀθηναῖοι φοβούμενοι τὴν ῥώμην τῶν Λακεδαιμονίων, μὴ ἐπεὶ τὰ μακρὰ τείχη τῶν Κορινθίων διῄρητο, ἔλ-

λον. — ἐδεδίεσαν omnes libri mss. et edd. ante Schneiderum, qui edidit ἐδέδισαν, Dind. ὤκνουν. — B. τούτου pro τοσούτου.

§. 17. μορμόνας Dind., ceteri μορμῶνας. — Ante Κορινθίων om. τῶν B. C. D. V. — ἐστρατοπεδεύοντο, monente Schneid., dedit Dind. pro ἐστρατεύοντο.

§. 18. ἐπεὶ D. V. Schneid. Dind. pro ἐπὶ. — Ante διῄρητο B. C.

— peltam pro parma fecit —, ut ad motus concursusque essent leviores. Cf. ibid. II, 2. Diodor. XV, 44. Peltastae ante Iphicratem minus erant expediti, quare Anab. V, 2, 16. aliisque locis ibi a Kuehnero allatis distinguuntur a ψιλοῖς.

ἐδεδίεσαν] contra Phrynichi eiusque interpretis, Lobeckii (p. 180) praeceptum. Sed consentiunt libri in hac forma etiam Thucyd. IV, 55. V, 14, ubi vulgatam lectionem Poppo mutare non ausus est. V. etiam Kuehner. ad Anab. V, 6, 36. In tanta virorum harum rerum peritissimorum dissensione omnium codicum scripturam servare melius duxi quam „levi veterum grammaticorum niti auctoritate.“ Dindorfii lectio petita est e Prisciano XVIII, 25, vol. II, p. 225. ed. Krehl., qui ad confirmandam structuram verbi ὀκνῶ τούτοις καὶ ὀκνῶ τοῦτο haec posuit: τοῖς μὲν Λακεδαιμονίοις οὕτως αὖ οἱ πελτασταὶ ὤκνουν, quibus verbis hic Xenophontis locus respici videtur. Quanti aestimanda sit veterum grammaticorum auctoritas, ubi exempla afferunt ex scriptoribus, singulare exstat exemplum de eodem verbo ὀκνεῖν apud Suidam s. v. ὤκνουν, ubi verba sumta videntur ex Anab. I, 3, 1: sed sensum reddunt, non quae Xenophon vere scripsit. V. Bernhardy ad illum Suidae locum. De mala Prisciani librorum fide v. etiam ipsum Dindorf. ad Hellen. IV, 8, 22.

ἐκ τοσούτου — ἑλόντες] scil. ἀκοντίοις. Cf. IV, 5, 15: ὡς δὲ ἐδίωκον, ᾕρουν τε οὐδένα ἐξ ἀκοντίου βολῆς ὁπλῖται. V, 4, 40. Cf. etiam VII, 4, 13: ἐκ πολλοῦ.

§. 17. ὥςπερ μορμόνας παιδάρια] locutio laconica. Mueller. Dor. II, p. 244. Heiland. de dial. Xen. p. 4.

§. 18. ἐπεὶ — διῄρητο] V.

θοιεν ἐπὶ σφᾶς, ἡγήσαντο κράτιστον εἶναι ἀνατειχίσαι τὰ διῃρημένα ὑπὸ Πραξίτα τείχη. Καὶ ἐλθόντες πανδημεὶ μετὰ λιθολόγων καὶ τεκτόνων τὸ μὲν πρὸς Σικυῶνος καὶ πρὸς ἑσπέρας ἐν ὀλίγαις ἡμέραις πάνυ καλὸν ἐξετείχισαν. τὸ δὲ ἑῷον μᾶλλον κατὰ ἡσυχίαν ἐτείχιζον.

19 Οἱ δ' αὖ Λακεδαιμόνιοι ἐνθυμηθέντες τοὺς Ἀργείους τὰ μὲν οἴκοι καρπουμένους, ἡδομένους δὲ τῷ πολέμῳ, στρατεύουσιν ἐπ' αὐτούς. Ἀγησίλαος δὲ ἡγεῖτο καὶ δῃώσας πᾶσαν αὐτῶν τὴν χώραν εὐθὺς ἐκεῖθεν ὑπερβαλὼν κατὰ Τενέαν εἰς Κόρινθον αἱρεῖ τὰ ἀνοικοδομηθέντα ὑπὸ τῶν Ἀθηναίων τείχη. Παρεγένετο δὲ αὐτῷ καὶ ἀδελφὸς Τελευτίας κατὰ θάλατταν, ἔχων τριήρεις περὶ δώδεκα· ὥςτε μακαρίζεσθαι αὐτῶν τὴν μητέρα, ὅτι τῇ αὐτῇ ἡμέρᾳ ὧν ἔτεκεν ὁ μὲν κατὰ γῆν τὰ τείχη τῶν πολεμίων, ὁ δὲ κατὰ θάλατταν τὰς ναῦς καὶ τὰ νεώρια ᾕρηκε. Καὶ τότε μὲν ταῦτα πράξας ὁ Ἀγησίλαος τό τε τῶν συμμάχων στράτευμα διῆκε καὶ τὸ πολιτικὸν οἴκαδε ἀπήγαγεν.

D. I. V. Schneid. Dind. om. ἃ. — *Σικυῶνος* et *ἑσπέρας* B. C. D. E. I. V. marg. Leoncl. Dind., F. *Σικυῶνα* et *ἑσπέρας*, ceteri *Σικυῶνα* et *ἑσπέραν*. — *καθ' ἡσυχ.* V. Dind. pro *κατὰ ἡσυχ.*

§. 19. *Τενέαν* Koeppen. Schneid. Dind. pro *Τεγέαν*. — B. om. *καὶ* post *αὐτῷ*. — *ἀδελφὸς* Dind., B. C. D. E. F. I. *ἀδελφὸς*, ceteri *ὁ ἀδελφὸς*.

§. 13. Nam dirutis his muris, ut in Megarensium, sic in Atheniensium agros Spartanis patebat via. Cf. Ages. II, 17. ibique adnotata.

*μᾶλλον κατὰ ἡσυχίαν*] nimirum muro occidentali iam confecto tuti contra invasiones hostium.

§. 19. *ὑπερβαλών*] superatis montibus, qui apud Teneam in confinio sunt agrorum Argivorum et Corinthiorum. Cf. ad V, 4, 41. Ages. II, 17: *εὐθὺς ἐκεῖθεν ὑπερβαλὼν κατὰ τὰ στενὰ εἰς Κόρινθον*, ubi v. adn.

*ὁ δὲ — ᾕρηκε*] Cobetum, qui postulat *ᾑρήκει*, satis est relegare ad Kuehneri adn. ad Anab. II, 1, 3: *οὗτοι ἔλεγον, ὅτι Κῦρος μὲν τέθνηκεν —*. Ceterum ex hoc loco Grotius, V, p. 271. colligendum existimat, tunc demum Lechaeum portum in potestatem Lacedaemoniorum venisse, non praecedenti anno, quo id factum esse Diodor. XIV, 86. statuisse videatur.

# CAPUT V.

## ARGUMENTUM.

Postea quum Piraeo portu Corinthii opes suas tuerentur, rursus Lacedaemonii Agesilao duce bellum iis intulerunt. Hic quum reperisset portum illum magno praesidio munitum, callide fecit, ut praesidiarii discederent ipsique occupandi portus facultatem praeberent. Occupavit et castellum, quo facto ii, qui Heraeum confugerant, sponte se suaque ipsi dediderunt. Eius laetitiam turbavit nuntius de mora Lacedaemoniorum deleta. Nam Amyclaeos ad celebranda Hyacinthia ituros peltastae Iphicrate duce paucis exceptis conciderunt. Agesilaus deinde relicta ad tuendum Lechaeum mora domum est profectus.

---

1 *Ἐκ δὲ τούτου Λακεδαιμόνιοι ἀκούοντες τῶν φευγόντων, ὅτι οἱ ἐν τῇ πόλει πάντα μὲν τὰ βοσκήματα* A.Ch. a *ἔχοιεν καὶ σῴζοιντο ἐν τῷ Πειραίῳ, πολλοὶ δὲ τρέφοιντο αὐτόθεν, στρατεύουσι πάλιν εἰς τὴν Κόρινθον Ἀγησιλάου καὶ τότε ἡγουμένου. Καὶ πρῶτον μὲν ἦλθεν εἰς Ἰσθμόν· καὶ γὰρ ἦν ὁ μήν, ἐν ᾧ Ἴσθμια γίγνεται, καὶ οἱ Ἀργεῖοι αὐτοῦ ἐτύγχανον τότε ποιοῦντες τὴν θυσίαν τῷ Ποσειδῶνι, ὡς Ἄργους τῆς Κορίνθου ὄντος. Ὡς δ'*

Cap. V. §. 1. Ante *Λακεδαιμ.* om. *οἱ* B. C. D. F. I. L. et pr. m. E. Dind. — *ἀκούοντες* B. I., ceteri *ἀκούσαντες*. — B. D. I. V. *τὰ τῶν φευγ.*, F. *τοὺς τῶν φευγ.* — *οἱ* ante *ἐν τῇ*, monente Leoncl., addunt Schneid. Dind. — *αὐτόθεν* Dind., ceteri *αὐτόθι*. — B. D. E. F. *τοῦ*

Cap. V. §. 1. *ἀκούοντες*] Cf. IV, 8, 12. V, 1, 32. VI, 5, 33.

*οἱ ἐν τῇ πόλει*] Articulus *οἱ* deesse non potest; nam non in urbe, sed in Piraeo portu habent et adservant pecudes.

*εἰς Ἰσθμόν*] Notandum est, Lechaeum teneri a Lacedaemoniis; inde invadunt Isthmum.

*καὶ γὰρ ἦν — γίγνεται*] Haec adduntur, ut intelligatur, cur non statim Agesilaus Piraeum petierit.

*ὁ μήν*] Secundo quoque et quarto cuiusque olympiadis anno celebrabantur Isthmia et Thucydide (VIII, 9, 10) certe auctore anni 412. a. Ch. in mensem Aprilem inciderunt. Haec animadvertit Grotius V, p. 274. contra Dodwellum et Schneiderum, a quibus ad primum et tertium quemvis olympiadis annum referuntur. H. l. intelligendus est anni 392 mensis Aprilis vel Maius.

*ὡς Ἄργους τῆς Κορίνθου ὄντος*] quasi Argos esset Corinthus. Ludis enim praeesse eosque sacrificio auspicari antiquitus erat Corinthiorum, non Argivorum, quos reprehendit Xenophon, quod id ius, quod Corinthiorum erat, sibi arrogassent. Alii vertunt: quasi Corinthus Argos, i. e. Argivorum esset, cl. IV, 4, 6. 8, 15. Non re-

ᾔσθοντο προσιόντα τὸν Ἀγησίλαον, καταλιπόντες καὶ τὰ τεθυμένα καὶ τὰ ἀριστοποιούμενα μάλα σὺν πολλῷ φόβῳ ἀπεχώρουν εἰς τὸ ἄστυ κατὰ τὴν ἐπὶ Κεγχρείας
2 ὁδόν. Ὁ μέντοι Ἀγησίλαος ἐκείνους μὲν καίπερ ὁρῶν οὐκ ἐδίωκε, κατασκηνήσας δὲ ἐν τῷ ἱερῷ αὐτός τε τῷ θεῷ ἔθυε καὶ περιέμενεν, ἕως οἱ φυγάδες τῶν Κορινθίων ἐποίησαν τῷ Ποσειδῶνι τὴν θυσίαν καὶ τὸν ἀγῶνα. Ἐποίησαν δὲ καὶ οἱ Ἀργεῖοι ἀπελθόντος Ἀγησιλάου ἐξ ἀρχῆς πάλιν Ἴσθμια. Καὶ ἐκείνῳ τῷ ἔτει ἔστι μὲν ἃ τῶν ἄθλων δὶς ἕκαστος ἐνικήθη, ἔστι δὲ ἃ
3 δὶς οἱ αὐτοὶ ἐκηρύχθησαν. Τῇ δὲ τετάρτῃ ἡμέρᾳ ὁ Ἀγησίλαος ἦγε πρὸς τὸ Πείραιον τὸ στράτευμα. Ἰδὼν δὲ ὑπὸ πολλῶν φυλαττόμενον ἀπεχώρησε μετ' ἄριστον πρὸς τὸ ἄστυ, ὡς προδιδομένης τῆς πόλεως· ὥςτε οἱ

Κορ. pro τῆς Κορ. — μάλα addunt B. D. I. V. Steph. Leoncl. Schneid. Dind.

§. 2. B. pr. κατασκηνώσας.

§. 3. μετ' ἄριστον πρὸς τὸ ἄστυ A. B. C. D. F. V. Schneid. Dind.

cte; nam ὄντος positum est, non οὔσης. Nec quidquam probat Dindorfius comparans Thucyd. III, 112: ἀφικνοῦνται ἐπ' Ἰδομένην, ἐστὸν δὲ δύο λόφω ἡ Ἰδομένη ὑψηλώ, quae vertas: *es sind aber, nämlich das genannte* (ἡ) *Idomene, zwei Hügel.* Quo sensu dici nequaquam poterat: δύο δὲ ὑψηλὼ λόφω ἡ Ἰδομένη ἐστόν, et sic demum collocata probarent haec verba quod volebat Dindorfius: Praedicati saepe (v. Rost. §. 148. 2. cc. Kuehn. §. 241. b.), nunquam subiecti iuxta positi genus et numerum adsciscit copula. Ergo τῆς Κορίνθου pro praedicato, non pro subiecto habendum est. Cui rationi articulum non obstare per se patet. Etenim sententia Xenophontis est: Ἄργος οὐκ ἦν ἡ Κόρινθος.

μάλα σὺν πολλῷ] Ab adiectivo vel adverbio suo cum vi quadam dirimitur μάλα, ut πάνυ, πολύ, μᾶλλον. V. IV, 8, 31. VI, 3, 37. VII, 5, 15. Infra §. 4: πάνυ ἐφ' ὑψηλοῦ. VI, 4, 14. Cyrop. I, 6, 39: πάνυ ἐπὶ τοῖς μικροῖς θηρίοις. Thucyd. VI, 86: πολὺ δὲ ἐπὶ ἀληθεστέραν γε σωτηρίαν.

τὸ ἄστυ] Corinthum. V. §. 3.

§. 2. περιέμενεν] Plutarch. Ages. XXI, 1: παρέμεινε καὶ παρέσχεν ἀσφάλειαν. Cf. Pausan. III, 10, 1.

καὶ ἐκείνῳ τῷ ἔτει] h. e. atque ita fiebat, ut illo anno, quod nullo alio factum est, —.

ἃ — ἐκηρύχθησαν] De accusativo v. ad IV, 1, 40.

ἕκαστος] De iis certaminibus cogitandum est, quibus plures contendebant, veluti currendo, discum iaculando. Aliter Plutarch. Ages. XXI, 2: καί τινες μὲν ἐνίκησαν πάλιν, εἰσὶ δ' οἳ νενικηκότες πρότερον, ὕστερον ἡττημένοι ἀνεγράφησαν.

§. 3. τὸ ἄστυ] Piraeo opponitur terrae Corinthiae caput, quod, postquam semel ita significatum est, idem mox dicitur πόλις. Cf. §. 9. et 10. V, 1, 22.

ὡς προδιδομένης] ut suspicionem moveret, in eo esse, ut urbs proderetur. V. ad III, 5, 19.

Κορίνθιοι δείσαντες, μὴ προδιδοῖτο ὑπό τινων ἡ πό-
λις, μετεπέμψαντο τὸν Ἰφικράτην σὺν τοῖς πλείστοις
τῶν πελταστῶν. Αἰσθόμενος δὲ ὁ Ἀγησίλαος τῆς νυ-
κτὸς παρεληλυθότας αὐτούς, ὑποστρέψας ἅμα τῇ ἡμέ-
ρᾳ εἰς τὸ Πείραιον ἦγε. Καὶ αὐτὸς μὲν κατὰ τὰ θερ-
μὰ προήει, μόραν δὲ κατὰ τὸ ἀκρότατον ἀνεβίβασε. Καὶ
ταύτην μὲν τὴν νύκτα ὁ μὲν πρὸς ταῖς θέρμαις ἐστρα-
τοπεδεύετο, ἡ δὲ μόρα τὰ ἄκρα κατέχουσα ἐνυκτέρευ-
σεν. Ἔνθα δὴ καὶ ὁ Ἀγησίλαος μικρῷ, καιρίῳ δ' ἐν- 4
θυμήματι εὐδοκίμησε. Τῶν γὰρ τῇ μόρᾳ φερόντων
τὰ σιτία οὐδενὸς πῦρ εἰςενεγκόντος, ψύχους δὲ ὄντος
διά τε τὸ πάνυ ἐφ' ὑψηλοῦ εἶναι καὶ διὰ τὸ γενέσθαι
ὕδωρ καὶ χάλαζαν πρὸς τὴν ἑσπέραν, καὶ ἀναβεβήκε-
σαν δὲ ἔχοντες οἷα δὴ θέρους σπειρία, ῥιγούντων δ'
αὐτῶν καὶ ἐν σκότῳ ἀθύμως πρὸς τὸ δεῖπνον ἐχόντων,
πέμπει ὁ Ἀγησίλαος οὐκ ἔλαττον δέκα φέροντας πῦρ

pro *πρὸς τ. α. μετ' ἀρ.* — *προδ. ὑπό τινων ἡ πόλις* B. D. V. Dind. pro *ἡ πόλις προδ. ὑπό τινων.* — *προήει* B. D. I. margg. Steph. et Leoncl. Dind. pro *παρήει.* — B. C. D. F. I. Dind. *ταῖς θερμαῖς*, ceteri *τοῖς θερμοῖς*, scripsi *θέρμαις.* — *ἐνυκτέρευσεν* B. D. F., ceteri *ἐνυκτέρευεν.*

§. 4. Post *μικρῷ* om. *μὲν* B. D. E. F. I. — Dind. *ἀνεβεβήκεσαν.* — B. *ἐπειδὴ δὲ ἀνέβησαν.* — Dind. *καόμενος.*

*τὸν Ἰφικράτην*] qui erat Piraei, unde arcessebatur ab iis, qui in urbe Corintho remanserant.

*κατὰ τὰ θερμά*] i. e. ea via, quae ducebat secundum thermas, vel accuratius, secundum ea loca, in quibus erant thermae; thermae ipsae sunt *αἱ θέρμαι.*

*ταῖς θέρμαις*] De hac voce eiusque accentu v. Lobeck. ad Phryn. p. 331.

*ἐνυκτέρευσεν*] Nihil est quod praeferas imperfectum. Cf. Anab. IV, 5, 11: *ἐνυκτέρευσαν ἄσιτοι καὶ ἄνευ πυρός.* Saepissime autem levissima cogitationis mutatione ab imperfecto ad aoristum transitur et vice versa. V. ad IV, 6, 11. V, 1, 21.

§. 4. *μικρῷ*] Ne desideres *μέν*, v. ad III, 3, 1. IV, 4, 3.

*πάνυ ἐφ' ὑψηλοῦ*] V. ad §. 1.

*καὶ ἀναβεβήκεσαν δὲ*] Inducunt parenthesin particulae *καὶ — δέ*, ut saepius *καὶ γάρ* vel simplex *γάρ* velut §.8. De forma *ἀναβεβήκεσαν* v. ad I, 5, 10. et Kuehner. ad Anab. V, 2, 15.

*οἷα δή*] V. ad IV, 1, 24.

*σπειρία*] vestimenti genus aestivum ac tenuius. „Scripturam suspectam facit non modo forma diminutiva, sed etiam quod grammatici, ubi *σπεῖρον* citant, consentiunt ita dictum esse aut *ῥάκος* cuiuscunque vestis aut *τὸ ῥακῶδες* vel *τὸ πολυτελὲς ἱμάτιον*, quod parum convenit vesti Spartanorum militari. Itaque Xenophontem suspicari licet posuisse *σείρια.*" Dind. ad Steph. Thes. v. *σπειρίον.*

*σκότῳ*] De hac et altera multo frequentiori forma *σκότει* v. Kuehner. ad Comment. IV, 3, 7.

*οὐκ ἔλαττον δέκα*] V. ad III, 2, 19. 4, 13. IV, 2, 7. De

ἐν χύτραις. Ἐπεὶ δὲ ἀνέβησαν ἄλλος ἄλλῃ, καὶ πολλὰ
καὶ μεγάλα πυρὰ ἐγένετο, ἅτε πολλῆς ὕλης παρούσης,
πάντες μὲν ἠλείφοντο, πολλοὶ δὲ καὶ ἐδείπνησαν ἐξ
ἀρχῆς. Φανερὸς δὲ ἐγένετο καὶ ὁ νεὼς τοῦ Ποσειδῶνος
ταύτῃ τῇ νυκτὶ καιόμενος· ὑφ᾽ ὅτου δὲ ἐνεπρήσθη
5 οὐδεὶς οἶδεν. Ἐπεὶ δὲ ᾔσθοντο οἱ ἐν τῷ Πειραίῳ τὰ
ἄκρα ἐχόμενα, ἐπὶ μὲν τὸ ἀμύνασθαι οὐκέτι ἐτράποντο,
εἰς δὲ τὸ Ἥραιον κατέφυγον καὶ ἄνδρες καὶ γυναῖκες
καὶ δοῦλοι καὶ ἐλεύθεροι καὶ τῶν βοσκημάτων τὰ πλεῖ-
στα. Καὶ Ἀγησίλαος μὲν δὴ σὺν τῷ στρατεύματι παρὰ
θάλατταν ἐπορεύετο· ἡ δὲ μόρα ἅμα καταβαίνουσα ἀπὸ
τῶν ἄκρων Οἰνόην τὸ ἐντετειχισμένον τεῖχος αἱρεῖ καὶ
τὰ ἐνόντα ἔλαβε, καὶ πάντες δὴ οἱ στρατιῶται ἐν ταύτῃ
τῇ ἡμέρᾳ πολλὰ τὰ ἐπιτήδεια ἐκ τῶν χωρίων ἐλάμβα-
νον. Οἱ δ᾽ ἐν τῷ Ἡραίῳ καταπεφευγότες ἐξήεσαν,
ἐπιτρέψοντες Ἀγησιλάῳ γνῶναι ὅ τι βούλοιτο περὶ
σφῶν. Ὁ δ᾽ ἔγνω, ὅσοι μὲν τῶν σφαγέων ἦσαν, παρα-

§. 5. A. C. E. edd. vett. περὶ θάλατταν. — πάντες δὴ B. D. F. Dind. pro πάντες δὲ. — Marg. Leoncl. ἐπιτρέψαντες.

omisso ἢ adde Rost. §. 173. adn. 2. Buttm. §. 132. adn. 21. Kuehn. §. 23. adn. 4.

ἠλείφοντο] „ut artus frigore torpentes agiles fierent vel ut frigore se defenderent.“ Kuehner. ad Anab. IV, 4, 13.

ἐξ ἀρχῆς] ut ἐξ ἀρχῆς πάλιν §. 2.

ὁ νεὼς τοῦ Ποσειδῶνος] qui erat in luco Neptuno sacro.

§. 5. τὸ Ἥραιον] promontorium contra Sicyonem situm et excurrens in sinum Crissaeum, in quo erat templum Iunonis Acraeae.

σὺν τῷ στρατεύματι] Verbo, quod motionem significat, item additur σύν I, 4, 9. 10. IV, 5, 11. 12. 8, 23. V. Kuehner. ad Anab. I, 8, 1.

Οἰνόην] Geraneo morte descendunt versus septentrionem. V. chartam ab O. Muellero descriptam. Oenoe est Piraei castellum.

ἔλαβε — ἐλάμβανον] V. ad III, 4, 24.

ἐν τῷ Ἡραίῳ καταπεφευγότες] De hoc dicendi genere v. imprimis Bernhardy. Synt. p. 208., qui comparat cum h. l. Thucyd. IV, 14: ταῖς δὲ λοιπαῖς ἐν τῇ γῇ καταπεφευγυίαις ἐνέβαλλον, VII, 87: ὅσα εἰκὸς ἐν τῷ τοιούτῳ χωρίῳ ἐμπεπτωκότας κακοπαθῆσαι. V. Poppo. ad hos locos et Kuehner. ad Anab. IV, 7, 17: καὶ τὰ ἐπιτήδεια ἐν τούτοις ἀνακεκομισμένον ἦσαν, eiusque gr. §. 300. 3 a. Rost. gr. mai. §. 106. adn. 7. Est constructio praegnans, in qua tamen praevalet quietis notio. Notandum est omnibus his locis inveniri perfecti participium. Diversa vero ratio est loci III, 4, 24: ἐν τῷ ποταμῷ ἔπεσον, ubi v. adn.

ἐξήεσαν] ex templo eiusque aula muro cincta.

γνῶναι] cognoscere, decernere.

τῶν σφαγέων] V. IV, 4, 3.

δοῦναι αὐτοὺς τοῖς φυγάσι, τὰ δ' ἄλλα πάντα πραθῆναι. Ἐκ τούτου δὲ ἐξῄει μὲν ἐκ τοῦ Ἡραίου πάμπολλα 6 τὰ αἰχμάλωτα· πρεσβεῖαι δὲ ἄλλοθέν τε πολλαὶ παρῆσαν καὶ ἐκ Βοιωτῶν ἧκον ἐρησόμενοι, τί ἂν ποιοῦντες εἰρήνης τύχοιεν. Ὁ δὲ Ἀγησίλαος μάλα μεγαλοφρόνως τούτους μὲν οὐδ' ὁρᾶν ἐδόκει, καίπερ Φάρακος τοῦ προξένου παρεστηκότος αὐτοῖς, ὅπως προσαγάγοι· καθήμενος δ' ἐπὶ τοῦ περὶ τὴν λίμνην κυκλοτεροῦς οἰκοδομήματος ἐθεώρει πολλὰ τὰ ἐξαγόμενα. Τῶν δὲ Λακεδαιμονίων ἀπὸ τῶν ὅπλων σὺν τοῖς δόρασι παρηκολούθουν φύλακες τῶν αἰχμαλώτων, μάλα ὑπὸ τῶν παρόντων θεωρούμενοι· οἱ γὰρ εὐτυχοῦντες καὶ κρατοῦντες ἀεί πως ἀξιοθέατοι δοκοῦσιν εἶναι. Ἔτι δὲ καθη- 7 μένου Ἀγησιλάου καὶ ἐοικότος ἀγαλλομένῳ τοῖς πεπραγμένοις, ἱππεύς τις προσήλαυνε καὶ μάλα ἰσχυρῶς ἱδρῶντι τῷ ἵππῳ. Ὑπὸ πολλῶν δὲ ἐρωτώμενος, ὅ τι ἀγγέλλοι, οὐδενὶ ἀπεκρίνατο, ἀλλ' ἐπειδὴ ἐγγὺς ἦν τοῦ Ἀγησιλάου, καθαλόμενος ἀπὸ τοῦ ἵππου καὶ προσδραμὼν αὐτῷ μάλα σκυθρωπὸς ὢν λέγει τὸ τῆς ἐν Λεχαίῳ μόρας πάθος. Ὁ δ' ὡς ἤκουσεν, εὐθύς τε ἐκ τῆς ἕδρας ἀνεπήδησε καὶ τὸ δόρυ ἔλαβε καὶ πολεμάρχους

§. 6. ἐκ τούτου δὲ B. C. D. E. F. V. marg. Leoncl. Dind. pro ἐκ τούτου δή. — πολλαὶ om. A. C. E. edd. vett. — τὴν λίμνην B. D. I. V. edd. omnes ante Dindorfium, qui suadentibus Leoncl. et Steph. τὸν λιμένα recepit.

§. 7. A. C. E. F. edd. vett. ἱππεύς τε προσήλ. — ἱδρῶντι B., reliqui ἱδροῦντι, F. ἱδροῦντι ἰσχυρῶς. — A. C. E. F. edd. vett. om.

τὰ δ' ἄλλα] et res et homines.

§. 6. ἐδόκει] videbatur; nam se non videre legatos simulabat. Plutarch. Ages. XXII, 1: προσεποιεῖτο μηδ' ὁρᾶν αὐτούς.

προσαγάγοι] scil. legatos ad Agesilaum.

τὴν λίμνην] De hoc lacu nostra aetate Vuliasmeni nominato, ad cuius ripas occidentales templi Iunonis Acraeae reliquiae hodiedum conspiciuntur, v. Grotium V, p. 277. Ut hic, sic IV, 6, 6. alius (Acarnaniae) lacus commemoratur addito articulo tanquam omnibus notus, utroque loco omisso nomine.

ἀπὸ τῶν ὅπλων] e castris. V. ad II, 4, 6. Cyrop. VII, 2, 5.

ἀεί πως] Cf. ad ἀεί ποτε III, 5, 11.

§. 7. καὶ μάλα] De part. καί v. ad III, 4, 9.

ἱδρῶντι] Anab. I, 8, 1. Cyrop. I, 4, 28: ἱδροῦντι τῷ ἵππῳ. Sed illam formam Atticis quoque vindicant Buttm. gr. max. I. §. 105. adn. 16. Dindorf. Praef. Cyrop. ed. Lips. 1859. p. XIV.

καθαλομενος] De hac forma v. ad IV, 4, 11.

τὸ — πάθος] De articulo v. ad IV, 3, 10. Paullo post §. 8: οἱ νεκροί.

καὶ πεντηκοντῆρας καὶ ξεναγοὺς καλεῖν τὸν κήρυκα
8 ἐκέλευεν. Ὡς δὲ συνέδραμον οὗτοι, τοῖς μὲν ἄλλοις εἶπεν, οὐ γάρ πω ἠριστοποίηντο, ἐμφαγοῦσιν ὅ τι δύναιντο ἥκειν τὴν ταχίστην, αὐτὸς δὲ σὺν τοῖς περὶ δαμοσίαν ὑφηγεῖτο ἀνάριστος. Καὶ οἱ δορυφόροι τὰ ὅπλα ἔχοντες παρηκολούθουν σπουδῇ, τοῦ μὲν ὑφηγουμένου, τῶν δὲ μετιόντων. Ἤδη δ' ἐκπεπερακότος αὐτοῦ τὰ θερμὰ εἰς τὸ πλατὺ τοῦ Λεχαίου, προσελάσαντες ἱππεῖς τρεῖς ἀγγέλλουσιν, ὅτι οἱ νεκροὶ ἀνῃρημένοι εἴησαν. Ὁ δ' ἐπεὶ τοῦτο ἤκουσε, θέσθαι κελεύσας τὰ ὅπλα καὶ ὀλίγον χρόνον ἀναπαύσας ἀπῆγε πάλιν τὸ στράτευμα ἐπὶ τὸ Ἡραιον· τῇ δ' ὑστεραίᾳ τὰ αἰχμάλωτα διετίθετο.

9 Οἱ δὲ πρέσβεις τῶν Βοιωτῶν προσκληθέντες καὶ ἐρωτώμενοι, ὅ τι ἥκοιεν, περὶ μὲν τῆς εἰρήνης οὐκέτι ἐμέμνηντο, εἶπον δέ, ὅτι, εἰ μή τι κωλύοι, βούλοιντο εἰς ἄστυ πρὸς τοὺς σφετέρους στρατιώτας παρελθεῖν. Ὁ δ' ἐπιγελάσας, Ἀλλ' οἶδα μέν, ἔφη, ὅτι οὐ τοὺς στρατιώτας ἰδεῖν βούλεσθε, ἀλλὰ τὸ εὐτύχημα τῶν φί-

τοῦ ante Ἀγησ. — B. καθαλλόμενος, D. F. V. Dind. καθαλάμενος. — πεντηκοντῆρας Dind. pro πεντηκοστῆρας.

§. 8. ἠριστοποίηντο B. C. D. F. V. Schneid. Dind., edd. vett. ἀριστοποίοιντο, ceteri ἠριστοπεποίηντο. — F. ἐκέλευσε pro κελεύσας.

§. 9. Ante ἄστυ om. τὸ B. D. F. I. V. Dind. — Post ἀλλὰ om. τί

πεντηκοντῆρας] V. ad III, 5, 22.

§. 8. ἐμφαγοῦσι] apte iungitur cum ὅτι δύναιντο τὴν ταχίστην. Indicat enim festinationem, qua cibum sumi iubet Agesilaus. Cf. Anab. IV, 2, 1: ἐκέλευον αὐτοὺς ἐμφαγόντας πορεύεσθαι. IV, 5, 8: ἐμπιεῖν. Cyrop. VII, 1, 1. Aristoph. Pac. 1143, quos locos affert Schneiderus.

τοῖς περὶ δαμοσίαν] Iidem commemorantur IV, 7, 4. VI, 4, 14. Cf. de Rep. Lac. XV, 4: ὅπως δὲ καὶ οἱ βασιλεῖς ἔξω σκηνοῖεν, σκήνην αὐτοῖς δημοσίαν ἀπέδειξε κ. τ. λ. Sunt autem οἱ συσκηνοῦντες αὐτῷ secundum XIII, 1: οἱ πολέμαρχοι — καὶ ἄλλοι τρεῖς ἄνδρες τῶν ὁμοίων. V. etiam Heiland. de dial. Xen. p. 5.

τοῦ μέν] pertinet ad Agesilaum, τῶν δὲ ad τοὺς περὶ δαμοσίαν.

εἰς τὸ πλατύ] in campum ad Lechaeum pertinentem, monte, in cuius radice thermae sunt, post tergum relicto. V. Grotium V, p. 275. adn. 31.

θέσθαι κελεύσας τὰ ὅπλα] Hoc fecit, quia iam non erat, cur pergeret in itinere, quoniam pugna erat confecta et interfectorum corpora recepta.

§. 9. ὅ τι] i. e. διὰ τί.

οὐκέτι ἐμέμνηντο] Nam animi creverant illis morae Lacedaemoniorum clade. Plutarch. Ages. XXII, 3: ἀνθυβρίζοντες ἐκεῖνοι τῆς μὲν εἰρήνης οὐκ ἐμέμνηντο.

ἄστυ] πόλις dicitur §. 10, ut §. 3.

λων ὑμῶν θεάσασθαι πόσον τι γεγένηται. Περιμείνατε οὖν, ἔφη· ἐγὼ γὰρ ὑμᾶς αὐτὸς ἄξω, καὶ μᾶλλον μετ' ἐμοῦ ὄντες γνώσεσθε, ποῖόν τι τὸ γεγενημένον ἐστί. Καὶ οὐκ ἐψεύσατο, ἀλλὰ τῇ ὑστεραίᾳ θυσάμενος ἦγε 10
πρὸς τὴν πόλιν τὸ στράτευμα. Καὶ τὸ μὲν τρόπαιον οὐ κατέβαλεν, εἰ δέ τι ἦν λοιπὸν δένδρον, κόπτων καὶ κάων ἐπεδείκνυεν, ὡς οὐδεὶς ἀντεξῄει. Ταῦτα δὲ ποιήσας ἐστρατοπεδεύσατο περὶ τὸ Λέχαιον· καὶ τοὺς Θηβαίων μέντοι πρέσβεις εἰς μὲν τὸ ἄστυ οὐκ ἀνῆκε, κατὰ θάλατταν δὲ εἰς Κρεῦσιν ἀπέπεμψεν. Ἅτε δὲ ἀήθους τοῖς Λακεδαιμονίοις γεγενημένης τῆς τοιαύτης συμφορᾶς, πολὺ πένθος ἦν κατὰ τὸ Λακωνικὸν στράτευμα, πλὴν ὅσων ἐτέθνασαν ἐν χώρᾳ ἢ υἱοὶ ἢ πατέρες ἢ ἀδελφοί· οὗτοι δ' ὥςπερ νικηφόροι λαμπροὶ καὶ ἀγαλλόμενοι τῷ οἰκείῳ πάθει περιῄεσαν. Ἐγένετο δὲ τὸ τῆς 11
μόρας πάθος τοιῷδε τρόπῳ. Οἱ Ἀμυκλαῖοι ἀεί ποτε ἀπέρχονται εἰς τὰ Ὑακίνθια ἐπὶ τὸν παιᾶνα, ἐάν τε στρατοπεδευόμενοι τυγχάνωσιν, ἐάν τε ἄλλως πως ἀποδημοῦντες. Καὶ τότε δὴ τοὺς ἐκ πάσης τῆς στρατιᾶς Ἀμυκλαίους κατέλιπε μὲν Ἀγησίλαος ἐν Λεχαίῳ. Ὁ δ'

B. D. F. I. Schneid. edd. sqq. — ὑμῶν Mor. edd. sqq. ex Plutarch. Ages. XXII, 3. pro ἡμεῖς. — V. om. οὖν.

§. 10. B. C. D. V. edd. ante Dind. καὶ κλῶν, sed Brod. et Weisk. κύκλῳ, ceteri κυκλῶν pro καὶ κάων, quod dedit e coni. Koeppen. — ἐπεδείκνυεν B. D. F. Dind., ὑπεδείκνυεν V., ceteri ἀπεδείκνυεν. — Θηβαίων B. marg. Leoncl. Schneid. Dind. pro Θηβαίους. — ἀνῆκε suasu Schneideri recepit Dind. pro ἀνῆγε.

§. 11. τοιῷδε τρόπῳ B. D. E. F. V. Dind. pro τρόπῳ τοιῷδε. — A. C. F. I. edd. vett. στρατοπεδευσάμενοι. — κατέλιπε μὲν B. D. V. Dind., ceteri om. μέν.

§. 10. οὐ κατέβαλε] quia sacrosancta erant tropaea.

ἐπεδείκνυεν] De verborum ἀποδεικνύναι et ἐπιδεικνύναι discrimine v. adn. ad Oecon. III, 1. Cf. Plutarch. Ages. l. d.: οὕτω δὲ τοὺς Κορινθίους ἐξελέγξας ἀμύνεσθαι μὴ τολμῶντας ἀφῆκε τὴν πρεσβείαν.

ἐν χώρᾳ] V. ad IV, 2, 20.

§. 11. ἀεί ποτε] V. ad III, 5, 11.

τὰ Ὑακίνθια] per tres dies Amyclis Hecatombaeo mense in honorem Hyacinthi et Apollinis Carnei celebrabantur. Plura v. in Luebkeri libro, quem inscripsit „Reallexicon."

τὸν παιᾶνα] Apollinis.

στρατοπεδευόμενοι] dum in castris sunt. Anab. IV, 4, 8: στρατοπεδευομένων δὲ αὐτῶν γίγνεται τῆς νυκτὸς χιὼν πολλή· καὶ ἕωθεν ἔδοξε διασκηνῆσαι τὰς τάξεις. II, 2, 15. Cyrop. VIII, 5, 2. Ergo nihil opus est aoristo.

κατέλιπε μὲν Ἀγησίλαος] Particula μέν, quae magis pertinet ad Ἀγησ. quam ad κατέλιπε, ita collocata est, ut utrumque

ἐκεῖ φρουρῶν πολέμαρχος τοὺς μὲν ἀπὸ τῶν συμμά-
χων φρουροὺς παρέταξε φυλάττειν τὸ τεῖχος, αὐτὸς δὲ
σὺν τῇ τῶν ὁπλιτῶν καὶ τῇ τῶν ἱππέων μόρᾳ παρὰ τὴν
12 πόλιν τῶν Κορινθίων τοὺς Ἀμυκλαιεῖς παρῆγεν. Ἐπεὶ
δὲ ἀπεῖχον ὅσον εἴκοσιν ἢ τριάκοντα σταδίους τοῦ Σι-
κυῶνος, ὁ μὲν πολέμαρχος σὺν τοῖς ὁπλίταις οὖσιν ὡς
ἑξακοσίοις ἀπῄει πάλιν ἐπὶ τὸ Λέχαιον, τὸν δ' ἱππαρ-
μοστὴν ἐκέλευσε σὺν τῇ τῶν ἱππέων μόρᾳ, ἐπεὶ προ-
πέμψειαν τοὺς Ἀμυκλαιεῖς μέχρι ὁπόσου αὐτοὶ κελεύ-
οιεν, μεταδιώκειν. Καὶ ὅτι μὲν πολλοὶ ἦσαν ἐν τῇ Κο-
ρίνθῳ καὶ πελτασταὶ καὶ ὁπλῖται οὐδὲν ἠγνόουν· κατε-
φρόνουν δὲ διὰ τὰς ἔμπροσθεν τύχας μηδένα ἂν ἐπι-
13 χειρῆσαι σφίσιν. Οἱ δ' ἐκ τῶν Κορινθίων τοῦ ἄστεος,
Καλλίας τε ὁ Ἱππονίκου, τῶν Ἀθηναίων ὁπλιτῶν στρα-
τηγῶν, καὶ Ἰφικράτης, τῶν πελταστῶν ἄρχων, καθο-
ρῶντες αὐτοὺς καὶ οὐ πολλοὺς ὄντας καὶ ἐρήμους καὶ
πελταστῶν καὶ ἱππέων, ἐνόμισαν ἀσφαλὲς εἶναι ἐπιθέ-
σθαι αὐτοῖς τῷ πελταστικῷ. Εἰ μὲν γὰρ πορεύοιντο
τῇ ὁδῷ, ἀκοντιζομένους ἂν αὐτοὺς εἰς τὰ γυμνὰ ἀπόλ-
λυσθαι· εἰ δ' ἐπιχειροῖεν διώκειν, ῥᾳδίως ἂν ἀποφυγεῖν
πελτασταῖς τοῖς ἐλαφροτάτοις τοὺς ὁπλίτας. Γνόντες

§. 12. V. ἢ καὶ pro ἢ. — σταδίους B., ceteri στάδια. — ἐπεὶ προπ. B. D. E. F. I. V. Schneid. Dind. pro ἐπειδὴ προπ. — μέχρι B. Dind. pro μέχρις.

§. 13. B. om. τοῦ ante ἄστεος.

verbum efferatur. V. ad Comment. I, 6, 11: σὲ μὲν δίκαιον νομίζω, σοφὸν δὲ οὐδ' ὁπωστιοῦν, ibique Kuehner. Cf. supra ad III, 4, 23. Reliquerat autem Amyclaeos Lechaei, i. e. non secum duxerat Piraeum, ne prohiberentur ab instanti in patriam itinere.

παρέταξε] Nunquam παρατάττειν est imperare. Si genuina est lectio, vertas: (lustrandos) constituit, quibus tuendorum moenium curam mandaret. Schneidero magis placet simplex ἔταξε.

§. 12. ὅτι μέν] Opponuntur sibi οὐδὲν ἠγνόουν et κατεφρόνουν. V. ad IV, 3, 23.

κατεφρόνουν] gloriandi notionem simul involvit, ut infinitivus possit sequi, ut V, 4, 45: μέγα φρονοῦντες μὴ ὑπείξειν. Bernhardy Synt. p. 368. affert Herod. I, 66: καταφρονήσαντες Ἀρκάδων κρέσσονες εἶναι. Thucyd. III, 83, ubi v. Poppo.

§. 13. εἰς τὰ γυμνά] Corinthum enim praetereuntes Lacedaemonios peltastae Corintho egressi a dextro latere adoriebantur. Cf. ad IV, 4, 11.

ἀποφυγεῖν] scil. Calliam et Iphicratem.

πελτασταῖς] cum peltastis. V. ad Ages. II, 1: ἐπορεύετο — τῷ παμπληθεῖ στόλῳ. Buttm. gr. §. 133. adn. 13. Rost. §. 161. 9. h. Kuehner. §. 285. adn. 2.

δὲ ταῦτα ἐξάγουσι. Καὶ ὁ μὲν Καλλίας παρέταξε τοὺς 14
ὁπλίτας οὐ πόῤῥω τῆς πόλεως, ὁ δὲ Ἰφικράτης λαβὼν
τοὺς πελταστὰς ἐπέθετο τῇ μόρᾳ. Οἱ δὲ Λακεδαιμό-
νιοι ἐπεὶ ἠκοντίζοντο καὶ ὁ μέν τις ἐτέτρωτο, ὁ δὲ καὶ
ἐπεπτώκει, τούτους μὲν ἐκέλευον τοὺς ὑπασπιστὰς
ἀραμένους ἀποφέρειν εἰς Λέχαιον· καὶ οὗτοι μόνοι τῆς
μόρας τῇ ἀληθείᾳ ἐσώθησαν· ὁ δὲ πολέμαρχος ἐκέλευσε
τὰ δέκα ἀφ᾽ ἥβης ἀποδιῶξαι [τοὺς προειρημένους].
Ὡς δὲ ἐδίωκον, ᾕρουν τε οὐδένα ἐξ ἀκοντίου βολῆς 15
ὁπλῖται ὄντες πελταστάς· καὶ γὰρ ἀναχωρεῖν αὐτοὺς
ἐκέλευε, πρὶν τοὺς ὁπλίτας ὁμοῦ γίγνεσθαι· ἐπεὶ δὲ
ἀνεχώρουν ἐσπαρμένοι, ἅτε διώξαντες ὡς τάχους ἕκα-
στος εἶχεν, ἀναστρέφοντες οἱ περὶ τὸν Ἰφικράτην, οἵ τε
ἐκ τοῦ ἐναντίου πάλιν ἠκόντιζον καὶ ἄλλοι ἐκ πλαγίου
παραθέοντες εἰς τὰ γυμνά. Καὶ εὐθὺς μὲν ἐπὶ τῇ

§. 14. καὶ οὗτοι Leoncl. Dind., ceteri οὗτοι καί. — B. D. E. F. V. ἐνεκέλευσε pro ἐκέλευσε. — ἀποδιῶξαι B. C. D. E. F. I. marg. Leoncl. Schneid. Dind. pro ἐπιδιῶξαι.

§. 15. Marg. Leoncl. Wells. πρὶν τοῖς ὁπλίταις ὁμοῦ γίγνεσθαι,

§. 14. τῆς πόλεως] Corinthi. τούτους] vulneratos.

μόνοι — τῇ ἀληθείᾳ ἐσώθησαν] Si respicimus §. 17. extr. verba ὀλίγοι δέ τινες — ἐσώθησαν, recte iudicare Grotius videtur, qui solos vere servatos dici eos putat, qui honestis cum vulneribus e pugna evaserint, quum incolumem e clade servari summo dedecori haberetur apud Spartanos.

τὰ δέκα ἀφ᾽ ἥβης] V. ad II, 4, 32. Sunt autem qui non minus quam duodeviginti, non plus quam duodetriginta annos nati sunt.

§. 15. ᾕρουν τε] In animo habet scriptor haec fere: ᾕρουν τε οὐδένα — καὶ ἀναχωροῦντες — πάλιν ἠκοντίζοντο. De particula τε, quam interdum, mutata structura, non καί, sed adversativa particula sequitur, v. Haas. ad Remp. Lac. V, 7. G. Saupp. ad Vectig. IV, 36. Herbst. ad Symp. VIII, 2: ἐγώ τε — Χαρμίδην δὲ —. Ceterum ᾕρουν est telis assequebantur.

πρὶν τοὺς ὁπλίτας ὁμοῦ γίγνεσθαι] Intelligendi sunt ὁπλῖται, qui Callia duce prope muros collocati sunt §. 14. Ante ὁμοῦ cogitando addas αὐτοῖς. Alii verbi ἐκέλευσε subiectum esse Ἰφικράτης et τοὺς ὁπλίτας Lacedaemonios putant.

ἀνεχώρουν ἐσπαρμένοι] οἱ ὁπλῖται.

ὡς τάχους ἕκαστος εἶχεν] Eadem verba leguntur Thucyd. II, 90, 4. V. ad III, 4, 16. et Ages. I, 25. Herod. VI, 116: ὡς ποδῶν εἶχον, τάχιστα ἐβοήθεον. Buttm. §. 132. adn. 28. Rost. §. 162. III, 3 aa. Kuehn. §. 274. 3.

οἵ τε — καὶ ἄλλοι] Noli putare esse pro οἱ μὲν — οἱ δὲ. Vertas potius: et qui adversi stabant et alii a latere. Dicitur igitur οἱ — ἐκ τοῦ ἐναντίου — ἠκόντιζον per attractionem, de qua v. ad III, 1, 18, pro οἱ ἐν τῷ ἐναντίῳ sive οἱ ἐναντίοι.

καὶ εὐθὺς — κατηκόντιζον] In tanto meliorum codicum consensu imperfectum non erat repudiandum. Quod tempus pro-

πρώτῃ διώξει κατηκόντιζον ἐννέα ἢ δέκα αὐτῶν. Ὡς δὲ
16 τοῦτ' ἐγένετο, πολὺ ἤδη θρασύτερον ἐπέκειντο. Ἐπεὶ
δὲ κακῶς ἔπασχον, πάλιν ἐκέλευσεν ὁ πολέμαρχος διώ-
κειν τὰ πεντεκαίδεκα ἀφ' ἥβης. Ἀναχωροῦντες δὲ ἔτι
πλείονες αὐτῶν ἢ τὸ πρῶτον ἔπεσον. Ἤδη δὲ τῶν βελ-
τίστων ἀπολωλότων, οἱ ἱππεῖς αὐτοῖς παραγίγνονται
καὶ σὺν τούτοις αὖθις δίωξιν ἐποιήσαντο. Ὡς δ' ἐνέ-
κλιναν οἱ πελτασταί, ἐν τούτῳ κακῶς οἱ ἱππεῖς ἐπέ-
θεντο· οὐ γὰρ ἕως ἀπέκτειναν τινας αὐτῶν, ἐδίωξαν,
ἀλλὰ σὺν τοῖς ἐκδρόμοις ἰσομέτωποι καὶ ἐδίωκον καὶ
ἐπέστρεφον. Ποιοῦντες δὲ καὶ πάσχοντες τὰ ὅμοια
τούτοις καὶ αὖθις, αὐτοὶ μὲν ἀεὶ ἐλάττους τε καὶ μαλα-
κώτεροι ἐγίγνοντο, οἱ δὲ πολέμιοι θρασύτεροί τε καὶ ἀεὶ
17 πλείους οἱ ἐγχειροῦντες. Ἀποροῦντες δὴ συνίστανται
ἐπὶ βραχύν τινα γήλοφον, ἀπέχοντα τῆς μὲν θαλάττης
ὡς δύο στάδια, τοῦ δὲ Λεχαίου ὡς ἓξ ἢ ἑπτακαίδεκα

quod probat Cobet. — κατηκόντιζον B. C. D. E. F. I. V. marg. Leoncl. pro κατηκόντισαν. — V. δὴ pro ἤδη.

§. 16. πρῶτον B. D. F. Dind. pro πρότερον. — αὖθις B. C. D. E. F. I. V. margg. Leoncl. et Steph. Schneid. Dind. pro αὐτῶν. — Weisk. Schneid. ἐδίωκον pro ἐδίωξαν. — ἀλλὰ σὺν B. D. Dind. pro ἀλλὰ ξὺν. — τε post ἐλάττους om. A. C. E. edd. vett.

§. 17. Alterum στάδια addunt B. C. D. I. V. Dind. — πρὸς τού-

pter additum εὐθὺς non debere damnari ex magno locorum numero apparet: II, 4, 2. 10. III, 1, 19: εὐθὺς ἡγεῖτο. IV, 1, 41: εὐθὺς ἀπεπορεύετο. IV, 5, 10. V, 1, 8. 12: καὶ εὐθὺς ἠκόντιζον καὶ ἔβαλλον. V, 1, 33. 2, 31. VI, 1, 18. Anab. IV, 7, 2: προςέβαλλε εὐθὺς ἥκων. V, 4, 11. De vi imperfecti v. ad IV, 3, 19. III, 4, 24. Hic quoque depingitur actio et ante oculos quasi ponitur potius quam simpliciter refertur.

πολὺ ἤδη θρασύτερον] Tum vero, *da nun vollends* est ἤδη. V. ad III, 5, 14.

§. 16. ἀναχωροῦντες — αὐτῶν] V. ad IV, 4, 1: ὁρῶντες δ' οἱ Κορίνθιοι — οἱ πλεῖστοι — αὐτῶν — ἐπεθύμησαν.

οἱ ἱππεῖς] Intelligitur ἡ τῶν ἱππέων μόρα (§. 12), quae iam rediit ex comitatu Amyclaeorum.

κακῶς] ignavius, ut sequentia docent.

ἐκδρόμοις] scil. τῶν ὁπλιτῶν, qui ex acie procurrerant hostem repulsuri. Hoc recte monet Schneiderus, qui cum Sturzio comparat Thucyd. IV, 124. 127. 126. Medio loco commemorantur ἐκδρομαί, postremo ἔκδρομοι.

ἰσομέτωποι] non ultra lineam hoplitarum procurrentes.

ἐπέστρεφον] ad aciem revertunt.

ὅμοια τούτοις] eadem atque antea. Etenim ποιοῦντες — πάσχοντες sunt et hoplitae et equites, quod intelligitur ex verbis oppositis οἱ δὲ πολέμιοι.

καὶ αὖθις] iterum iterumque. Anab. IV, 7, 2: ἐπεὶ δὲ ἡ πρώτη τάξις ἀπέκαμνε, ἄλλη προςῄει καὶ αὖθις ἄλλη, *und immer wieder eine andere.*

§. 17. στάδια — στάδια] In eiusdem vocis iteratione nihil

στάδια. Αἰσθόμενοι δ' οἱ ἀπὸ τοῦ Λεχαίου, εἰςβάντες εἰς πλοιάρια παρέπλεον, ἕως ἐγένοντο κατὰ τὸν γήλοφον. Οἱ δ' ἀποροῦντες ἤδη, ὅτι ἔπασχον μὲν κακῶς καὶ ἀπέθνησκον, ποιεῖν δὲ οὐδὲν ἐδύναντο, πρὸς τούτοις δὲ ὁρῶντες καὶ τοὺς ὁπλίτας ἐπιόντας, ἐγκλίνουσι. Καὶ οἱ μὲν ἐμπίπτουσιν αὐτῶν εἰς τὴν θάλατταν, ὀλίγοι δέ τινες μετὰ τῶν ἱππέων εἰς Λέχαιον ἐσώθησαν. Ἐν πάσαις δὲ ταῖς μάχαις καὶ τῇ φυγῇ ἀπέθανον περὶ πεντήκοντα καὶ διακοσίους. Καὶ ταῦτα μὲν οὕτως ἐπέ- 18
πρακτο.

Ἐκ δὲ τούτου ὁ Ἀγησίλαος τὴν μὲν σφαλεῖσαν μόραν ἔχων ἀπῄει, ἄλλην δὲ κατέλιπεν ἐν τῷ Λεχαίῳ. Διιὼν δὲ ἐπ' οἴκου ὡς μὲν ἐδύνατο ὀψιαίτατα κατήγετο εἰς τὰς πόλεις, ὡς δ' ἐδύνατο πρωϊαίτατα ἐξωρμᾶτο. Παρὰ δὲ Μαντίνειαν ἐξ Ὀρχομενοῦ ἔτι σκοταῖος ἀναστὰς ὄρθρου παρῆλθεν. Οὕτω χαλεπῶς ἂν ἐδόκουν οἱ

τοις δὲ B., ceteri πρὸς δὲ τούτοις. — ἐμπίπτουσιν B. D. I. V. marg. Leoncl. Dind. pro πίπτουσιν. — ἐσώθησαν B. D. E. F. V. Schneid. Dind. pro διεσώθησαν.

§. 18. Dind. πρῳαίτατα. — ἔτι σκοταῖος ἀναστὰς ὄρθρου παρῆλθεν est emendatio Campii, ceteri ὄρθρου ἀναστὰς ἔτι σκοταῖος παρῆλθεν. — σκοταῖος D. V. Steph. Dind. pro σκοτιαῖος.

offendisse Graecos multis exemplis docent Bornem. ad Cyrop. I, 6, 38. Hertlin. in Observ. in Xen. H. G. 1845. p. 19. Cf. supra III, 4, 24. 5, 24. infra VII, 1, 22.

οἱ ἀπὸ τοῦ Λ.] De attractione v. ad III, 1, 18.

τοὺς ὁπλίτας ἐπιόντας] quos Callias haud procul a muris Corinthi collocaverat §. 14. Schneiderus et, qui illius verba repetit, Dindorfius hic omnia pervertunt, quippe qui non viderint, eos, qui dicuntur αἰσθόμενοι — οἱ ἀπὸ Λεχαίου, esse socios Lacedaemoniorum, qui ad custodiendos Lechaei muros relicti erant §. 11. Dilucide totum hunc locum explanat Grotius p. 277 sqq.

περὶ πεντήκοντα καὶ διακοσίους] Haec male concinunt cum §. 12, ubi sexcentis fere hominibus constitisse moram dictum est, ex qua pauci quidam h. l. et nonnulli §. 14. servati esse dicuntur. Ergo in numeris inesse vitium videtur. Fortasse scripsit Xenophon πεντακοσίους καὶ εἴκοσι.

§. 18. Διιών] Intelligendum esse διὰ τῶν πόλεων contra Schneiderum recte quidem monet Dindorfius. Sed monendum etiam est, ad ἐπ' οἴκου ex verbo διιὼν repetendum esse simplex ἰών. Quod quia durius videtur, malim cum Cobeto scribere ἀπιών. Ex ΑΠΙΩΝ oriri facile potuit ΔΙΙΩΝ.

ἔτι σκοταῖος ἀναστὰς ὄρθρου παρῆλθεν] necessaria emendatio. Nam ὄρθρου nunquam de media nocte, σκοταῖος nunquam de matutino tempore dicitur. Media autem fere nocte Orchomeno erat surgendum Agesilao, ut ante solis ortum Mantineam praeteriret.

ἄν] pertinet ad ἐφηδομένους

στρατιῶται τοὺς Μαντινέας ἐφηδομένους τῷ δυστυχή-
19 ματι θεάσασθαι. Ἐκ τούτου δὲ μάλα καὶ τἄλλα ἐπε-
τύγχανεν Ἰφικράτης. Καθεστηκότων γὰρ φρουρῶν ἐν
Σιδοῦντι μὲν καὶ Κρομμυῶνι ὑπὸ Πραξίτου, ὅτε ἐκεῖ-
νος εἷλε ταῦτα τὰ τείχη, ἐν Οἰνόῃ δὲ ὑπὸ Ἀγησιλάου,
ὅτεπερ τὸ Πείραιον ἑάλω, πάνθ' εἷλε ταῦτα τὰ χωρία.
Τὸ μέντοι Λέχαιον ἐφρούρουν οἱ Λακεδαιμόνιοι καὶ οἱ
σύμμαχοι. Οἱ φυγάδες δὲ τῶν Κορινθίων, οὐκέτι πε-
ζῇ παριόντες ἐκ Σικυῶνος διὰ τὴν τῆς μόρας δυστυ-
χίαν, ἀλλὰ παραπλέοντες καὶ ἐντεῦθεν ὁρμώμενοι,
πράγματα εἶχόν τε καὶ παρεῖχον τοῖς ἐν τῷ ἄστει.

§. 19. ἐκ τούτου δὲ C. Mor. edd. sqq., ceteri ἐκ τούτου τε. — σύμμ. B. D. Dind. pro ξυμμ.

et ad θεάσασθαι. Vertas: adeo graviter laturi videbantur conspectum Mantineensium, qui ex hac ipsorum calamitate voluptatem capturi essent. Cur hanc de Mantineensibus potissimum habuerint opinionem coniicere licet ex IV, 4, 17. Sed omnino socii quo tum in Lacedaemonios fuerint animo, ex h. l. cognoscitur. V. Grotium V, p. 281. sq.

§. 19. τἄλλα ἐπετύγχανε] Eundem accusativum cum ἐπιτυγχάνειν iunctum vides IV, 8, 21. VI, 3, 16. Sed Comment. IV, 2, 28: ἐπιτυγχάνοντες ὧν πράττουσιν. Oecon. II, 3: εἰ ἀγαθοῦ ὠνητοῦ ἐπιτύχοιμι. Cf. etiam ad IV, 1, 40: τὰ — ἄλλα — ἐπεμελεῖτο.

Πραξίτου] Dindorf. corrigere vult Πραξίτα cl. IV, 4, 18. Sed v. adn. ad III, 2, 8, ubi commemorare praetermisi praeter Ἐπαμεινώνδα VII, 5, 13 etiam Ἐπαμεινώνδου legi VII, 1, 42. Addas Ἀμύντου V, 2, 12, Ἀνταλκίδου IV, 8, 15, Εὐδαμίδου V, 2, 25, Ἰσμηνίου V, 2, 35, Καλλίου I, 6, 1. Μειδίου III, 1, 23. 28, Παυσανίου II, 2, 7; 4, 36. V, 2, 3. Πελοπίδου VIII, 1, 38. Sed Ἀννίβα I, 1, 37, Γνωσία I, 1, 29, Πιτύα I, 1, 6, Σκόπα VI, 1, 19, Στρούθα IV, 8, 21, Σφοδρία V, 4, 32. 63, nusquam Σφοδρίου.

παριόντες] urbem Corinthum.

ἐντεῦθεν] dictum est, quia in animo habet scriptor παραπλέοντες εἰς τὸ Λέχαιον.

πράγματα εἶχόν τε καὶ παρεῖχον] Cf. V, 1, 29. Comment. II, 1, 9: ἐγὼ οὖν τοὺς μὲν βουλομένους πολλὰ πράγματα ἔχειν αὐτοῖς τε καὶ ἄλλοις παρέχειν, ubi v. Kuehner.

# CAPUT VI.

## ARGUMENTUM.

Quum Calydonii Achaeorum socii ab Acarnanibus bello peterentur, denuo Lacedaemonii duce Agesilao excitantur ad opem Achaeis ferendam. Cum his ergo coniunctus Agesilaus Acarnaniam vastavit eorumque copias fudit. Nullam tamen cepit urbem. Quare quum minus satisfecisset Achaeis, promisit se insequenti anno bellum redintegraturum, atque ita domum rediit.

---

*Μετὰ δὲ τοῦτο οἱ Ἀχαιοὶ ἔχοντες Καλυδῶνα, ἣ τὸ* 1
*παλαιὸν Αἰτωλίας ἦν, καὶ πολίτας πεποιημένοι τοὺς* A.Ch.
*Καλυδωνίους φρουρεῖν ἠναγκάζοντο ἐν αὐτῇ. Οἱ γὰρ Ἀκαρνᾶνες ἐπεστράτευον, καὶ τῶν Ἀθηναίων δὲ καὶ Βοιωτῶν συμπαρῆσάν τινες αὐτοῖς διὰ τὸ συμμάχους εἶναι. Πιεζόμενοι οὖν ὑπ' αὐτῶν οἱ Ἀχαιοὶ πρέσβεις πέμπουσιν εἰς τὴν Λακεδαίμονα. Οἱ δ' ἐλθόντες ἔλεγον, ὅτι οὐ δίκαια πάσχοιεν ὑπὸ τῶν Λακεδαιμονίων.*
*Ἡμεῖς μὲν γάρ, ἔφασαν, ὑμῖν, ὦ ἄνδρες, ὅπως ἂν ὑμεῖς* 2
*παραγγέλλητε συστρατευόμεθα καὶ ἑπόμεθα ὅποι ἂν ἡγῆσθε· ὑμεῖς δέ, πολιορκουμένων ἡμῶν ὑπὸ Ἀκαρνάνων καὶ τῶν συμμάχων αὐτοῖς Ἀθηναίων καὶ Βοιωτῶν, οὐδεμίαν ἐπιμέλειαν ποιεῖσθε. Οὐκ ἂν οὖν δυναίμεθα ἡμεῖς τούτων οὕτω γιγνομένων ἀντέχειν, ἀλλ' ἢ ἐάσαντες τὸν ἐν Πελοποννήσῳ πόλεμον διαβάντες*

Cap. VI. §. 1. *Αἰτωλίας* V. Leoncl. Dind. pro *Αἰτωλία*; Vales. coni. *Αἰτωλίς*. — B. C. D. F. *ἐν αὐτῷ*. — *δὲ καὶ* B. C. D. V. Schneid. Dind. pro *τε καί*. — *συμπ.* B. D. Dind. pro *ξυμπ.*

§. 2. *μὲν* ante *γὰρ* addunt B. C. D. H. V. Schneid. Dind. — *παραγγέλλητε* A. B. C. D. Mor. edd. sqq. pro *παραγγέλητε*. — A. C. E. F. edd. vett. Mor. Weisk. Schneid. *στρατευόμεθα* pro *συνστρ.* — *ὅποι*

Cap. VI. §. 1. *Αἰτωλίας*] Vulgatam lectionem pro substantivo habere non magis licet quam latine dicere: Calydon erat Aetolia, vel Capua erat Campania. Quia vero codicis V. auctoritas, nisi ubi accedit alter ex melioribus libris, fere nulla est, dubito an praeferendum sit *Αἰτωλίς*, quae adiectivi forma exstat apud Herod. VI, 127. et Thucyd. III, 102: *τὴν Αἰτωλίδα τὴν νῦν καλουμένην Καλυδῶνα καὶ Πλευρῶνα.*

*πολίτας*] cives Achaeos. Grotius intelligit pagorum incolas in urbes deductos.

πάντες πολεμήσομεν Ἀκαρνᾶσί τε καὶ τοῖς συμμάχοις
αὐτῶν, ἢ εἰρήνην ποιησόμεθα ὁποίαν ἄν τινα δυνώμεθα.
3 Ταῦτα δ᾽ ἔλεγον ὑπαπειλοῦντες τοῖς Λακεδαιμονίοις
ἀπαλλαγήσεσθαι τῆς συμμαχίας, εἰ μὴ αὐτοῖς ἀντεπι-
κουρήσουσι. Τούτων δὲ λεγομένων, ἔδοξε τοῖς τ᾽ ἐφό-
ροις καὶ τῇ ἐκκλησίᾳ ἀναγκαῖον εἶναι στρατεύεσθαι
μετὰ τῶν Ἀχαιῶν ἐπὶ τοὺς Ἀκαρνᾶνας. Καὶ ἐκπέμπου-
σιν Ἀγησίλαον δύο μόρας ἔχοντα καὶ τῶν συμμάχων
τὸ μέρος. Οἱ μέντοι Ἀχαιοὶ πανδημεὶ συνεστρατεύ-
4 οντο. Ἐπεὶ δὲ διέβη ὁ Ἀγησίλαος, πάντες μὲν οἱ ἐκ τῶν
ἀγρῶν Ἀκαρνᾶνες ἔφυγον εἰς τὰ ἄστη, πάντα δὲ τὰ
βοσκήματα ἀπεχώρησε πόῤῥω, ὅπως μὴ ἁλίσκηται ὑπὸ
τοῦ στρατεύματος. Ὁ δ᾽ Ἀγησίλαος ἐπειδὴ ἐγένετο ἐν
τοῖς ὁρίοις τῆς πολεμίας, πέμψας εἰς Στράτον πρὸς τὸ
κοινὸν τῶν Ἀκαρνάνων εἶπεν, ὡς, εἰ μὴ παυσάμενοι
τῆς πρὸς Βοιωτοὺς καὶ Ἀθηναίους συμμαχίας ἑαυτοὺς
καὶ τοὺς συμμάχους αἱρήσονται, δηώσει πᾶσαν τὴν
5 γῆν αὐτῶν ἐφεξῆς καὶ παραλείψει οὐδέν. Ἐπεὶ δὲ οὐκ
ἐπείθοντο, οὕτως ἐποίει καὶ κόπτων συνεχῶς τὴν
χώραν οὐ προήει πλέον τῆς ἡμέρας ἢ δέκα ἢ δώ-

B. D. F. V. Schneid. Dind. pro ὅπου. — πάντες post διαβάντες addunt B. D. H. I. V. marg. Leoncl. Dind. — ἂν post ὁποίαν inserunt B. D. H. I. V. Leoncl. Steph. Schneid. Dind.

§. 3. τ᾽ post τοῖς addunt B. D. I. V. Steph. Leoncl. Schneid. Dind.

§. 4. πρὸς τὸ κοινὸν B. D. E. F. I. V. marg. Leoncl. Schneid. Dind., εἰς τὸ κ. C., ἐς τὸ κ. A., ceteri παρὰ τὸ κ. — δηώσει Dind. pro δηώσοι. — παραλείψει B. C. D. E. F. Dind. pro παραλείψοι.

§. 5. συνεχῶς B. D. Dind. pro ξυνεχῶς. — A. C. edd. vett. om. ἢ δέκα. — B. οἱ οὖν pro οἱ μὲν οὖν.

§. 3. τὸ μέρος] partem debitam, vel quae conveniret Spartanorum ipsorum numero. Infra VI, 1, 1. De articulo cf. ad IV, 2, 12. 3, 10.

§. 4. διέβη] ex Peloponneso in Acarnaniam mari traiecto. V. ad §. 14.

οἱ ἐκ τῶν ἀγρῶν] De attractione v. ad III, 1, 18. Habitasse in ὀχυροῖς καὶ μικροῖς χωρίοις dicuntur Acarnanes Diodor. XIX, 67.

ἐν τοῖς ὁρίοις] in confiniis Aetoliae et Acarnaniae, quae quo loco transierit quum nesciamus, nec de lacu nec de monte, quorum §. 6. et 7. mentio fit, certius quidquam statui potest.

Στράτον] πόλιν μεγίστην τῆς Ἀκαρνανίας Thucyd. II, 80. extr.

αἱρήσονται] ipsorum (Lacedaemoniorum) partes secuturi essent. V. ad III, 1, 2.

§. 5. πλέον ἢ δέκα ἢ δώδεκα σταδίων] Schneidero et Dindorfio suspectum est prius ἢ. Pendet vero genitivus a notione spatii, quae repetenda est ex πλέον. Nam ut VI, 2, 29. dicitur ἐπὶ πλέον — καθεώρων, in longius spatium, et Cyrop.

δεκα σταδίων. Οἱ μὲν οὖν Ἀκαρνᾶνες ἡγησάμενοι ἀσφαλὲς εἶναι διὰ τὴν βραδυτῆτα τοῦ στρατεύματος, τά τε βοσκήματα κατεβίβαζον ἐκ τῶν ὀρῶν καὶ τῆς χώρας τὰ πλεῖστα εἰργάζοντο. Ἐπεὶ δὲ ἐδόκουν τῷ Ἀγησιλάῳ 6
πάνυ ἤδη θαῤῥεῖν, ἡμέρᾳ πέμπτῃ ἢ ἕκτῃ καὶ δεκάτῃ ἀφ' ἧς εἰσέβαλε θυσάμενος πρωῒ διεπορεύθη πρὸ δείλης ἑξήκοντα καὶ ἑκατὸν στάδια ἐπὶ τὴν λίμνην, περὶ ἣν τὰ βοσκήματα τῶν Ἀκαρνάνων σχεδὸν πάντα ἦν, καὶ ἔλαβε παμπληθῆ καὶ βουκόλια καὶ ἱπποφόρβια καὶ ἄλλα παντοδαπὰ βοσκήματα καὶ ἀνδράποδα πολλά. Λαβὼν δὲ καὶ μείνας αὐτοῦ τὴν ἐπιοῦσαν ἡμέραν διεπώλει τὰ αἰχμάλωτα. Τῶν μέντοι Ἀκαρνάνων πολλοὶ πελτασταὶ 7
ἦλθον καὶ πρὸς τῷ ὄρει σκηνοῦντος τοῦ Ἀγησιλάου βάλλοντες καὶ σφενδονῶντες ἀπὸ τῆς ἀκρωνυχίας τοῦ ὄρους ἔπασχον μὲν οὐδέν, κατεβίβασαν δὲ εἰς τὸ ὁμαλὲς τὸ στρατόπεδον, καίπερ ἤδη περὶ δεῖπνον παρασκευαζόμενον. Εἰς δὲ τὴν νύκτα οἱ μὲν Ἀκαρνᾶνες ἀπῆλθον, οἱ δὲ στρατιῶται φυλακὰς καταστησάμενοι ἐκάθευδον. Τῇ δ' ὑστεραίᾳ ἀπῆγεν ὁ Ἀγησίλαος τὸ 8
στράτευμα. Καὶ ἦν μὲν ἡ ἔξοδος ἐκ τοῦ περὶ τὴν λίμνην λειμῶνός τε καὶ πεδίου στενὴ διὰ τὰ κύκλῳ πε-

§. 6. ἐπεὶ δὲ B. C. D. E. F. I. V. Schneid. Dind. pro ἐπειδὴ δὲ. — Dind. πρῴ.

§. 7. A. E. edd. vett. σφενδονιῶντες. — Verba ἀπὸ τῆς ἀκρωνυχίας τοῦ ὄρους, vulgo post στρατόπεδον posita, suasu Koeppeni Dind. post σφενδ. transtulit. — ὁμαλὲς B. C. D. E. F. I. V. Dind. pro ὁμαλόν. — παρασκευαζόμενον A. E. Leoncl. Mor. edd. sqq. pro vulg. παρασκευαζομένου; B. C. D. F. V. παρασκευαζομένῳ.

IV, 5, 27: ὅσῳ πλέον ἀπέχομεν, sic liceat dicere oportet προῄει πλέον ἢ δέκα — σταδίων, progrediebatur longius spatium quam decem — stadiorum. Vides igitur non dissimilem esse locum III, 2, 19: λίμνη πλέον ἢ σταδίου ὑπόψαμμος, si interpretari vis: lacus longius (spatium) quam stadii spatium arenosus.

ὀρῶν] Formam contractam legimus etiam §. 8. VI, 5, 16. βελῶν IV, 3, 23. Sed κερδέων II, 4, 21. 40. Multa alia e Xenophonte collegit Kuehner. ad Comment. I, 2, 22.

§. 7. πρὸς τῷ ὄρει] ad vel sub montem castra habebat Agesilaus. Inde factum, ut telis velitum hostilium, qui cacumen montis tenebant, expositi in planiciem descendere cogerentur. Mirari possis, quod additur articulus. In mente habet Xenophon: ad eum montem, qui situs est ad lacum modo commemoratum, περὶ ἣν τὰ βοσκήματα — ἦν.

κατεβίβασαν — παρασκευαζόμενον] effecerunt, ut procul a monte collocarent castra, licet iam coenae parandae intenti essent.

φεύγοντα ὄρη· καταλαβόντες δὲ οἱ Ἀκαρνᾶνες ἐκ τῶν
ὑπερδεξίων ἔβαλλόν τε καὶ ἠκόντιζον, καὶ ὑποκαταβαί-
νοντες εἰς τὰ κράσπεδα τῶν ὀρῶν προσέκειντο καὶ πρά-
γματα παρεῖχον, ὥστε οὐκέτι ἐδύνατο τὸ στράτευμα
9 πορεύεσθαι. Ἐπιδιώκοντες δὲ ἀπὸ τῆς φάλαγγος οἵ τε
ὁπλῖται καὶ οἱ ἱππεῖς τοὺς ἐπιθεμένους οὐδὲν ἔβλα-
πτον· ταχὺ γὰρ ἦσαν, ὁπότε ἀποχωροῖεν, πρὸς τοῖς
ἰσχυροῖς οἱ Ἀκαρνᾶνες. Χαλεπὸν δ' ἡγησάμενος ὁ
Ἀγησίλαος διὰ τοῦ στενοπόρου ἐξελθεῖν ταῦτα πάσχον-
τας, ἔγνω διώκειν τοὺς ἐκ τῶν εὐωνύμων προσκειμέ-
νους, μάλα πολλοὺς ὄντας· εὐβατώτερον γὰρ ἦν τοῦτο
10 τὸ ὄρος καὶ ὁπλίταις καὶ ἵπποις. Καὶ ἐν ᾧ μὲν ἐσφα-
γιάζετο, μάλα κατεῖχον βάλλοντες καὶ ἀκοντίζοντες οἱ
Ἀκαρνᾶνες, καὶ ἐγγὺς προσιόντες πολλοὺς ἐτίτρωσκον.
Ἐπεὶ δὲ παρήγγειλεν, ἔθει μὲν ἐκ τῶν ὁπλιτῶν τὰ πεν-
τεκαίδεκα ἀφ' ἥβης, ἤλαυνον δὲ οἱ ἱππεῖς, αὐτὸς δὲ
11 σὺν τοῖς ἄλλοις ἠκολούθει. Οἱ μὲν οὖν ὑποκαταβεβη-
κότες τῶν Ἀκαρνάνων καὶ ἀκροβολιζόμενοι ταχὺ ἐνέ-
κλιναν καὶ ἀπέθνησκον φεύγοντες πρὸς τὸ ἄναντες·
ἐπὶ μέντοι τοῦ ἀκροτάτου οἱ ὁπλῖται ἦσαν τῶν Ἀκαρνά-
νων παρατεταγμένοι καὶ τῶν πελταστῶν τὸ πολὺ καὶ
ἐνταῦθα ἐπέμενον, καὶ τά τε ἄλλα βέλη ἠφίεσαν καὶ τοῖς
δόρασιν ἐξακοντίζοντες ἱππέας τε κατέτρωσαν καὶ ἵπ-
πους τινὰς ἀπέκτειναν. Ἐπεὶ μέντοι μικροῦ ἔδεον ἤδη

§. 8. Edd. vett. ἔβαλόν pro ἔβαλλόν.

§. 9. ἐπιθεμένους B., ceteri ἐπιτιθεμένους. — ἦσαν Mor. edd. sqq. pro ᾔεσαν. — D. F. I. V. marg. Leoncl. πάσχοντα pro πάσχοντας.

§. 10. B. om. καὶ ante ἐν. — Ante ἐγγὺς om. οὐκ B. C. D. E. I. Steph. Leoncl. Wells. Schneid. edd. sqq.

§. 8. καταλαβόντες] scil. τὰ ὄρη.

§. 9. τοὺς ἐπιθεμένους] qui modo aggressi erant.

πρὸς τοῖς ἰσχυροῖς] locis munitis, i. e. iis, quae graviter armati et equites accedere nequirent.

μάλα — ὄντας] quanquam — erant.

§. 10. κατεῖχον] urgebant. V. ad Cyrop. I, 4, 22: ἐδίωκε καὶ ἰσχυρὰν τὴν φυγὴν τοῖς πολεμίοις ἰσχυρῶς κατέχων ἐποίει. Supra I, 3, 21.

τὰ πεντεκαίδεκα ἀφ' ἥβης] Cf. ad IV, 5, 14.

§. 11. ἐνέκλιναν καὶ ἀπέθνησκον] de temporibus v. ad IV, 4, 11: ἥλοντο — καὶ διεφθείροντο. De vi imperfecti v. ad III, 4, 24.

μικροῦ ἔδεον ἤδη ἐν χερσὶ — εἶναι] quum iam in eo esset, ut manus conferrent cum Lacedaemoniis.

ἐν χερσὶ τῶν Λακεδαιμονίων ὁπλιτῶν εἶναι, ἐνέκλινον, καὶ ἀπέθανον αὐτῶν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ περὶ τριακοσίους. Τούτων δὲ γενομένων ὁ Ἀγησίλαος τρόπαιον 12
ἐστήσατο. Καὶ τὸ ἀπὸ τούτου περιιὼν κατὰ τὴν χώραν ἔκοπτε καὶ ἔκαιε· πρὸς ἐνίας δὲ τῶν πόλεων καὶ προςέβαλλεν ὑπὸ τῶν Ἀχαιῶν ἀναγκαζόμενος, οὐ μὴν εἷλέ γε οὐδεμίαν. Ἡνίκα δὲ ἤδη ἐπεγίγνετο τὸ μετόπωρον, ἀπῄει ἐκ τῆς χώρας. Οἱ δὲ Ἀχαιοὶ πεποιηκέναι 13
τε οὐδὲν ἐνόμιζον αὐτόν, ὅτι πόλιν οὐδεμίαν προςειλήφει οὔτε ἑκοῦσαν οὔτε ἄκουσαν, ἐδέοντό τε, εἰ μή τι ἄλλο, ἀλλὰ τοσοῦτόν γε χρόνον καταμεῖναι αὐτόν, ἕως ἂν τὸν σπορητὸν διακωλύσῃ τοῖς Ἀκαρνᾶσιν. Ὁ δὲ ἀπεκρίνατο, ὅτι τὰ ἐναντία λέγοιεν τοῦ συμφέροντος. Ἐγὼ μὲν γάρ, ἔφη, στρατεύσομαι πάλιν δεῦρο εἰς τὸ ἐπιὸν θέρος· οὗτοι δὲ ὅσῳ ἂν πλείω σπείρωσι, τοσούτῳ μᾶλλον τῆς εἰρήνης ἐπιθυμήσουσι. Ταῦτα δὲ 14
εἰπὼν ἀπῄει πεζῇ δι' Αἰτωλίας τοιαύτας ὁδούς, ἃς οὔτε πολλοὶ οὔτε ὀλίγοι δύναιντ' ἂν ἀκόντων Αἰτωλῶν πορεύεσθαι· ἐκεῖνον μέντοι εἴασαν διελθεῖν· ἤλπιζον γὰρ Ναύπακτον αὐτοῖς συμπράξειν, ὥστ' ἀπολαβεῖν. Ἐπειδὴ δὲ ἐγένετο κατὰ τὸ Ῥίον, ταύτῃ διαβὰς οἴκαδε ἀπῆλθε· καὶ γὰρ τὸν ἐκ Καλυδῶνος ἔκπλουν εἰς Πελο-

§. 11. εἶναι, ἐνέκλινον B., ceteri εἶναι, ἐνέκλιναν.

§. 12. ἔκαιε B. I., ceteri ἔκαε. — προςέβαλλεν B. C. D. V. Schneid. edd. sqq. pro προςέβαλεν.

§. 13. μή τι B. C. D. F. I. V. marg. Leoncl. Dind. pro μηδὲν. — συμφ. B. D. Dind. pro συμφ. — στρατεύσομαι coni. Steph. rec. Dind. pro στρατεύομαι. — B. τοσοῦτο.

§. 14. ἐπειδὴ δὲ B. C. D. F. Dind. pro ἐπεὶ δὲ. — καὶ γὰρ marg. Leoncl. Wells. Dind., τὰ γὰρ Mor., ceteri κατὰ γάρ.

ἐνέκλινον καὶ ἀπέθανον] Cf. V, 1, 21: ἡσυχίαν εἶχε καὶ ἀνέπαυσε. De vi imperfecti v. ad κατέβαλλον IV, 3, 22. Vertas: magis magisque inclinabantur et ita ceciderunt illo die circiter trecenti.

§. 12. καὶ τὸ ἀπὸ τούτου] ac deinceps.

§. 13. ὅσῳ — τοσούτῳ] Haud scio an ferri possit τοσοῦτο, quod B. praebet. Altero certe loco IV, 8, 4. codd. B. D. E. I. V. consentiunt in ὅσῳ — τοσοῦτον. An fortasse utroque loco ὅσον — τοσοῦτο legendum est?

§. 14. Ναύπακτον] Accusativus pendet ab ἀπολαβεῖν. Naupactum illo tempore Achaei tenebant, quam urbem liberavit demum Epaminondas a. 367. a. Ch. Diodor. XV, 75.

καὶ γὰρ τὸν ἐκ Καλυδῶνος] Inde colligendum videtur, nisi prohibuissent Athenienses, ex regione Calydonis recta via

πόννησον οἱ Ἀθηναῖοι ἐκώλυον τριήρεσιν ὁρμώμενοι ἐξ Οἰνιαδῶν.

---

# CAPUT VII.

## ARGUMENTUM.

Initio veris quum bellum sibi a Lacedaemoniis instare viderent Acarnanes, cum his societatem, cum Achaeis pacem fecerunt. Lacedaemonii autem bellum adversus Argivos decernunt: quos Agesipolis repente oppressos vehementer afflixit. Magna vero audacia proxime ad urbem accessit et magnum iis saepe terrorem incussit.

---

1 Παρελθόντος δὲ τοῦ χειμῶνος, ὥςπερ ὑπέσχετο
Ch. a. 390. τοῖς Ἀχαιοῖς, εὐθὺς ἀρχομένου τοῦ ἦρος πάλιν φρουρὰν ἔφαινεν ἐπὶ τοὺς Ἀκαρνᾶνας. Οἱ δὲ αἰσθόμενοι καὶ νομίσαντες διὰ τὸ ἐν μεσογείᾳ σφίσι τὰς πόλεις εἶναι ὁμοίως ἂν πολιορκεῖσθαι ὑπὸ τῶν τὸν σῖτον φθειρόντων, ὥςπερ εἰ περιστρατοπεδευόμενοι πολιορκοῖντο, ἔπεμψαν πρέσβεις εἰς τὴν Λακεδαίμονα καὶ εἰρήνην μὲν πρὸς τοὺς Ἀχαιούς, συμμαχίαν δὲ πρὸς τοὺς Λακεδαιμονίους ἐποιήσαντο. Καὶ τὰ μὲν περὶ Ἀκαρνᾶνας οὕτω διεπέπρακτο.

2 Ἐκ δὲ τούτου τοῖς Λακεδαιμονίοις τὸ μὲν ἐπ' Ἀθηναίους ἢ ἐπὶ Βοιωτοὺς στρατεύειν οὐκ ἐδόκει ἀσφαλὲς εἶναι ὄπισθεν καταλιπόντας ὅμορον τῇ Λακεδαίμονι πολεμίαν καὶ οὕτω μεγάλην τὴν τῶν Ἀργείων πόλιν, εἰς

Cap. VII. §. 1. περιστρατοπεδευόμενοι Schneid. pro vulg. περιστρατοπεδευσάμενοι, Dind. περιεστρατοπεδευμένοι.

§. 2. ἐπὶ post ἢ addunt B. D. E. F. V. Schneid. Dind. — καὶ οὕτω B. D. I. V. Schneid. Dind. pro οὕτω καί. — Ante Ὀλυμπ. om. τὴν

Agesilaum traiecturum fuisse in Peloponnesum et §. 4. eadem brevissima via e Peloponneso Calydonem petiisse.

ἐξ Οἰνιαδῶν] urbe Acarnaniae haud procul ab ostio Acheloi sita.

Cap. VII. §. 1. φρουρὰν ἔφαινεν] V. ad III, 2, 23.

ἐν μεσογείᾳ — εἶναι] in media terra, non ad mare, unde commeatus posset venire.

πολιορκεῖσθαι] tanquam obsessos inopia pressum iri. Cf.

δὲ τὸ Ἄργος φρουρὰν φαίνουσιν. Ὁ δὲ Ἀγησίπολις ἐπεὶ ἔγνω, ὅτι εἴη αὐτῷ ἡγητέον τῆς φρουρᾶς καὶ τὰ διαβατήρια θυομένῳ ἐγένετο, ἐλθὼν εἰς Ὀλυμπίαν καὶ χρηστηριαζόμενος ἐπηρώτα τὸν θεόν, εἰ ὁσίως ἂν ἔχοι αὐτῷ μὴ δεχομένῳ τὰς σπονδὰς τῶν Ἀργείων, ὅτι οὐχ ὁπότε καθήκοι ὁ χρόνος, ἀλλ' ὁπότε ἐμβάλλειν μέλλοιεν Λακεδαιμόνιοι, τότε ὑπέφερον τοὺς μῆνας. Ὁ δὲ θεὸς ἐπεσήμαινεν αὐτῷ ὅσιον [εἶναι] μὴ δεχομένῳ σπονδὰς δὰς ἀδίκως ὑποφερομένας. Ἐκεῖθεν δ' εὐθὺς πορευθεὶς εἰς Δελφοὺς ἐπήρετο αὖ τὸν Ἀπόλλω, εἰ κἀκείνῳ δοκοίη περὶ τῶν σπονδῶν καθάπερ τῷ πατρί. Ὁ δὲ ἀπεκρίνατο καὶ μάλα κατὰ ταὐτά. Καὶ οὕτω δὴ Ἀγη- 3

B. C. D. F. I. V. Steph. Dind. — καὶ interserunt B. D. V. Schneid. Dind. — A. C. om. τὰς ante σπονδὰς. — Grot. coni. ὅτε οὐχ pro ὅτι οὐχ. — εἶναι post ὅσιον om. B.

V, 1, 2. 4, 61. VI, 5, 33. VII, 2, 7. Cyrop. VI, 1, 15.

§. 2. Ἀγησίπολις] V. ad IV, 2, 9.

τὰ διαβατήρια — ἐγένετο] V. ad III, 1, 17.

μὴ δεχομένῳ] si aspernaretur, i. e. si non agnosceret. Item §. 3.

ὑπέφερον τοὺς μῆνας] praetexerent (i. e. praetexere solerent) menses sacros. Eodem sensu Thucyd. V, 54. extr. dicit τὸν μῆνα προὐφασίσαντο. Xenophon de eadem re etiam substantivo ἡ τῶν μηνῶν ὑποφορά utitur V, 1, 29. 3, 27. De re cf. Pausan. III, 5, 8: ὡς δὲ (Ἀγησίπολις) ἐκ τῆς Τεγεατῶν ἐς τὴν Ἀργολίδα ἤγαγε τὸν στρατόν, πέμπουσι κήρυκα οἱ Ἀργεῖοι σπεισόμενον πρὸς Ἀγησίπολιν σφίσι πατρῴους δή τινας σπονδὰς ἐκ παλαιοῦ καθεστώσας τοῖς Δωριεῦσι πρὸς ἀλλήλους. Adde Thucyd. V, 54, 2: Καρνεῖος δ' ἦν μήν, ἱερομηνία Δωριεῦσι, ubi v. Poppo. Erant igitur ii menses, in quos festi quidam dies incidebant, velut Apollinis Carnei, omnibus Doriensibus sacri et induciis destinati. Sed, ut ex h. l. consequitur, iidem festi dies non ab omnibus Doriensium civitatibus eodem tempore agebantur. Argivos certe, antequam tempus constitutum venisset, ut hostium invasionem averterent, menses sacros praetendisse, suspicari licet ex iis quae mox sequuntur §. 3. V. Morum ad h. l. Weiskius et Schneiderus τοὺς μῆνας pro diebus festis, quibus ludi Isthmici celebrabantur, non recte acceperunt. De qua re v. Grotium V, p. 283. sq.

ἐπεσήμαινεν] Hac voce utitur Xen., quia Olympiae ex hostiis dei voluntas cognoscebatur. Herod. VIII, 134: ἔστι δέ, κατάπερ ἐν Ὀλυμπίῃ, ἱροῖσιν αὐτόθι χρηστηριάζεσθαι.

ὅσιον [εἶναι]] Cum B. omittendum existimo εἶναι. Cf. Oecon. X, 1: ἀνδρικήν γε ἐπιδεικνύεις τὴν διάνοιαν τῆς γυναικός.

τῷ πατρί] Pater Apollinis est Iupiter Olympius. Plutarch. Apophthegm. regum de Agesilao idem narrat. Aristot. Rhetor. II, 23, 12: Ἡγήσιππος ἐν Δελφοῖς ἐπηρώτα τὸν θεὸν κεχρημένος πρότερον Ὀλυμπιᾶσιν, εἰ αὐτῷ ταὐτὰ δοκεῖ ἅπερ τῷ πατρί, ὡς αἰσχρὸν ὂν τἀναντία εἰπεῖν. Schneiderus.

καὶ μάλα] De καὶ v. ad II, 4, 2. III, 4, 9.

§. 3. καὶ οὕτω — ἐνέβαλλε]

σίπολις ἀναλαβὼν ἐκ Φλιοῦντος τὸ στράτευμα, ἐκεῖσε γὰρ αὐτῷ συνελέγετο, ἕως πρὸς τὰ ἱερὰ ἀπεδήμει, ἐνέβαλλε διὰ Νεμέας. Οἱ δ᾽ Ἀργεῖοι ἐπεὶ ἔγνωσαν οὐ δυνησόμενοι κωλύειν, ἔπεμψαν ὥςπερ εἰώθεσαν ἐστεφανωμένους δύο κήρυκας ὑποφέροντας σπονδάς. Ὁ δὲ Ἀγησίπολις ἀποκρινάμενος, ὅτι οὐ δοκοῖεν τοῖς θεοῖς δικαίως ὑποφέρειν, οὐκ ἐδέχετο τὰς σπονδάς, ἀλλ᾽ ἐνέβαλε καὶ πολλὴν ἀπορίαν καὶ ἔκπληξιν κατά τε τοὺς
4 ἀγροὺς καὶ ἐν τῇ πόλει ἐποίησε. Δειπνοποιουμένου δ᾽ αὐτοῦ ἐν τῇ Ἀργείᾳ τῇ πρώτῃ ἑσπέρᾳ καὶ σπονδῶν τῶν μετὰ τὸ δεῖπνον ἤδη γιγνομένων, ἔσεισεν ὁ θεός. Καὶ οἱ μὲν Λακεδαιμόνιοι ἀρξαμένων τῶν ἀπὸ δαμοσίας πάντες ὕμνησαν τὸν περὶ τὸν Ποσειδῶ παιᾶνα· οἱ δ᾽ ἄλλοι στρατιῶται ᾤοντο ἀπιέναι, ὅτι καὶ Ἆγις σεισμοῦ ποτε γενομένου ἀπήγαγεν ἐξ Ἤλιδος. Ὁ δὲ Ἀγησίπολις εἰπών, ὅτι, εἰ μὲν μέλλοντος αὐτοῦ ἐμβάλλειν σείσειε, κωλύειν ἂν αὐτὸν ἡγεῖτο· ἐπεὶ δὲ ἐμβεβληκότος, ἐπικε-

§. 3. *συνελ.* B. D. Dind. pro *ξυνελ.* - *ἐνέβαλλε* B. C., ceteri *ἐνέβαλε*.
§. 4. B. *δειπνουμένου.* — *ἑσπέρᾳ* B. D. E. F. I. marg. Leoncl. Schneid. Dind. pro *ἡμέρᾳ.* — *γιγνομένων* B., ceteri *γενομένων.* — *τῶν ἀπὸ δαμοσίας* Dind., *τῶν ἀποδημίας* B. C. F. I., *τῶν περὶ τῆς ἀποδημίας* D. et (om. *περὶ*) V., ceteri *αὐτῶν ἀποδημίας*, unde Koeppen. Weisk. *αὐτῶν τῶν ἀπὸ δημοσίας*, Schneid. *τῶν περὶ τὴν δημοσίαν.* — *εἰπών, ὅτι* om. A. edd. vett., inclusit Mor. — D. *νομίζοι*, Mor. *ἐνόμιζεν* pro *νομίζει.*

Imperfectum hic non peius est quam §. 5: *καὶ οὕτω — ἡγεῖτο —.*

*ὑποφέροντας*] De praesentis participio v. ad III, 5, 7.

§. 4. *γιγνομένων*] Libatione nimirum coena finitur. Ergo non respuendum erat praesentis participium.

*τῶν ἀπὸ δαμοσίας*] V. IV, 5, 8. de locutione *οἱ περὶ δαμοσίαν.* Inde colligendum etiam dici licere *οἱ ἀπὸ δαμοσίας*, si quidem *δαμοσία* est praetorium regis Spartani.

*τὸν περὶ τὸν Ποσειδῶ παιᾶνα*] De Neptuno terrae motus auctore cf. III, 3, 2.

*ᾤοντο ἀπιέναι*] abeundum esse putabant ut V, 1, 15. Ita etiam *δοκεῖν* et *ἡγεῖσθαι*, saepissime *νομίζειν* usurpatur.

*Ἆγις*] V. III, 2, 24.

*εἰ — σείσειε*] Exspectaveris *εἰ — ἔσεισε.* Etenim de re non facta et iam absoluta loqui videtur Agesipolis, nisi forte statuis illius sententiam hanc esse: si quando, antequam invaserit fines sive Argivae sive alius terrae hostilis, terram deus moveat, tum demum impedire eum conatum suum se esse crediturum. Aliter certe se habent Cyrop. II, 1, 9: *ἐγὼ μὲν ἄν, — εἰ ἔχοιμι, ὡς τάχιστα ὅπλα ἐποιούμην πᾶσι Πέρσαις.* Oecon. II, 15, ubi v. adn. Venat. XII, 22: *εἰ οὖν εἰδεῖεν τοῦτο, ὅτι θεᾶται αὐτούς, ἵεντο ἂν ἐπὶ τοὺς πόνους*, ubi v. Sauppium, vel Comment. I, 3, 4, ubi v. Kuehner. Neque profecto obliqua oratio id efficere potest, ut *σείσειε* dicatur pro *ἔσεισε.*

*ἐπεὶ δὲ ἐμβεβληκότος*] scil. *αὐτοῦ ἔσεισεν.*

*λεύειν νομίζει· καὶ οὕτω τῇ ὑστεραίᾳ θυσάμενος τῷ* 5
*Ποσειδῶνι ἡγεῖτο οὐ πόῤῥω εἰς τὴν χώραν. Ἅτε δὲ νεωστὶ τοῦ Ἀγησιλάου ἐστρατευμένου εἰς τὸ Ἄργος, πυνθανόμενος ὁ Ἀγησίπολις τῶν στρατιωτῶν, μέχρι μὲν ποῖ πρὸς τὸ τεῖχος ἤγαγεν ὁ Ἀγησίλαος, μέχρι δὲ ποῖ τὴν χώραν ἐδῄωσεν, ὥςπερ πένταθλος πάντῃ ἐπὶ τὸ πλέον ὑπερβάλλειν ἐπειρᾶτο. Καὶ ἤδη μέν ποτε* 6
*βαλλόμενος ἀπὸ τῶν τύρσεων τὰς περὶ τὸ τεῖχος τάφρους πάλιν διέβη· ἦν δὲ ὅτε οἰχομένων τῶν πλείστων Ἀργείων εἰς τὴν Λακωνικὴν οὕτως ἐγγὺς πυλῶν προςῆλθεν, ὥςτε οἱ πρὸς ταῖς πύλαις ὄντες τῶν Ἀργείων ἀπέκλεισαν τοὺς τῶν Βοιωτῶν ἱππέας εἰςελθεῖν βουλομένους, δείσαντες, μὴ συνειςπέσοιεν κατὰ τὰς πύλας οἱ Λακεδαιμόνιοι· ὥςτ᾽ ἠναγκάσθησαν οἱ ἱππεῖς ὥςπερ νυκτερίδες πρὸς τοῖς τείχεσιν ὑπὸ ταῖς ἐπάλξεσι προςαραρέναι. Καὶ εἰ μὴ ἔτυχον τότε οἱ Κρῆτες εἰς Ναυπλίαν καταδεδραμηκότες, πολλοὶ ἂν καὶ ἄνδρες καὶ*

§. 6. A. edd. vett. *τύρσεις* pro *τάφρους*. — *ἠναγκάσθησαν* Bryl. Cast. sqq. edd., ceteri *ἠνάγκασαν*. — *προςαραρέναι* V. Steph. Wells. Weisk. edd. sqq., D. *προςαρραρέναι*, F. *προπαρρέναι*, ceteri *προςαρρέναι*.

§. 5. *καὶ οὕτω — ἡγεῖτο*] Ita continuatur oratio, quasi pro *εἰπών, ὅτι* antecesserit *εἶπεν, ὅτι*, quod eo facilius fieri potuit, quod merum certe *οὕτω* saepissime infertur post participium. Cf. V, 1, 28.

*οὐ πόῤῥω*] „non magno itinere.“ Leonclavius. Quod probarem, si additum esset *πρῶτον μέν*. Ut nunc verba sunt, malim delere particulam *οὐ*.

*νεωστί*] anno tertio ante has res gestas. V. IV, 4, 19.

*πένταθλος*] „Tropice dicitur *πένταθλος* qui semper aemulatur eos, qui in suo genere excellunt, quanquam eos nunquam assequitur: ideoque postponendus est, si cum his, qui excellunt, comparetur; sed eximius est, si cum aliis, rudioribus et indoctioribus, conferatur. Ita Agesipolis rem egregie gerit, si cum ceteris comparetur, sed postponendus est Agesilao.“ Morus. V. etiam Sturz. lex. Xen. De aemulatione Agesipolis et Agesilai cf. V, 3, 20.

§. 6. *πάλιν διέβη*] muros scil. aggressurus.

*οἰχομένων*] Nihil referebat dicere, quo consilio in Laconicam incursionem fecissent, sed suam terram ab Argivis relictam fuisse et defensoribus vacuam. Quare nihil erat quod in *οἰχομένων* reprehenderent Schneiderus et Dindorfius, quibus „verbum *οἴχεσθαι* nimis tenue et obscurum pro invasione bellica“ videbatur.

*οἱ Κρῆτες*] sagittarii Cretenses, qui in exercitu Lacedaemoniorum erant. V. IV, 2, 16. Ergo aberant ab exercitu Argos obsidente, id quod equitibus Boeotiis et Argivis emolumento erat. Sic recte Morus.

*καταδεδραμηκότες*] hostiliter incursaverant. Cf. IV, 8, 18. V, 3, 1.

7 ἵπποι κατετοξεύθησαν. Ἐκ δὲ τούτου περὶ τὰς εἱρκτὰς στρατοπεδευομένου αὐτοῦ, πίπτει κεραυνὸς εἰς τὸ στρατόπεδον· καὶ οἱ μέν τινες πληγέντες, οἱ δὲ καὶ ἐμβροντηθέντες ἀπέθανον. Ἐκ δὲ τούτου βουλόμενος τειχίσαι φρούριόν τι ἐπὶ ταῖς παρὰ Κηλοῦσαν ἐμβολαῖς ἐθύετο· καὶ ἐφάνη αὐτῷ τὰ ἱερὰ ἄλοβα. Ὡς δὲ τοῦτο ἐγένετο, ἀπήγαγε τὸ στράτευμα καὶ διέλυσε, μάλα πολλὰ βλάψας τοὺς Ἀργείους, ἅτε ἀπροσδοκήτως αὐτοῖς ἐμβαλών.

§. 7. *στρατοπεδευομένου* Mor. edd. sqq. pro *στρατευομένου*. — Brod. Leoncl. Palmer. *Κοίλωσσαν*, quod recepit Weisk., pro *Κηλοῦσαν*.

§. 7. *τὰς εἱρκτάς*] Loca clausa, septa hoc vocabulo significari scimus e Comment. II, 1, 5. Cyrop. III, 1, 19 et ea aut in ipsa aut haud procul ab urbe fuisse colligendum est e Pausan. III, 5, 8: *καὶ ὁ μὲν ὑπὸ τὸ τεῖχος κατεστρατοπεδεύετο ἤδη τὸ Ἀργείων, καὶ οὐ παρίει σείων ὁ θεὸς κ. τ. λ.*, sed quae et qualia fuerint nescimus.

*ἐμβροντηθέντες*] Pausan. l. d. *καί τινες καὶ ἀπώλοντο τῶν στρατιωτῶν κεραυνωθέντες, τοὺς δὲ καὶ ἔκφρονας ἐποίησαν αἱ βρονταί.*

*Κηλοῦσαν*] Mons in Phliasiorum finibus situs, quem Strab. VIII, p. 382 *Κήλωσσα* aut *Κοίλωσσα* appellat, sed Pausan. II, 12, 4 *Κηλοῦσα*, quam scripturam pro vulg. *Κηγλοῦσα* restituit ibi Dindorfius.

---

# CAPUT VIII.

## ARGUMENTUM.

Interim Pharnabazus et Conon, per insulas et urbes maritimas harmostis Lacedaemoniorum expulsis, multos sibi socios adiunxerant. Abydum vero et Sestum tenebat Dercylidas. Initio anni Pharnabazus cum Conone magna classe ad Peloponnesum accedit et multa maritima vastat. Inde se recipiens Cythera occupat, et harmosta praesidioque ibi relicto Isthmum Corinthi petit, ubi socios confirmat et pecunia ornat. Hinc quum rediret domum, classem reliquit Cononi: qui, ut promiserat, deinde muros longos Piraeique munitionem magna ex parte restituit. Lacedaemonii hac re audita Antalcidam mittunt, qui Tiribazo exponeret, quid rerum pecunia regia gereretur, pacemque cum rege faceret. Exponit hic mandata et offert, ut omnes insulae et civitates Asiaticae sint liberae. Miserant et Athenienses reliquique legatos, quibus illa conditio videbatur iniquissima. Tiribazus Lacedaemoniis clam pecunia instructis Cononem coniecit in

vincula et profectus ad regem de his rebus retulit. Rex mittit Strutham ad res maritimas gerendas. Hic favebat Atheniensibus: unde Lacedaemonii adversus eum mittunt Thibronem, sed infausto successu. Ad exsules Rhodiorum restituendos popularemque statum tollendum Lacedaemonii mittunt Ecdicum nauarchum, Diphridam autem adversus Strutham. Ecdico Lacedaemonii subsidio cum navibus mittunt Teleutiam, Athenienses adversus illos Thrasybulum. Hic omissa Rhodo Thracum reges dissidentes conciliavit, et deinde Byzantio et Chalcedone recuperatis Lesbum navigat et Mytilenis, quae sola urbs Atheniensibus fida manserat, confirmatis ad Methymnam Lacedaemonios vincit. In Thrasybuli ab Aspendiis occisi locum sufficiunt Athenienses Agyrrhium, et in Hellespontum, ubi Lacedaemonii Anaxibio duce multa moliebantur, mittunt Iphicratem. Qui post levia proelia quum accepisset Anaxibium cum suis Antandrum abiisse, noctu Abydum traiecit et redeuntem ex insidiis oppressit. Anaxibius ipse fortiter pugnans cecidit: eius autem copiae partim fuga elapsae, partim caesae sunt.

---

Καὶ ὁ μὲν δὴ κατὰ γῆν πόλεμος οὕτως ἐπολεμεῖτο. 1
Ἐν ᾧ δὲ πάντα ταῦτα ἐπράττετο, τὰ κατὰ θάλατταν αὖ καὶ τὰς πρὸς θαλάττῃ πόλεις γενόμενα διηγήσομαι καὶ τῶν πράξεων τὰς μὲν ἀξιομνημονεύτους γράψω, τὰς δὲ μὴ ἀξίας λόγου παρήσω. Πρῶτον μὲν τοίνυν Φαρνάβαζος καὶ Κόνων, ἐπεὶ ἐνίκησαν τοὺς Λακεδαιμονίους τῇ ναυμαχίᾳ, περιπλέοντες καὶ τὰς νήσους καὶ A.Ch. a.394 πρὸς τὰς ἐπιθαλαττιδίας πόλεις τούς τε Λακωνικοὺς ἁρμοστὰς ἐξήλαυνον καὶ παρεμυθοῦντο τὰς πόλεις, ὡς οὔτε ἀκροπόλεις ἐντειχίσοιεν ἐάσοιέν τε αὐτονόμους.
Οἱ δ' ἀκούοντες ταῦτα ἥδοντό τε καὶ ἐπῄνουν καὶ ξένια 2 προθύμως ἔπεμπον τῷ Φαρναβάζῳ. Καὶ γὰρ ὁ Κόνων τὸν Φαρνάβαζον ἐδίδασκεν, ὡς οὕτω μὲν ποιοῦντι πᾶσαι αὐτῷ αἱ πόλεις φίλιαι ἔσοιντο, εἰ δὲ δουλοῦσθαι βουλόμενος φανερὸς ἔσοιτο, ἔλεγεν, ὡς μία

Cap. VIII. §. 1. πάντα ταῦτα B. D. V. Dind. pro ταῦτα πάντα. — ἐντειχίσοιεν B. Schaef., ἐντειχίσειεν E., ἐντειχιοῖεν Dind., ceteri ἐντειχίσαιεν. — ἐάσοιέν B. Schaef. Dind. pro ἐάσαιέν.
§. 2. A. C. E. V. edd. vett. ἔσονται. — δουλοῦσθαι B. D. F. I. V.

Cap. VIII. §. 1. ἐν ᾧ δὲ — διηγήσομαι] Construas: τὰ δὲ αὖ, ἐν ᾧ πάντα ταῦτα ἐπράττετο, κατὰ θάλατταν — γενόμενα διηγήσομαι.
τῇ ναυμαχίᾳ] V. IV, 3, 10. sqq.
τειχίσοιεν] V. Buttm. gr. max. §. 95. 10. adn. 14. Rost. gr. mai. §. 73. 2 a.

§. 2. οἱ δέ] ad πόλεις refertur per synesin, de qua v. ad IV, 3, 2.

ἑκάστῃ πολλὰ πράγματα ἱκανὴ εἴη παρέχειν καὶ κίνδυνος εἴη, μὴ καὶ οἱ Ἕλληνες, εἰ ταῦτα αἴσθοιντο, συσταῖεν. 3 Ταῦτα μὲν οὖν ἐπείθετο ὁ Φαρνάβαζος. Ἀποβὰς δ' εἰς Ἔφεσον τῷ μὲν Κόνωνι δοὺς τετταράκοντα τριήρεις εἰς Σηστὸν εἶπεν ἀπαντᾶν, αὐτὸς δὲ πεζῇ παρῄει ἐπὶ τὴν αὑτοῦ ἀρχήν. Καὶ γὰρ ὁ Δερκυλίδας, ὅςπερ καὶ πάλαι πολέμιος ἦν αὐτῷ, ἔτυχεν ἐν Ἀβύδῳ ὤν, ὅτε ἡ ναυμαχία ἐγένετο, καὶ οὐχ ὥςπερ οἱ ἄλλοι ἁρμοσταὶ ἐξέλιπεν, ἀλλὰ κατέσχε τὴν Ἄβυδον καὶ διέσωζε φίλην τοῖς Λακεδαιμονίοις. Καὶ γὰρ συγκαλέσας τοὺς
4 Ἀβυδηνοὺς ἔλεξε τοιάδε. Ὦ ἄνδρες, νῦν ἔξεστιν ὑμῖν καὶ πρόσθεν φίλοις οὖσι τῇ πόλει ἡμῶν εὐεργέτας φανῆναι τῶν Λακεδαιμονίων. Καὶ γὰρ τὸ μὲν ἐν ταῖς εὐπραξίαις πιστοὺς φαίνεσθαι οὐδὲν θαυμαστόν· ὅταν δέ τινες ἐν συμφοραῖς γενομένων φίλων βέβαιοι φανῶσι, τοῦτ' εἰς τὸν ἅπαντα χρόνον μνημονεύεται. Ἔστι δὲ οὐχ οὕτως ἔχον, ὡς, εἰ τῇ ναυμαχίᾳ ἐκρατήθημεν, οὐδὲν ἄρα ἔτι ἐσμέν· ἀλλὰ καὶ τὸ πρόσθεν δήπου, Ἀθηναίων ἀρχόντων τῆς θαλάττης, ἱκανὴ ἦν ἡ ἡμετέρα πόλις καὶ εὖ φίλους καὶ κακῶς ἐχθροὺς ποιεῖν. Ὅσῳ

Dind., δουλῶσθαι C., ceteri δουλώσασθαι. — Ante πολλὰ om. πόλις A. B. C. D. E. Dind.

§. 3. B. D. τὴν αὐτοῦ. — Ante συγκαλέσας om. πρόσθεν B. C. D. F. I. V. Dind.

§. 4. Schneid. γενομένων (τῶν) φίλων. — A. C. E. ἔσχον pro ἔχον. — Post ἔχον V. addit ὅτι, quod volebat Leoncl., ὡς addunt Weisk. edd. sqq. — A. C. E. F. edd. vett. Weisk. ἄρα τι pro ἄρα ἔτι.

**οἱ Ἕλληνες**] civitates Asiaticae.

§. 3. **ὁ Δερκυλίδας**] V. IV, 3, 2. 3.

**ὅςπερ καὶ πάλαι πολέμιος ἦν αὐτῷ**] Pharnabazo. Cf. III, 1, 9: *ἦν δὲ καὶ πρόσθεν ὁ Δερκ. πολέμιος τῷ Φαρναβάζῳ.*

**Ἀβύδῳ**] quae urbs longo ex tempore Atheniensibus erat inimica. Demosth. contr. Aristocr. 39: *ἐκ γὰρ Ἀβύδου τῆς πάντα χρόνον ὑμῖν ἐχθρᾶς.*

§. 4. **ἔξεστιν ὑμῖν — οὖσι — εὐεργέτας φανῆναι**] licet vobis, qui fuistis amici —, bene merere de Lacedaemoniis. Scribi poterat etiam *εὐεργέταις*, non item *φίλους ὄντας*. V. ad IV, 1, 35.

**ἔστι δὲ οὐχ οὕτως ἔχον**] Dindorf. affert Anab. IV, 1, 3: *καὶ ἔστιν οὕτως ἔχον.* Herod. II, 125. extr. V. Buttm. §. 144. adn. 16. Kuehn. §. 238. adn. 5.

**εἰ — ἐκρατήθημεν**] Ponitur *εἰ* pro *ὅτι* simili ratione ac post *θαυμάζειν* poni solet: magnam cladem, quam negare nequit, aegre agnoscit Dercylidas.

**οὐδὲν — ἐσμὲν**] V. ad Comment. II, 3, 5: *ἀδελφὸς — πᾶν τὸ ἐναντιώτατον εἴη* et ad I, 1, 5.

**ἄρα**] inde subito. Cf. ad III, 4, 9. IV, 2, 22.

**ὅσῳ — τοσούτῳ**] De scriptura *τοσοῦτον* dictum est ad IV, 6, 13.

δὲ μᾶλλον αἱ ἄλλαι πόλεις σὺν τῇ τύχῃ ἀπεστράφησαν ἡμῶν, τοσούτῳ ὄντως ἡ ὑμετέρα πιστότης μείζων φανείη ἄν. Εἰ δέ τις τοῦτο φοβεῖται, μὴ καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ἐνθάδε πολιορκώμεθα, ἐννοείτω, ὅτι Ἑλληνικὸν μὲν οὔπω ναυτικόν ἐστιν ἐν τῇ θαλάττῃ, οἱ δὲ βάρβαροι εἰ ἐπιχειρήσουσι τῆς θαλάττης ἄρχειν, οὐκ ἀνέξεται ταῦτα ἡ Ἑλλάς· ὥςθ' ἑαυτῇ ἐπικουροῦσα καὶ ὑμῖν σύμμαχος γενήσεται. Οἱ μὲν δὴ ταῦτα ἀκούοντες 5
οὐκ ἀκόντως, ἀλλὰ προθύμως ἐπείσθησαν· καὶ τοὺς μὲν ἰόντας ἁρμοστὰς φίλως ἐδέχοντο, τοὺς δὲ ἀπόντας μετεπέμποντο. Ὁ δὲ Δερκυλίδας, ὡς συνελέγησαν πολλοὶ καὶ χρήσιμοι ἄνδρες εἰς τὴν πόλιν, διαβὰς καὶ εἰς Σηστὸν καταντικρὺ ὄντα Ἀβύδου καὶ ἀπέχοντα οὐ πλεῖον ὀκτὼ σταδίων, ὅσοι τε διὰ Λακεδαιμονίους γῆν ἔσχον ἐν Χεῤῥονήσῳ, ἤθροιζε, καὶ ὅσοι αὖ ἐκ τῶν ἐν τῇ Εὐρώπῃ πόλεων ἁρμοσταὶ ἐξέπιπτον, καὶ τούτους ἐδέχετο λέγων, ὅτι οὐδ' ἐκείνους ἀθυμεῖν δεῖ, ἐννοουμένους, ὅτι καὶ ἐν τῇ Ἀσίᾳ, ἣ ἐξ ἀρχῆς βασιλέως ἐστί, καὶ Τῆμνος, οὐ μεγάλη πόλις, καὶ Αἰγαί εἰσι καὶ ἄλλα γε χωρία, ἃ δύνανται οἰκεῖν οὐχ ὑπήκοοι ὄντες βασιλέως. Καίτοι, ἔφη, ποῖον μὲν ἂν ἰσχυρότερον Σηστοῦ λάβοιτε χωρίον, ποῖον δὲ δυςπολιορκητότερον; ὃ καὶ νεῶν καὶ

— B. D. E. I. V. τοσοῦτον ὄντως. — εἰ δέ τις — φοβεῖται Dind.; codd. edd. vett. Leoncl. εἰ δέ τισι — φανεῖται, ceteri εἰ δέ τινι — φανεῖται. — F. edd. vett. om. καὶ ante κατὰ. — B. ante ἐπικουροῦσα addit καί. §. 5. οἱ μὲν δὴ B. D. F. V. Dind., οἱ δὴ H., οἱ μέστοι ceteri. — Αἰγαί εἰσι Valcken. ad Herod. III, 117. Dind., Αἰγαὶ Schneid., Ἀιγαιεῖς D. Weisk., Αἰγεεῖς B. C. V., Αἰγιεῖς ceteri (om. εἰσί). — ἃ post χωρία addidit Dind. — ὑπήκοοι ὄντες B. C. D. F. V. marg. Leoncl. Dind. pro ὑπήκοα ὄντα. — ἂν post μὲν addunt Schaef. Dind. — V.

ὄντως] iungendum cum μεῖζον: revera sive vere maior. Dindorfio delendum videtur tanquam ortum ex praecedenti varietate scripturae τοσοῦτον.

ταῦτα] hoc et quaecunque huc pertinent. De plurali v. ad Ages. I, 24.

ἑαυτῇ ἐπικουροῦσα] h. e. vobis praesidio erit, quia ea re sibi ipsi opitulabitur.

§. 5. ἰόντας] advenientes, eo venientes, eiectos ex reliquis urbibus graecis. Cf. IV, 4, 5: ἰοῦσαι. V, 4, 29: ἰόντα. Anab. II, 3, 7: εἰ αὐτοῖς τοῖς ἀνδράσι σπένδοιτο ἰοῦσι καὶ ἀπιοῦσιν. Thucyd. IV, 118, 6: σπονδὰς εἶναι ἰοῦσι καὶ ἀπιοῦσι.

Τῆμνος — Αἰγαί] oppida Aeolica, hoc haud procul a Cyme, illud ab Hermo fluvio sita.

ἃ δύνανται οἰκεῖν] quae suas res possunt administrare. V. Comment. I, 2, 64: ἡ πόλεις τε καὶ οἶκοι εὖ οἰκοῦσι. Cyrop. VIII, 1, 2. Infra §. 26. De verbi plurali numero cum ἃ iuncto v. ad I, 1, 23.

ὑπήκοοι ὄντες] referuntur ad ἃ (χωρία) per synesin, de qua v. ad I, 4, 12. II, 3, 54.

πεζῶν δεῖται, εἰ μέλλοι πολιορκηθήσεσθαι. Τούτους
6 αὖ τοιαῦτα λέγων ἔσχε τοῦ ἐκπεπλῆχθαι. Ὁ δὲ Φαρνάβαζος ἐπεὶ εὗρε τήν τε Ἄβυδον καὶ τὸν Σηστὸν οὕτως ἔχοντα, προηγόρευεν αὐτοῖς, ὡς, εἰ μὴ ἐκπέμψοιεν τοὺς Λακεδαιμονίους, πόλεμον ἐξοίσει πρὸς αὐτούς. Ἐπεὶ δὲ οὐκ ἐπείθοντο, Κόνωνι μὲν προςέταξε κωλύειν αὐτοὺς τὴν θάλατταν πλεῖν, αὐτὸς δὲ ἐδῄου τὴν τῶν Ἀβυδηνῶν χώραν. Ἐπεὶ δὲ οὐδὲν ἐπέραινε πρὸς τὸ καταστρέφεσθαι, αὐτὸς μὲν ἐπ' οἴκου ἀπῆλθε, τὸν δὲ Κόνωνα ἐκέλευεν εὐτρεπίζεσθαι τὰς καθ' Ἑλλήςποντον πόλεις, ὅπως εἰς τὸ ἔαρ ὅ τι πλεῖστον ναυτικὸν ἀθροισθείη. Ὀργιζόμενος γὰρ τοῖς Λακεδαιμονίοις ἀνθ' ὧν ἐπεπόνθει περὶ παντὸς ἐποιεῖτο ἐλθεῖν τε εἰς τὴν χώραν
7 αὐτῶν καὶ τιμωρήσασθαι ὅ τι δύναιτο. Καὶ τὸν μὲν
Ch. a. 393. χειμῶνα ἐν τοιούτοις ὄντες διῆγον· ἅμα δὲ τῷ ἔαρι ναῦς τε πολλὰς συμπληρώσας καὶ ξενικὸν προςμισθωσάμενος ἔπλευσεν ὁ Φαρνάβαζός τε καὶ ὁ Κόνων μετ' αὐτοῦ διὰ νήσων εἰς Μῆλον, ἐκεῖθεν δὲ ὁρμώμενοι εἰς

μέλλει, quod mavult Dind. — ἔσχε τοῦ ἐκπ. B. D F. V. Dind. pro ἔσχε τοῦ μὴ ἐκπ.

§. 6. προηγόρευεν B. C. D. I. V. Dind. pro προηγόρευσεν. — V. ἐξοίσειν. — Pro πρὸς αὐτοὺς A. C. E. edd. vett. praebent μετ' αὐτῶν, unde Mor. Weisk. Schn. κατ' αὐτῶν; F. μετ' αὐτούς. — V. ἀρχὴν pro χώραν.

§. 7. ἐν τοιούτοις B. D. Dind. pro ἐν τούτοις. — Marg. Leoncl.

*εἰ μέλλοι*] De optativo, quem offendit Dindorfius, cf. Comm. II, 6, 14: *εἰ μέλλοιμεν ἀγαθόν τινα κτήσασθαι φίλον, αὐτοὺς ἡμᾶς ἀγαθοὺς δεῖ γενέσθαι.* Anab. III, 3, 16: *εἰ μέλλοιμεν τούτους εἴργειν, — σφενδονητῶν τε τὴν ταχίστην δεῖ καὶ ἱππέων.* Hier. VIII, 9: *πρακτέον μέν γε χρήματα, εἰ μέλλοιμεν ἕξειν δαπανᾶν εἰς τὰ δέοντα*, et adn. ad Oecon. XII, 5: *εὔνοιαν — δεήσει αὐτὸν ἔχειν, εἰ μέλλοι ἀρκέσειν.* Omnibus his locis in protasi est *εἰ* cum verbi *μέλλειν* optativo, in apodosi verbum *δεῖν* vel adiectivum verbale, in quo eadem inest necessitatis notio. Vertas: et navibus et pedestribus copiis opus est, ut Sestus obsideri possit, h. e. *wenn man sich eine Blockade von Sestos möglich denken soll.*

*ἔσχε τοῦ ἐκπεπλῆχθαι*] Obsequendum quidem est libris praestantioribus, neque tamen post verba prohibendi aut solum *μή* aut *τὸ μή*, nunquam *τοῦ μή* poni debere concesserim Dindorfio, qui vel invitis omnibus libris Anab. III, 5, 11. in verbis *πᾶς γὰρ ἀσκὸς δύο ἄνδρας ἕξει τοῦ μὴ καταδῦναι* aut *μή* delendum aut *τὸ* scribendum censet. Nam si licet dicere *ὅς σε κωλύσει τὸ δρᾶν* (Soph. Phil. 1225) non minus quam *κωλύειν αὐτοὺς — πλεῖν* (infra §. 6), cur *ἕξει τοῦ μὴ καταδῦναι* minus liceat dicere quam *ἕξει μὴ καταδῦναι*, si quidem dici etiam potest *ἕξει τοῦ καταδῦναι*?

§. 6. *ὡς — ἐξοίσει*] Etiam *ἐξοίσειν* ferri potest. V. ad II, 2, 2.

§. 7. *διὰ νήσων*] medias per Cycladas, cui oppositum est: per mare apertum. In qua formula artisculus solet abese, ut VI, 2, 12.

τὴν Λακεδαίμονα. Καταπλεύσας δὲ πρῶτον μὲν εἰς Φερὰς ἐδῄωσε ταύτην τὴν χώραν· ἔπειτα καὶ ἄλλοσε ἀποβαίνων τῆς παραθαλαττίας ἐκακούργει ὅ τι ἐδύνατο. Φοβούμενος δὲ τήν τε ἀλιμενότητα τῆς χώρας καὶ τὰ τῆς βοηθείας καὶ τὴν σπανοσιτίαν ταχύ τε ἀνέστρεψε καὶ ἀποπλέων ὡρμίσθη τῆς Κυθηρίας εἰς Φοινικοῦντα. Ἐπεὶ δὲ οἱ ἔχοντες τὴν πόλιν τῶν Κυθη- 8 ρίων φοβηθέντες, μὴ κατὰ κράτος ἁλοῖεν, ἐξέλιπον τὰ τείχη, ἐκείνους μὲν ὑποσπόνδους ἀφῆκεν εἰς τὴν Λακωνικήν, αὐτὸς δὲ ἐπισκευάσας τὸ τῶν Κυθηρίων τεῖχος φρουρούς τε καὶ Νικόφημον Ἀθηναῖον ἁρμοστὴν ἐν τοῖς Κυθήροις κατέλιπε. Ταῦτα δὲ ποιήσας καὶ εἰς Ἰσθμὸν τῆς Κορινθίας καταπλεύσας καὶ παρακελευσάμενος τοῖς συμμάχοις προθύμως τε πολεμεῖν καὶ ἄνδρας πιστοὺς φαίνεσθαι βασιλεῖ, καταλιπὼν αὐτοῖς χρήματα ὅσα εἶχεν ᾤχετο ἐπ' οἴκου ἀποπλέων. Λέγον- 9 τος δὲ τοῦ Κόνωνος, ὡς, εἰ ἐῴη αὐτὸν ἔχειν τὸ ναυτικόν, θρέψοι μὲν ἀπὸ τῶν νήσων, καταπλεύσας δ' εἰς τὴν πατρίδα συναναστήσοι τά τε μακρὰ τείχη τοῖς

ἐντεῦθεν δὴ pro ἐκεῖθεν δέ. — μὲν post πρῶτον addit B., ceteri om. — τὴν σπανοσιτίαν B. C. D. F. V. Dind., τὴν σπανοσιτείαν I. marg. Leoncl., τῆς σπανοσιτίας E., reliqui τὰ τῆς σπανοσιτίας vel σπανοσιτείας. — B. ὡρμήθη pro ὡρμίσθη.

§. 8. Νικόφημον Schneid. Dind. pro Νικόφηβον. — Κυθήροις Dind. pro Κυθηρίοις.

§. 9. ὡς post Κόνων addunt Cast. Schneid. edd. sqq., ὅτι Steph. — θρέψοι — συναναστήσοι B. C. D. E. V. Dind. pro θρέψει — συνα-

πρῶτον μέν] sequente ἔπειτα sine δέ. V. ad Oecon. V, 5. Ages. I, 12. Hier. II, 11. Comment. I, 2, 1.

Φεράς] Messeniae oppidum.

τὰ τῆς βοηθείας] quae pertinent ad hostium opem suis ferentium adventum, vel, ut Leoncl. vertit: hostium ad ferendam suis opem concursiones.

Κυθηρίας] χώρας. Diodor. XIV, 84: κατέπλευσαν ἐπὶ Κύθηρα τὴν νῆσον. Cuius insulae portus Φοινικοῦς alibi non commemoratur. Eiusdem nominis portus in aliis terris varios v. in Papii lex. nom. propr.

§. 8. ἁρμοστήν] Non solum a Lacedaemoniis, sed ab aliis etiam civitatibus graecis constituti urbium praefecti a Xenophonte nominantur ἁρμοσταί: VII, 1, 43. 3, 4. 9. Anab. V, 5, 19.

ᾤχετο] ὁ Φαρνάβαζος, quem hucusque comitatus est Conon, ut, quae inde a verbis ἔπλευσεν ὁ Φαρν. τε καὶ ὁ Κόνων §. 7. et 8. narrantur, simul ad Cononem pertineant.

§. 9. λέγοντος — ἔφη] De hac constructione v. adn. ad Cyrop. I, 4, 20. et VI, 3, 17: εἰπόντος δὲ Κύρου —, ἔφη. Rost. §. 182. adn. 6. Kuehn. §. 313. 2. Buttm. §. 145. adn. 1.

συναναστήσοι] se una cum Atheniensibus restituturum esse.

τά τε μακρὰ τείχη] V. II, 2, 23.

Ἀθηναίοις καὶ τὸ περὶ τὸν Πειραιᾶ τεῖχος, οὗ εἰδέναι ἔφη ὅτι Λακεδαιμονίοις οὐδὲν ἂν βαρύτερον γένοιτο. καὶ τοῦτο οὖν, ἔφη, σὺ τοῖς μὲν Ἀθηναίοις κεχαρισμένος ἔσῃ, τοὺς δὲ Λακεδαιμονίους τετιμωρημένος· ἐφ' ᾧ γὰρ πλεῖστα ἐπόνησαν, ἀτελὲς αὐτοῖς ποιήσεις. Ὁ δὲ Φαρνάβαζος ἀκούσας ταῦτα ἀπέστειλεν αὐτὸν προθύμως εἰς τὰς Ἀθήνας καὶ χρήματα προςέθηκεν αὐτῷ εἰς
10 τὸν ἀνατειχισμόν. Ὁ δὲ ἀφικόμενος πολὺ τοῦ τείχους ὤρθωσε, τά τε αὐτοῦ πληρώματα παρέχων καὶ τέκτοσι καὶ λιθολόγοις μισθὸν διδοὺς καὶ ἄλλο εἴ τι ἀναγκαῖον ἦν δαπανῶν. Ἦν μέντοι τοῦ τείχους ἃ καὶ αὐτοὶ Ἀθηναῖοι καὶ Βοιωτοὶ καὶ ἄλλαι πόλεις ἐθελούσιαι συνετείχισαν. Οἱ μέντοι Κορίνθιοι ἀφ' ὧν ὁ Φαρνάβαζος κατέλιπε χρημάτων ναῦς πληρώσαντες καὶ Ἀγαθῖνον ναύαρχον ἐπιστήσαντες ἐθαλαττοκράτουν ἐν τῷ περὶ
11 Ἀχαΐαν καὶ Λέχαιον κόλπῳ. Ἀντεπλήρωσαν δὲ καὶ οἱ Λακεδαιμόνιοι ναῦς, ὧν Ποδάνεμος ἦρχε. Ἐπεὶ δὲ οὗτος ἐν προςβολῇ τινι γενομένῃ ἀπέθανε καὶ Πόλλις αὖ ἐπιστολεὺς ὢν τρωθεὶς ἀπῆλθεν, Ἡριππίδας ταύτας ἀναλαμβάνει τὰς ναῦς. Πρόαινος μέντοι Κορίνθιος τὰς παρ' Ἀγαθίνου παραλαβὼν ναῦς ἐξέλιπε τὸ Ῥίον· Λακεδαιμόνιοι δ' αὐτὸ παρέλαβον. Μετὰ δὲ τοῦτο Τε-

ναστήσει. — F. τοῦτο μὲν pro τοῦτο οὖν. — B. om. μὲν post τοῖς. — Dind. ἔσει pro ἔσῃ. — Edd. vett. ἀτελὲς αὐτὸς.

§. 10. B. I. ἐφ' ὧν pro ἀφ' ὧν. — B. Ἀχαιίαν.

§. 11. ὧν Ποδάνεμος ἦρχεν B. I. marg. Leoncl. Steph. Wells. Dind., ὧν ἦρχε Πόμος C., ὧν Ποδόμιμος ἦρχεν D., ὧν Πολέμαρχος ἦρχεν A., ceteri ὧν ἦρχε Πολέμαρχος, nisi quod V. habet ὧν Πρόξενος ἦρχεν. — B. C. προβολῇ. — γενομένῃ D. F. V. Dind., B. γενομένους, ceteri γενόμενος. — B. C. F. Iunt. Bryl. Cast. Πόλις. — αὖ τοῦ κόλπου πάλιν B. F. V. Dind., idem D. sed om. πάλιν, C. πάλιν αὖ

προςέθηκε] addidit, h. e. etiam cum pecunia eum misit. Cf. Cyrop. VIII, 6, 15: ταῦτα δ' εἰπὼν, ὡς χρὴ ποιεῖν ἑκάστους, καὶ δύναμιν ἑκάστῳ προςθεὶς, ἐξέπεμπε. Ibid. II, 4, 14: πέμψαι ἱππέας μοι προςθείς.

§. 10. τά τε αὐτοῦ πληρώματα] Cf. I, 6, 16. V, 1, 11. Diodor. XIV, 15: ὁ δ' οὖν Κόνων μισθωσάμενος πλῆθος τεχνιτῶν καὶ τὸν ἐκ τῶν πληρωμάτων ὄχλον εἰς ὑπηρεσίαν παραδοὺς ταχέως τὸ πλεῖστον κέρας τοῦ τείχους ἀνῳκοδόμησε· καὶ γὰρ Θηβαῖοι πεντακοσίους τεχνίτας καὶ λιθοτόμους ἀπέστειλαν καί τινες ἄλλαι τῶν πόλεων παρεβοήθησαν.

Ἀχαΐαν] De hac et altera forma Ἀχαιίαν v. Lobeck. ad Phryn. p. 40.

§. 11. Ποδάνεμος] Cf. V, 3, 13.

ἐπιστολεύς] Cf. I, 1, 23.

λευτίας ἐπὶ τὰς Ἡριππίδου ναῦς ἦλθε, καὶ οὗτος αὖ τοῦ κόλπου πάλιν ἐκράτει.

Οἱ δὲ Λακεδαιμόνιοι ἀκούοντες, ὅτι Κόνων καὶ τὸ 12
τεῖχος τοῖς Ἀθηναίοις ἐκ τῶν βασιλέως χρημάτων ἀνορθοίη καὶ τὸ ναυτικὸν ἀπὸ τῶν ἐκείνου τρέφων τάς τε νήσους καὶ τὰς ἐν τῇ ἠπείρῳ παρὰ θάλατταν πόλεις Ἀθηναίοις εὐτρεπίζοι, ἐνόμιζον, εἰ ταῦτα διδάσκοιεν Τιρίβαζον βασιλέως ὄντα στρατηγόν, ἢ καὶ ἀποστῆσαι ἂν πρὸς ἑαυτοὺς τὸν Τιρίβαζον ἢ παῦσαί γ' ἂν τὸ Κόνωνος ναυτικὸν τρέφοντα. Γνόντες δὲ οὕτω, πέμπουσιν Ἀνταλκίδαν πρὸς τὸν Τιρίβαζον, προστάξαντες αὐτῷ ταῦτα διδάσκειν καὶ πειρᾶσθαι εἰρήνην τῇ πόλει ποιεῖσθαι πρὸς βασιλέα. Αἰσθόμενοι δὲ ταῦτα οἱ Ἀθη- 13
ναῖοι ἀντιπέμπουσι πρέσβεις μετὰ Κόνωνος Ἑρμογένη καὶ Δίωνα καὶ Καλλισθένη καὶ Καλλιμέδοντα. Συμπαρεκάλεσαν δὲ καὶ ἀπὸ τῶν συμμάχων πρέσβεις· καὶ παρεγένοντο ἀπό τε Βοιωτῶν καὶ Κορίνθου καὶ Ἄργους. Ἐπεὶ δ' ἐκεῖ ἦσαν, ὁ μὲν Ἀνταλκίδας ἔλεγε πρὸς 14
τὸν Τιρίβαζον, ὅτι εἰρήνης δεόμενος ἥκοι τῇ πόλει

τοῦ κόλπου, E. τοῦ κόλπου αὖ sine πάλιν, I. τοῦ κόλπου πάλιν sine αὖ, ceteri τοῦ κόλπου πάλιν αὖ.

§. 12. ἀκούοντες B. C. D. F. I. marg. Leoncl. Dind. pro ἀκούσαντες. — τε ante νήσους addunt B. C. D. E. F. I. V. Steph. Leoncl. Schneid. Dind. — D. εὐτρεπίζειν. — ἀποστῆσαι Dind. pro ἀποστῆναι. — Post ἑαυτοὺς edd. vett. margg. Steph. et Leoncl. Mor. Weisk. πείσειαν, Schneid. ποιῆσαι interponunt. — αὐτῷ B. C. D. E. F. I. V. Steph. Leoncl. Dind. pro αὐτὸν.

§. 13. Dind. Ἑρμογένην — Καλλισθένην.

§. 14. Ante εἰρήνης om. καὶ B. D. F. I. V. Schneid. Dind. — B.

τοῦ κόλπου] τοῦ περὶ Ἀχαΐαν καὶ Λέχαιον κόλπου.

§. 12. Τιρίβαζον] antea Armeniae (Anab. IV, 4, 4.), tum Ioniae, Tithraustis loco, satrapem. V. V, 1, 28.

ἢ καὶ ἀποστῆσαι — ἢ — γ'] aut adeo (quod vix sperabant) traducturos esse ad se, aut certe —. Felicissima Dindorfii emendatio editorum commenta, quibus sanare volebant locum corruptum, irrita fecit omnia, quae videas apud Weiskium et Schneiderum.

εἰρήνην — ποιεῖσθαι] Frustra haerebant in media verbi forma, si quidem τῇ πόλει est i. q. τῇ ἑαυτῶν vel ἑαυτοῦ πόλει.

§. 13. Ἑρμογένη — Καλλισθένη] Forma in ην desinens Xenophonti, in η Platoni a grammaticis tanquam propria tribuitur. Quum vero apud utrumque scriptorem multis locis fluctuetur scriptura, certe ubi omnes libri consentiunt, vulgatam lectionem mutare nolui. V. Kuehner. ad Comment. III, 8, 1. Anab. VII, 2, 17. 4, 18. Supra I, 7, 8. IV, 4, 9. Infra VII, 1, 32. In novissima Xenophont. Commentariorum editione (Oxon.) Dind. ubique vel contra libros scripsit Σωκράτη, Ἐπιγένη, Ἀντισθένη et sim.

πρὸς βασιλέα καὶ ταύτης οἵαςπερ βασιλεὺς ἐπεθύμει. Τῶν τε γὰρ ἐν τῇ Ἀσίᾳ Ἑλληνίδων πόλεων Λακεδαιμονίους βασιλεῖ οὐκ ἀντιποιεῖσθαι, τάς τε νήσους ἁπάσας καὶ τὰς ἄλλας πόλεις ἀρκεῖν σφίσιν αὐτονόμους εἶναι. Καίτοι, ἔφη, τοιαῦτα ἐθελόντων ἡμῶν, τίνος ἂν ἕνεκα πρὸς ἡμᾶς [οἱ Ἕλληνες ἢ] βασιλεὺς πολεμοίη ἢ χρήματα δαπανῴη; Καὶ γὰρ οὐδ' ἐπὶ βασιλέα στρατεύεσθαι δυνατὸν οὔτε Ἀθηναίοις, μὴ ἡγουμένων ἡμῶν, οὔθ' ἡμῖν, αὐτονόμων οὐσῶν τῶν πόλεων. Τῷ μὲν δὴ Τιριβάζῳ ἀκούοντι ἰσχυρῶς ἤρεσκον οἱ τοῦ Ἀνταλκίδου λόγοι· τοῖς δ' ἐναντίοις λόγοι ταῦτ' ἦν. Οἵ τε γὰρ Ἀθηναῖοι ἐφοβοῦντο συνθέσθαι αὐτονόμους εἶναι [τὰς πόλεις καὶ] τὰς νήσους, μὴ Λῆμνον καὶ Ἴμβρον καὶ

marg. Leoncl. οἱάπερ, V. οἵαπερ pro οἵασπερ. — Edd. vett. om. ἂν ante ἕνεκα. — οὔθ' ἡμῖν B. D. Dind. pro οὔτε ἡμῖν.

§. 15. λόγοι ταῦτ' ἦν Steph. Wolf., λόγος ταῦτ' ἦν Dind., λόγοις ταῦτ' ἦν ceteri; Koeppen. coni. οὐ βουλομένοις ταῦτ' ἦν. — αὐτονόμους εἶναι τὰς νήσους B. D. E. F. I. V., αὐτονόμους εἶναι τὰς πόλεις καὶ τὰς νήσους Dind., αὐτονόμους τ. π. κ. τ. ν. εἶναι ceteri. — ὡς

§. 14. [οἱ Ἕλληνες ἢ]] Haec sunt verba eius, qui putaret mentionem faciendam fuisse Graecorum, qui cum Pharnabazo coniuncti contra Spartanos pugnarent. Aliena autem sunt ab h. l. nam Antalcidas agit non nisi de pace inter regem et Lacedaemonios facienda.

§. 15. τοῖς δ' ἐναντίοις λόγοι ταῦτ' ἦν] Verba λόγοι ταῦτ' ἦν eo Wolfius accepit sensu, quo Demosth. adv. Lept. 101 dicit ταῦτα λόγους καὶ φλυαρίας εἶναι. Adde Demosth. adv. Onetor. A. 34: οὐκ ἔχει ταῦτ' ἀλήθειαν — πιστήν, ἀλλὰ λόγοι ταῦτ' εἰσί. Ibid. 26: λόγος ταῦτα καὶ παραγωγὴ τοῦ πράγματός ἐστιν. Quae exempla et alia a Papio in lex. et in Steph. thes. p. 364—65 collecta si accuratius perpenderis, λόγος vel λόγοι significare verba vana sive ineptias videbis nusquam nisi in locutione λόγον vel λόγους λέγειν, aut ubi haec significatio vel ex additis quibusdam vel plane oppositis verbis intelligitur. Quare valde dubito, num persanatus sit hic locus Wolfii aut Dindorfii correctione. Mihi quidem a Xenophonte nihil dictum videtur, nisi: Tiribazo probata, reliquis non probata fuisse Antalcidae verba. Quin etiam ea non pro ineptiis habuisse adversarios ostendunt quae statim sequuntur. Eam autem, quae requiritur, sententiam praebet Koeppeni coniectura, si modo non iusto longius recederet a scriptura librorum. Hanc ego ortam esse opinor ex τοῖς δὲ τοὐναντίον, reliquis contra, i. e. reliquis displicebant. Postremo verbo (τοὐναντίον) corrupto ad supplendam sententiam addita sunt λόγοι (depravatum deinceps in λόγοις) ταῦτ' ἦν.

αὐτονόμους εἶναι [τὰς πόλεις καὶ] τὰς νήσους] Verba τὰς πόλεις καὶ ex superiori sectione hic repetita esse manifestum est. Athenienses insularum, Thebani et Argivi urbium metuunt omissum. Non debebant omitti haec verba, si diceretur ἐφοβοῦντο γὰρ συνθέσθαι αὐτονόμους εἶναι τὰς πό-

*Σκύρου στερηθεῖεν, οἵ τε Θηβαῖοι, μὴ ἀναγκασθείησαν ἀφεῖναι τὰς Βοιωτίδας πόλεις αὐτονόμους, οἵ τ' Ἀργεῖοι, οὐ ἐπεθύμουν, οὐκ ἐνόμιζον ἂν τὴν Κόρινθον δύνασθαι ὡς Ἄργος ἔχειν, τοιούτων συνθηκῶν καὶ σπονδῶν γενομένων. Αὕτη μὲν ἡ εἰρήνη οὕτως ἐγένετο ἀτελής, καὶ ἀπῆλθον οἴκαδε ἕκαστος.*

*Ὁ μέντοι Τιρίβαζος τὸ μὲν ἄνευ βασιλέως μετὰ Λα-* 16
*κεδαιμονίων γενέσθαι οὐκ ἀσφαλὲς αὑτῷ ἡγεῖτο εἶναι· λάθρᾳ γε μέντοι ἔδωκε χρήματα Ἀνταλκίδᾳ, ὅπως ἄν, πληρωθέντος ναυτικοῦ ὑπὸ Λακεδαιμονίων, οἵ τε Ἀθηναῖοι καὶ οἱ σύμμαχοι αὐτῶν μᾶλλον τῆς εἰρήνης προσδέοιντο, καὶ τὸν Κόνωνα ὡς ἀδικοῦντά τε βασιλέα καὶ ἀληθῆ λεγόντων Λακεδαιμονίων εἷρξε. Ταῦτα δὲ ποιήσας ἀνέβαινε πρὸς βασιλέα φράσων ἅ τε λέγοιεν οἱ Λακεδαιμόνιοι καὶ ὅτι Κόνωνα συνειληφὼς εἴη ὡς ἀδικοῦντα, καὶ ἐρωτήσων, τί χρὴ ποιεῖν περὶ τούτων ἁπάν-*
*των. Καὶ βασιλεὺς μέν, ὡς Τιρίβαζος ἄνω παρ' αὐτῷ* 17
*ἦν, Στρούθαν καταπέμπει ἐπιμελησόμενον τῶν κατὰ* A.Ch.a
*θάλατταν. Ὁ μέντοι Στρούθας ἰσχυρῶς τοῖς Ἀθηναίοις καὶ τοῖς συμμάχοις τὴν γνώμην προσεῖχε μεμνημένος, ὅσα κακὰ ἐπεπόνθει ἡ βασιλέως χώρα ὑπ' Ἀγησιλάου. Οἱ δὲ Λακεδαιμόνιοι ἐπεὶ ἑώρων τὸν Στρούθαν πρὸς ἑαυτοὺς μὲν πολεμικῶς ἔχοντα, πρὸς δὲ τοὺς Ἀθηναίους φιλικῶς, Θίβρωνα πέμπουσιν ἐπὶ πολέμῳ πρὸς αὐτόν. Ὁ δὲ διαβάς τε καὶ ὁρμώμενος ἐξ Ἐφέσου*

*Ἄργος* V. Schneid. edd. sqq. pro *ὡς τ' Ἄργος*, libri *ὥστ' ὡς τ' Ἄργος* (B. *Ἄργους*). — Schneid. post *αὕτη μὲν* addit *οὖν*.

§. 16. *εἷρξε* D. et edd., A. *ἧρξε*, B. *εἷρξαι*, ceteri *εἷρξε*.

§. 17. *ὅσα* B., ceteri *ὁπόσα*. — *κακὰ ἐπεπόνθει ἡ β. χώρα* B. C. D. E. F. V. Dind. pro *κακὰ ἡ τοῦ β. χώρα ἐπεπόνθει*. — *πρὸς δὲ τοὺς Ἀθ.* B. C. D. E. F. I. V. Schneid. Dind. pro *πρὸς Ἀθ. δὲ*. — *Θίβρωνα* B. D. E. F. V. Dind. pro *Θίμβρ.*

*λεις καὶ τὰς νήσους οὔτε Ἀθηναῖοι, μὴ —, οὔτε Θηβαῖοι, μὴ —.* Ut nunc collocata sunt, turbant potius verba *τὰς πόλεις καὶ* quam iuvant sententiam.

*Κόρινθον — ὡς Ἄργος ἔχειν*] Cf. IV, 4, 6. 8, 34.

*ἕκαστος*] non est subiectum, sed omissi subiecti appositio.

§. 16. *ἀληθῆ λεγόντων Λακεδαιμονίων*] Repetas *ὡς* ad participium. Quid autem significent haec verba, coniectari licet e Diodoro XIV. 85: *καὶ πρόφασιν μὲν λαβών, ὅτι ταῖς βασιλικαῖς δυνάμεσι τὰς πόλεις Ἀθηναίοις καταϰτᾶται.*

§. 17. *Θίβρωνα*] de quo v. III, 1, 4—8.

τε καὶ τῶν ἐν Μαιάνδρου πεδίῳ πόλεων Πριήνης τε καὶ Λευκόφρυος καὶ Ἀχιλλείου ἔφερε καὶ ἦγε τὴν βασιλέως.
18 Προϊόντος δὲ τοῦ χρόνου κατανοήσας ὁ Στρούθας, ὅτι Θίβρων βοηθοίη ἑκάστοτε ἀτάκτως καὶ καταφρονητικῶς, ἔπεμψεν ἱππέας εἰς τὸ πεδίον καὶ καταδραμόντας ἐκέλευσε περιβαλλομένους ἐλαύνειν ὅ τι δύναιντο. Ὁ δὲ Θίβρων ἐτύγχανεν ἐξ ἀρίστου διασκηνῶν μετὰ Θερσάνδρου τοῦ αὐλητοῦ. Ἦν γὰρ ὁ Θέρσανδρος οὐ μόνον αὐλητὴς ἀγαθός, ἀλλὰ καὶ ἀλκῆς, ἅτε λακωνίζων,
19 ἀντεποιεῖτο. Ὁ δὲ Στρούθας ἰδὼν ἀτάκτως τε βοηθοῦντας καὶ ὀλίγους τοὺς πρώτους ἐπιφαίνεται πολλούς τε ἔχων καὶ συντεταγμένους ἱππέας, καὶ Θίβρωνα μὲν καὶ Θέρσανδρον πρώτους ἀπέκτειναν· ἐπεὶ δ᾽ οὗτοι ἔπεσον, ἐτρέψαντο καὶ τὸ ἄλλο στράτευμα καὶ διώκοντες παμπληθεῖς κατέβαλον, ἦσαν δὲ καὶ οἳ ἐσώθησαν αὐτῶν εἰς τὰς φιλίας πόλεις, καὶ πλέονες διὰ τὸ ὀψὲ αἰσθέσθαι τῆς βοηθείας· πολλάκις γάρ, καὶ τότε,

§. 18. Post ἀλκῆς vulg. ἰσχύος, monente Leoncl., inclusit Mor., eiecit Dind., Weisk. coni. ἰσχυρῶς, Sturz. καὶ ἰσχύος.

§. 19. E. ἀτάκτως ἰδών. — καὶ συντεταγμένους ἱππέας B. C. D. E. F. I. V. Steph. Leoncl. Dind., ceteri ἱππέας καὶ συντ., sed A. edd. vett. om. καί. — F. κατέβαλλον. — δὲ καὶ οἳ B., ceteri δὲ οἵ καί. — Vulgo post πόλεις maior est interpunctio et post βοηθείας signum lacunae. — B. οὐ pro οὐδὲ.

Ἀχιλλείου] Non Achilleum iuxta tumulum Achillis a Mitylenaeis conditum, de quo v. Herod. V, 94, sed oppidum iuxta Prienen hic et supra III, 2, 17 dici cum Meinekio in Exercit. I, p. 5. colligit Dindorfius ex verbis Athenaei II, p. 43 D: Ἀριστόβουλος ὁ Κασσανδρεύς φησιν ἐν Μιλήτῳ κρήνην εἶναι Ἀχίλλειον καλουμένην. Unde coniiciendum ei videtur, „etiam oppidum ab Achille appellatum iisdem in regionibus fuisse diversum a φρουρίῳ Ἀχιλλείῳ πλησίον Σμύρνης apud Steph. Byz., quod Morus intellexerat.“

§. 18. καταδραμόντας] V. ad IV, 7, 6.

περιβαλλομένους] Diodor. XIV, 99: τοῦ Θίμβρωνος μετὰ μέρους τῆς δυνάμεως ἐξελθόντος καὶ πολλὴν περιβαλομένου λείαν, ἐπελθὼν ὁ Στρούθας κ. τ. λ.

διασκηνῶν] V. adn. ad Cyrop. III, 1, 38: διασκηνούντων δὲ μετὰ τὸ δεῖπνον.

Θερσάνδρου] Polyaen. VI, 10: μισθωσάμενος τῶν ἀπ᾽ Ἰωνίας τοὺς ἀρίστους ἀγωνιστάς, αὐλητὰς μὲν Θέρσανδρον καὶ Φιλόξενον κ.τ.λ. quem locum affert Schneiderus. Ergo Ionius erat Thersander.

§. 19. τῆς βοηθείας] Leonclavius addendum censuit ἀπελείποντο, Morus tale quid: „ne adfuerant quidem conflictui.“ Hertlinius difficultatem tollere vult scribendo antea οἱ πλέονες vel καὶ οἱ πλέονες. Melius loco consulit Gobischius in progr Suidn. 1850, qui deleta interpun-

οὐδὲ παραγγείλας τὴν βοήθειαν ἐποιήσατο. Καὶ ταῦτα μὲν οὕτως ἐγεγένητο.

Ἐπεὶ δ' ἦλθον εἰς Λακεδαίμονα οἱ ἐκπεπτωκότες 20
Ῥοδίων ὑπὸ τοῦ δήμου, ἐδίδασκον, ὡς οὐκ ἄξιον εἴη A.Ch.a.
περιιδεῖν Ἀθηναίους Ῥόδον καταστρεψαμένους καὶ τοσαύτην δύναμιν συνθεμένους. Γνόντες οὖν οἱ Λακεδαιμόνιοι, ὡς, εἰ μὲν ὁ δῆμος κρατήσοι, Ἀθηναίων ἔσται Ῥόδος ἅπασα, εἰ δὲ οἱ πλουσιώτεροι, ἑαυτῶν, ἐπλήρωσαν αὐτοῖς ναῦς ὀκτώ, ναύαρχον δὲ Ἔκδικον ἐπέστησαν. Συνεξέπεμψαν δ' ἐπὶ τούτων τῶν νεῶν καὶ Δι- 21
φρίδαν. Ἐκέλευσαν δ' αὐτὸν διαβάντα εἰς τὴν Ἀσίαν τάς τε Θίβρωνα ὑποδεξαμένας πόλεις διασώζειν καὶ στράτευμα τὸ περισωθὲν ἀναλαβόντα καὶ ἄλλο, εἴ ποθεν δύναιτο, συλλέξαντα πολεμεῖν πρὸς Στρούθαν. Ὁ μὲν δὴ Διφρίδας ταῦτ' ἐποίει καὶ τά τ' ἄλλα ἐπετύγχανε καὶ Τιγράνην τὸν τὴν Στρούθα ἔχοντα θυγατέρα πορευόμενον εἰς Σάρδεις λαμβάνει σὺν αὐτῇ τῇ γυναικὶ καὶ χρημάτων πολλῶν ἀπέλυσεν, ὥστ' εὐθὺς ἐν-

§. 20. καταστρεψαμένους B. C. D. E. F. V. Schneid. Dind. pro καταστρεψομένους. — Rinkes. coni. προσθεμένους pro συνθεμένους. — ὁ δῆμος κρατήσοι B. D. E. F. V. Dind. pro κρατήσοι ὁ δῆμος. — ἑαυτῶν B. C. D. F. I. V. Schneid. Dind. pro αὐτῶν.

§. 21. τούτων τῶν νεῶν B. D. E. I. Dind. pro τῶν νεῶν τούτων. — Post στράτευμα B. D. I. V. Dind. om. δὲ. — Ante Στρούθαν B. D. V. Dind. om. τὸν. — τά τ' ἄλλα B. D. I. V. Dind., τά τε ἄλλα E., ταῦτα F., τἄλλα ceteri. — αὐτῇ τῇ γυν. B. D. E. F. I. V. Dind., αὐτῇ γυν. C., τῇ γυν. ceteri.

ctione maiore vulgo post πόλεις posita vertit: nonnulli autem salutem recuperavere in urbes sociatas se recipientes et plures quidem quod succurrendum esse sero sensissent." Facile enim cogitando addimus: ideoque proelio non interfuissent.

καὶ τότε] Morus vult ὡς καὶ τότε, quod probandum videtur.

§. 20. οἱ ἐκπεπτωκότες] Eiecti erant Lacedaemoniorum studiosi a. 396, quum Rhodii se Cononi adiunxissent, eiecti autem a. 391 ab adversariis ii, qui cum Atheniensibus faciebant, et proelio victi sunt. Quo facto auxilium petentibus Rhodiis Lacedaemonii octo (vel septem secundum Diodorum) naves submiserunt. Diodor. XIV, 79 et 97.

συνθεμένους] Insolens sane est huius verbi significatio: sibi comparare. Non displicet προσθεμένους, i. e. tantasque opes (Rhodiorum) sibi adiungerent. Cf. Cyrop. IV, 5, 46: ἣν δ' ἱππέας ἐπ' αὐτοὺς κατὰ — στήσωμεν, — ἰσχὺν ἡμῖν αὐτοῖς προσθησόμεθα.

§. 21. διαβάντα εἰς τὴν Ἀσ.] V. ad III, 2, 11.

τά τ' ἄλλα ἐπετύγχανε] V. ad IV, 5, 19.

χρημάτων πολλῶν] genitivus pretii.

22 τεῦθεν εἶχε μισθοδοτεῖν. Ἦν δὲ οὗτος ἀνὴρ εὔχαρίς
τε οὐχ ἧττον τοῦ Θίβρωνος μᾶλλόν τε συντεταγμένος
καὶ ἐγχειρητικώτερος στρατηγός. Οὐδὲ γὰρ ἐκράτουν
αὐτοῦ αἱ τοῦ σώματος ἡδοναί, ἀλλ' ἀεί, πρὸς ᾧ εἴη
ἔργῳ, τοῦτο ἔπραττεν. Ὁ δ' Ἔκδικος ἐπεὶ εἰς τὴν Κνί-
δον ἔπλευσε καὶ ἐπύθετο τὸν ἐν τῇ Ῥόδῳ δῆμον πάντα
κατέχοντα καὶ κρατοῦντα καὶ κατὰ γῆν καὶ κατὰ θάλατ-
ταν [διέπλεον] διπλασίαις τριήρεσιν ἢ αὐτὸς εἶχεν, ἡσυ-
23 χίαν ἦγεν ἐν τῇ Κνίδῳ. Οἱ δ' αὖ Λακεδαιμόνιοι ἐπεὶ
h. a. 390. ᾔσθοντο αὐτὸν ἐλάττω ἔχοντα δύναμιν ἢ ὥστε τοὺς
φίλους ὠφελεῖν, ἐκέλευσαν τὸν Τελευτίαν σὺν ταῖς
δώδεκα ναυσὶν αἷς εἶχεν ἐν τῷ περὶ Ἀχαΐαν καὶ Λέχαιον
κόλπῳ περιπλεῖν πρὸς τὸν Ἔκδικον κἀκεῖνον μὲν ἀπο-
πέμψαι, αὐτὸν δὲ τῶν τε βουλομένων φίλων εἶναι ἐπι-
μελεῖσθαι καὶ τοὺς πολεμίους ὅτι δύναιτο κακὸν ποιεῖν.
24 Ὁ δὲ Τελευτίας ἐπειδὴ ἀφίκετο εἰς τὴν Σάμον, προς-
λαβὼν ἐκεῖθεν ναῦς ἔπλευσεν εἰς Κνίδον, ὁ δὲ Ἔκδικος
οἴκαδε. Ὁ δὲ Τελευτίας ἔπλει εἰς τὴν Ῥόδον ἤδη ἔχων
ναῦς ἑπτὰ καὶ εἴκοσι· πλέων δὲ περιτυγχάνει Φιλοκρά-
τει τῷ Ἐφιάλτου πλέοντι μετὰ δέκα τριήρων Ἀθήνηθεν
εἰς Κύπρον ἐπὶ συμμαχίᾳ τῇ Εὐαγόρου καὶ λαμβάνει
πάσας, ὑπεναντιώτατα δὴ ταῦτα ἀμφότεροι ἑαυτοῖς

§. 22. ἀνὴρ Dind., ἀνὴρ B. C. D. E., ὁ ἀνὴρ ceteri. — Priscian. XVIII. 23, 182. vol. II. p. 159. ed. Krehl. μᾶλλον δὲ συντ. — εἴη B. D. E. Schneid. Dind. pro ᾔει. — διέπλεον B. D. I. V. Dind., καὶ δὴ ἔπλεον Mor. edd. sqq., καὶ διέπλεον ceteri. — F. V. ἦγεν pro εἶχεν.

§. 23. ἔχοντα δύν. B. D. V. Dind. pro δύν. ἔχοντα. — ἐπειδὴ B. D. I. Dind. pro ἐπεί. — B. D. marg. Leoncl. εἰς Κνίδον οἴκαδε. αὐτὸς δ' ἔπλει, idem V. sed ἔπλευσεν pro ἔπλει; E. εἰς Κνίδον· ὁ δὲ Ἔκδικος οἴκαδε, αὐτὸς δὲ ὁ Τελευτίας ἔπλει; L. εἰς Κνίδον οἴκαδε, αὐτὸς δὲ ἔπλει.

§. 24. συμ. pro ξυμ. bis B. D. Dind. — τῇ Εὐαγόρου B. Dind., ceteri τοῦ Εὐαγόρου.

§. 22. ἐγχειρητικώτερος] ἅπαξ λεγόμενον. Priscian. l. c. addit ἀρετῆς.

διέπλεον] Dindorfius fortasse πλέον ἢ scribendum esse dicit. Per dittographiam potius ex insequenti verbo ortum ac delendum videtur διέπλεον. Ceterum haec paullo aliter narrat Diod. XIV, 97: οὗτοι δὲ πρῶτον εἰς Σάμον κομισθέντες ἀπέστησαν τὴν πόλιν Ἀθηναίων· ἔπειτα καταπλεύσαντες εἰς Ῥόδον κ. τ. λ.

§. 23. κἀκεῖνον] modo dictum Ecdicum. V. de ἐκεῖνος ad Comment. I, 3, 13. IV, 3, 10.

ἔπλευσεν εἰς Κνίδον] Diodor. l. d. οὗτοι μὲν οὖν εἴς τε Σάμον καὶ Κνίδον καὶ Ῥόδον κατέπλευσαν, καὶ πανταχόθεν ναῦς τε καὶ τοὺς ἀρίστους κατέγραφον καὶ ἐπιβάτας ἐξήρτυον πολυτελῶς τριήρεις εἴκοσιν ἑπτά.

§. 24. Εὐαγόρου] V. II, 1, 29. ἀμφότεροι — πράττοντες]

*πράττοντες· οἵ τε γὰρ Ἀθηναῖοι φίλῳ χρώμενοι βασιλεῖ συμμαχίαν ἔπεμπον Εὐαγόρᾳ τῷ πολεμοῦντι πρὸς βασιλέα, ὅ τε Τελευτίας Λακεδαιμονίων πολεμούντων βασιλεῖ τοὺς πλέοντας ἐπὶ τῷ ἐκείνου πολέμῳ διέφθειρεν. Ἐπαναπλεύσας δ' εἰς Κνίδον καὶ διαθέμενος ἃ ἔλαβεν εἰς Ῥόδον αὖ ἀφικόμενος ἐβοήθει τοῖς τὰ αὐτῶν φρονοῦσιν.*

25 *Οἱ δ' Ἀθηναῖοι νομίσαντες τοὺς Λακεδαιμονίους πάλιν δύναμιν κατασκευάζεσθαι ἐν τῇ θαλάττῃ ἀντεκπέμπουσι Θρασύβουλον τὸν Στειριέα σὺν τετταράκοντα ναυσίν. Ὁ δ' ἐκπλεύσας τῆς μὲν εἰς Ῥόδον βοηθείας ἐπέσχε, νομίζων οὔτ' ἂν αὐτὸς ῥαδίως τιμωρήσασθαι τοὺς φίλους τῶν Λακεδαιμονίων τεῖχος ἔχοντας καὶ Τελευτίου σὺν ναυσὶ παρόντος συμμάχου αὐτοῖς, οὔτ' ἂν τοὺς σφετέρους φίλους ὑπὸ τοῖς πολεμίοις γενέσθαι, τάς τε πόλεις ἔχοντας καὶ πολὺ πλείονας ὄντας καὶ μάχῃ κεκρατηκότας·*
26 *εἰς δὲ τὸν Ἑλλήσποντον πλεύσας καὶ οὐδενὸς ἀντιπάλου παρόντος ἐνόμισε καταπρᾶξαι ἄν τι τῇ πόλει ἀγαθόν. Καὶ οὕτω δὴ πρῶτον μὲν*

§. 25. *κατασκευάζεσθαι* B. C. D. E. F. I. marg. Leoncl. Dind. pro *κεκτῆσθαι*. — *Στειριέα* B. C. D. E. F. V. Mor. edd. sqq. pro *Στυρέα*. — *ἐπέσχε* B. C. D. E. F. I. Dind.. Port. marg. Leoncl. *ἀπέσχετο*, ceteri *ἀπέσχε*. — B. *τιμωρήσεσθαι*. — Post *συμμάχου* B. D. F. V. Dind. om. *ὄντος*. — Ante *κεκρατηκότας* B. D. V. Dind. om. *γε*.

§. 26. *πρῶτον μὲν καταμ.* B. D. V. Dind. pro *καταμ. πρ. μὲν*. —

dictum est, quasi antecessisset: *Φιλοκράτης — ἔπλει — εἰς Κύπρον — καὶ Τελευτίας — περιτυγχάνων αὐτῷ λαμβάνει πάσας*. Cf. Hom. Il. III, 211: *ἄμφω δ' ἑζομένω, γεραρώτερος ἦεν Ὀδυσσεύς*. Thucyd. VII, 70: *ἦρχον — Σικανὸς μὲν καὶ Ἀγάθαρχος, κέρας ἑκάτερος τοῦ παντὸς ἔχων*. Pertinet autem haec structura ad illud genus, de quo dicendum erit §. 29. ad *ἀπήντων*.

*συμμαχίαν*] copias auxiliares, ut VI, 1, 13. V. ad V, 2, 9.

*ἐκείνου*] genitivus obiectivus. V. ad III, 2, 22.

*αὑτῶν*] Lacedaemoniorum. De plurali cf. V, 1, 28. 2, 39. VI, 5, 18. VII, 1, 17. 41. 5, 5.

§. 25. *νομίσαντες*] Paullo post *νομίζων*. V. ad III, 4, 12.

*δύναμιν*] quae pugna Cnidia a. 394 prorsus deleta erat.

*Στειριέα*] De hac forma v. ad III, 5, 6. *Στειρία* fuit *δῆμος* Atticae, unde oriundus erat Thrasybulus.

*βοηθείας ἐπέσχε*] Sic Cyrop. IV, 2, 12: *ὅπου ἂν — ἐπίσχωσι τῆς πορείας*.

*τεῖχος*] Schneiderus Rhodiorum acropolin intelligit. Cf. Diodor. XIV, 99. extr.

*τοὺς σφετέρους*] Atheniensium, ut antea *αὑτῶν*.

καταμαθὼν στασιάζοντας Μήδοκόν τε τὸν Ὀδρυσῶν
βασιλέα καὶ Σεύθην τὸν ἐπὶ θαλάττῃ ἄρχοντα ἀλλή-
λοις μὲν διήλλαξεν αὐτούς, Ἀθηναίοις δὲ φίλους καὶ
συμμάχους ἐποίησε, νομίζων καὶ τὰς ὑπὸ τῇ Θρᾴκῃ
οἰκούσας Ἑλληνίδας πόλεις φίλων ὄντων τούτων μᾶλ-
27 λον προςέχειν ἂν τοῖς Ἀθηναίοις τὸν νοῦν. Ἐχόντων δὲ
τούτων τε καλῶς καὶ τῶν ἐν τῇ Ἀσίᾳ πόλεων διὰ τὸ
βασιλέα φίλον τοῖς Ἀθηναίοις εἶναι, πλεύσας εἰς Βυ-
ζάντιον ἀπέδοτο τὴν δεκάτην τῶν ἐκ τοῦ Πόντου πλε-
όντων. Μετέστησε δὲ ἐξ ὀλιγαρχίας εἰς τὸ δημοκρα-
τεῖσθαι τοὺς Βυζαντίους· ὥςτε οὐκ ἀχθεινῶς ἑώρα ὁ
τῶν Βυζαντίων δῆμος Ἀθηναίους ὅ τι πλείστους πα-
28 ρόντας ἐν τῇ πόλει. Ταῦτα δὲ πράξας καὶ Καλχηδο-
νίους φίλους προςποιησάμενος ἀπέπλει ἔξω τοῦ Ἑλ-
λης πόντου. Ἐπιτυχὼν δ' ἐν τῇ Λέσβῳ ταῖς πόλεσι
πάσαις πλὴν Μυτιληναίων λακωνιζούσαις, ἐπ' οὐδε-
μίαν αὐτῶν ᾔει, πρὶν ἐν Μυτιλήνῃ συντάξας τούς τε
ἀπὸ τῶν ἑαυτοῦ νεῶν τετρακοσίους ὁπλίτας καὶ τοὺς
ἐκ τῶν πόλεων φυγάδας, ὅσοι εἰς Μυτιλήνην καταπε-
φεύγεσαν, καὶ αὐτῶν δὲ Μυτιληναίων τοὺς ἐῤῥωμενε-
στάτους προςλαβών, καὶ ἐλπίδας ὑποθεὶς τοῖς μὲν Μυ-
τιληναίοις, ὡς, ἐὰν λάβῃ τὰς πόλεις, προστάται πάσης
Λέσβου ἔσονται, τοῖς δὲ φυγάσιν, ὡς, ἐὰν ὁμοῦ ὄντες

B. C. Ἀμήδοκον. — V. ἐπὶ τῇ pro ὑπὸ τῇ. — Ἑλληνίδας πόλεις B., ceteri πόλεις Ἑλλ.

§. 27. B. C. D. I. V. δεκάδα pro δεκάτην. — B. μετέστησαν δὲ ἐξ.

§. 28. V. συντάξαι pro συντάξας. — τῶν ἑαυτοῦ B. D. V. Dind. pro τῶν αὐτοῦ. — ὁπλίτας addunt B. D. F. I. V. Schneid. Dind. — εἰς Μυτιλ. B. C. D. E. F. Dind. pro εἰς τὴν Μυτιλ. — Dind. κατεπεφεύγεσαν. — Ante Λέσβου B. C. D. E. F. I. V. om. τῆς. — A. V. edd. vett. om. ὡς post φυγάσιν. — Marg. Leoncl. ταῦτα δή.

§. 26. *Μήδοκον*] De hoc eiusque nomine v. Kuehner. ad Anab. VII, 2, 32. de Odrysis supra ad III, 2, 2.

*ὑπὸ τῇ Θρᾴκῃ*] sub potestate regum Thraciorum. Nam οἰκούσας est: res publicas suas administrantes, ut recte vertit Leonclavius. Cf. supra §. 5.

§. 27. *ἐξ ὀλιγαρχίας*] quam Lysander instituerat. V. II, 2, 1.

§. 28. *ἀπέπλει ἔξω τοῦ Ἑλλησπόντου*] V. ad I, 5, 11.

*ἐπ' οὐδεμίαν αὐτῶν ᾔει, πρὶν*] In mente habebat Xenophon post διαπεπραγμένοι ἔσονται sententiam absolvere ita fere: πάντα παρεσκευάσατο ὡς ἐπιστρατεύσων ἐπὶ τὰς πόλεις. Sed his vel talibus omissis ante dicta denuo verbis ταῦτα δὲ παραμυθησάμενος καὶ συντάξας complexus statim pergit ad id, quod, praeparatis illis, fecit Thrasybulus, et quae facienda supra verbis ἐπ' οὐδεμίαν — ᾔει iam indicaverat.

ἐπὶ μίαν ἑκάστην τῶν πόλεων ἴωσιν, ἱκανοὶ ἔσονται ἅπαντες εἰς τὰς πατρίδας ἀνασωθῆναι, τοῖς δ' αὖ ἐπιβάταις, ὡς φίλην Λέσβον προςποιήσαντες τῇ πόλει πολλὴν εὐπορίαν χρημάτων διαπεπραγμένοι ἔσονται, ταῦτα δὲ παραμυθησάμενος καὶ συντάξας ἦγεν αὐτοὺς
ἐπὶ Μήθυμναν. Θηρίμαχος μέντοι, ὃς ἁρμοστὴς ἐτύγ- 29
χανεν ὢν τῶν Λακεδαιμονίων, ὡς ἤκουσε τὸν Θρασύβουλον προσιέναι, τούς τ' ἀπὸ τῶν αὑτοῦ νεῶν λαβὼν ἐπιβάτας καὶ αὐτοὺς τοὺς Μηθυμναίους καὶ ὅσοι Μυτιληναίων φυγάδες ἐτύγχανον αὐτόθι, ἀπήντων ἐπὶ τὰ ὅρια. Μάχης δὲ γενομένης, ὁ μὲν Θηρίμαχος αὐτοῦ ἀποθνήσκει, τῶν δ' ἄλλων φευγόντων πολλοὶ ἀπέθα-
νον. Ἐκ δὲ τούτου τὰς μὲν προςηγάγετο τῶν πόλεων, 30
ἐκ δὲ τῶν οὐ προςχωρουσῶν λεηλατῶν χρήματα τοῖς A.Ch.a.3
στρατιώταις ἔσπευσεν εἰς τὴν Ῥόδον ἀφικέσθαι. Ὅπως δ' ἂν καὶ ἐκεῖ ὡς ἐῤῥωμενέστατον τὸ στράτευμα ποιήσαιτο, ἐξ ἄλλων τε πόλεων ἠργυρολόγει καὶ εἰς Ἄσπενδον ἀφικόμενος ὡρμίσατο εἰς τὸν Εὐρυμέδοντα ποταμόν. Ἤδη δ' ἔχοντος αὐτοῦ χρήματα παρὰ τῶν Ἀσπενδίων, ἀδικησάντων τι ἐκ τῶν ἀγρῶν τῶν στρατιωτῶν, ὀργισθέντες οἱ Ἀσπένδιοι τῆς νυκτὸς ἐπιπεσόντες κατακόπτουσιν ἐν τῇ σκηνῇ αὐτόν.

§. 29. *προςιέναι* B. C. D. E. F. I. Dind. pro *προσιόντα*. — *ἀπήντων* B. D. E. F. I., ceteri *ἀπήντα*.

§. 30. Post *στρατιώτας* om. *παρέχων* B. C. D. F. et pr. m. E. Dind. — *ἔσπευσεν* B. D. E. F. I. V. Dind. pro *ἔσπευδεν*. — Post *ἐκεῖ* om. *ὡς* A. Ald. et edd. omnes ante Dind. — *πόλεων* Dind., ceteri *πολλῶν*.

*ἀνασωθῆναι*] Cobetus *ἀποσωθῆναι*. Ita legitur sane I, 3, 22. III, 1, 2. VI, 2, 26. VII, 2, 19. Anab. II, 3, 18. Alio sensu est *ἀνασώσασθαι* infra VII, 5, 16. Sed Lys. pro Polystr. 24: *ἀνεσώθην εἰς Κατάνην* eodem sensu dicit.

*τῇ πόλει*] Athenis.

*ταῦτα δέ*] De particula *δέ* v. ad II, 4, 13.

§. 29. *ἀπήντων*] Hoc recte commendavit Hertlinius cl. I, 1, 10, ubi v. adn. meam et Lucian. Dial. De. XII, 1: *ἡ Ῥέα παραλαβοῦσα καὶ τοὺς Κορύβαντας ἄνω καὶ κάτω τὴν Ἴδην περιπολοῦσιν*. Refertur enim interdum verbi numerus pluralis ad unum subiectum, quod cum aliis nominibus per praepositionem vel per particulam copulativam vel etiam per participium coniunctum est. Rost. gr. mai. §. 131. adn. 2.

§. 30. *ἀδικησάντων*] Eandem vim habet hoc verbum III, 2, 6. V, 2, 38: per iniuriam abigere. Ita iungi potest cum *ἐκ*, ut V, 1, 1. est *λῄζεσθαι — ἐκ τῆς Ἀττικῆς*.

*κατακόπτουσιν — αὐτόν*]

31 Καὶ Θρασύβουλος μὲν δὴ μάλα δοκῶν ἀνὴρ ἀγαθὸς εἶναι οὕτως ἐτελεύτησεν. Οἱ μέντοι Ἀθηναῖοι ἑλόμενοι ἀντ' αὐτοῦ Ἀγύῤῥιον ἐπὶ τὰς ναῦς ἐξέπεμψαν. Αἰσθόμενοι δ' οἱ Λακεδαιμόνιοι, ὅτι ἡ δεκάτη τε τῶν ἐκ τοῦ Πόντου πεπραμένη εἴη ἐν Βυζαντίῳ ὑπ' Ἀθηναίων καὶ Καλχηδόνα ἔχουσι καὶ αἱ ἄλλαι Ἑλληςπόντιαι πόλεις φίλου ὄντος αὐτοῖς Φαρναβάζου εὖ ἔχοιεν,
32 ἔγνωσαν ἐπιμελητέον εἶναι. Τῷ μὲν οὖν Δερκυλίδᾳ οὐδὲν ἐμέμφοντο· Ἀναξίβιος μέντοι, φίλων αὐτῷ γενομένων τῶν ἐφόρων, διεπράξατο, ὥςτε αὐτὸς ἐκπλεῦσαι ἁρμοστὴς εἰς Ἄβυδον. Εἰ δὲ λάβοι ἀφορμὴν καὶ ναῦς, καὶ πολεμήσειν ὑπισχνεῖτο τοῖς Ἀθηναίοις, ὥςτε μὴ ἔχειν ἐκείνοις καλῶς τὰ ἐν Ἑλληςπόντῳ. Οἱ μὲν δὴ δόντες καὶ τρεῖς τριήρεις καὶ ἀφορμὴν εἰς ξένους χι-
33 λίους ἐξέπεμψαν τὸν Ἀναξίβιον. Ὁ δὲ ἐπειδὴ ἀφίκετο, κατὰ γῆν μὲν ἀθροίσας ξενικὸν τῶν τ' Αἰολίδων πόλεων παρεσπᾶτό τινας τοῦ Φαρναβάζου καὶ ἐπιστρατευσάσαις ταῖς πόλεσιν ἐπὶ τὴν Ἄβυδον ἀντεπεστράτευε καὶ ἐπεπορεύετο καὶ ἐδῄου τὴν χώραν αὐτῶν· καὶ ναῦς δὲ πρὸς αἷς εἶχε συμπληρώσας ἐξ Ἀβύδου τρεῖς ἄλλας κατῆγεν εἴ τί που λαμβάνοι Ἀθηναίων πλοῖον ἢ

§. 31. *μὲν δὴ* B. D. E. F. V. Schneid. Dind. pro *μέντοι*. — *Ἀγύῤῥιον* Wessel. ad Diodor. XIV, 99. Mor. Dind. pro *Ἀγύριον*. — *Καλχηδόνα* Dind. pro *Χαλκηδόνα*.

§. 32. *Δερκυλίδᾳ* Dind. pro *Δερκυλλ.*

§. 33. F. *διδόντες* pro *δόντες*. — *ἐπιστρατευσάσαις* Schneid. Dind., *ἐπιστρατοπεδευούσαις* Mor., *ἐπιστρατοπεδεύσας* ceteri. — *ἐπεπορεύετο*, suadentibus Weisk. et Schneid., dedit Dind. pro *ἐπορεύετο*. — Ante *Ἀθηναίων* B. D. E. F. I. V. Schneid. edd. sqq. om. *ἀπ'*.

Corn. Nep. Thras. IV, extr.: Hic sequenti tempore quum praetor classem ad Ciliciam appulisset neque satis diligenter in castris eius agerentur vigiliae, a barbaris ex oppido noctu eruptione facta, in tabernaculo interfectus est.

§. 31. *Ἀγύῤῥιον*] Cf. Diodor. XIV, 99.

*πεπραμένη εἴη*] V. §. 27.

*καὶ — ἔχουσι*] *Ἀθηναίοις*: et iis, qui Chalcedonem tenerent, reliquas quoque Hellesponti urbes in commodo statu esse.

§. 32. *Δερκυλίδᾳ*] V. §. 3. Nihil peccaverat in rebus Lacedaemoniorum in Hellesponto tuendis.

*Ἀναξίβιος*] classi praefectus fuerat Byzantii Anab. V, 1, 4. VII, 1, 2.

§. 33. *κατῆγεν εἴ τί που — πλοῖον*] Delevi comma ante *εἴ τί*: subduxit si quid, i. e. quodcunque navigium caperet. *κατάγειν* est e mari ad terram

τῶν ἐκείνων συμμάχων. Αἰσθόμενοι δὲ ταῦτα οἱ Ἀθη- 34
ναῖοι καὶ δεδιότες, μὴ διαφθαρείη σφίσιν ἃ κατεσκεύ-
ασεν ἐν τῷ Ἑλλησπόντῳ Θρασύβουλος, ἀντεκπέμπου-
σιν Ἰφικράτην ναῦς ὀκτὼ ἔχοντα καὶ πελταστὰς εἰς δια-
κοσίους καὶ χιλίους. Οἱ πλεῖστοι δὲ αὐτῶν ἦσαν ὧν ἐν
Κορίνθῳ ἦρξεν. Ἐπεὶ γὰρ οἱ Ἀργεῖοι τὴν Κόρινθον
Ἄργος ἐπεποίηντο, οὐδὲν ἔφασαν αὐτῶν δεῖσθαι· καὶ
γὰρ ἀπεκτόνει τινὰς τῶν ἀργολιζόντων· καὶ οὕτως ἀπελ-
θὼν Ἀθήναζε οἴκοι ἔτυχεν ὤν. Ἐπεὶ δὲ ἀφίκετο εἰς 35
Χεῤῥόνησον, τὸ μὲν πρῶτον Ἀναξίβιος καὶ Ἰφικράτης A.Ch. a.
λῃστὰς διαπέμποντες ἐπολέμουν ἀλλήλοις· προϊόντος
δὲ τοῦ χρόνου ὁ Ἰφικράτης αἰσθόμενος καὶ Ἀναξίβιον
οἰχόμενον εἰς Ἄντανδρον σύν τε τοῖς μισθοφόροις καὶ
τοῖς περὶ αὐτὸν Λακωνικοῖς καὶ σὺν Ἀβυδηνοῖς διακο-
σίοις ὁπλίταις, καὶ ἀκούσας, ὅτι τὴν Ἄντανδρον φιλίαν
προςειληφὼς εἴη, ὑπονοῶν, ὅτι καταστήσας αὖ τὴν
ἐκεῖ φρουρὰν ἀποπορεύσοιτο πάλιν καὶ ἀπάξοι τοὺς
Ἀβυδηνοὺς οἴκαδε, διαβὰς τῆς νυκτὸς ᾗ ἐρημότατον ἦν
τῆς Ἀβυδηνῆς καὶ ἐπανελθὼν εἰς τὰ ὄρη ἐνέδραν ἐποι-
ήσατο. Τὰς δὲ τριήρεις, αἳ διήγαγον αὐτόν, ἐκέλευε
παραπλεῖν ἅμα τῇ ἡμέρᾳ παρὰ τὴν Χεῤῥόνησον τὴν
ἄνω, ὅπως δοκοίη, ὥςπερ εἰώθει, ἐπ' ἀργυρολογίαν

§. 34. *οἱ πλεῖστοι δὲ* B., ceteri *οἱ δὲ πλ.* — *ἀργολιζόντων* D. Steph. edd. sqq., ceteri *ἀργολογιζόντων.* — *ἀπελθὼν* Steph. edd. sqq. pro *ἀπελθόντων.* — *ἔτυχεν* B. C. D. E. F. I. Dind. pro *ἐτύγχανεν.*

§. 35. Ante *Ἰφικρ.* om. *ὁ* Dind. — Cum B. omisi *σὺν* ante *τοῖς περὶ.* — *τῆς Ἀβυδηνῆς* B. D. F. et C. m. sec. Port. Leoncl. Schneid. edd. sqq. pro *τοῖς Ἀβυδηνοῖς.* — *τῇ ἡμέρᾳ* addunt B. D. I. V. Steph. Leoncl. Wells. Schneid. edd. sqq. — *τὴν ἄνω* Brod. Leoncl. Mor. edd. sqq. pro *τῆς ἄνω*; F. *τοῖς ἄνω.*

subducere, ut V, 1, 28. Anab. V, 1, 11. 12.

*ἐκείνων*] genitivus pendet a sequenti genitivo.

§. 34. *Ἰφικράτην*] V. IV, 5, 19: *ἐκ τούτου δὲ μάλα καὶ τἆλλα ἐπετύγχανεν Ἰφικράτης* Cf. Diodor. XIV, 92.

*τὴν Κόρινθον Ἄργος ἐπεποίηντο*] V. ad IV, 4, 6. V, 1, 36.

§. 35. *καὶ τοῖς περὶ αὐτόν*] Obsecutus sum optimo libro B. quanquam alterum *σύν* per se minime vitiosum est. V. II, 4, 10: *σύν τε τοῖς Λακωνικοῖς καὶ σὺν τοῖς ἱππεῦσι.* Cf. ad III, 5, 5.

*αὖ — πάλιν*] iungenda sunt ut V, 1, 5. VII, 4, 1; saepius iuxta ponuntur et quidem inverso ordine: *πάλιν αὖ.* Cf. V, 4, 46. Kuehner. ad Comment. IV, 3, 8.

*ᾗ ἐρημότατον ἦν τῆς Ἀβυδηνῆς*] ea parte agri Abydenorum, quae imprimis erat deserta. Non prorsus simile est Herod. IX, 10: *ὄπισθε τοῦ τείχεος καταβάντες τῇ ἦν ἐρημότατον τῶν πολεμίων.*

*τὴν ἄνω*] *ὁδόν.* Cf. §. 36: *τὴν ἐπὶ Προικοννήσου.*

36 ἐπαναπεπλευκέναι. Ταῦτα δὲ ποιήσας οὐκ ἐψεύσθη, ἀλλ' ὁ Ἀναξίβιος ἀπεπορεύετο, ὡς μὲν ἐλέγετο, οὐδὲ τῶν ἱερῶν γεγενημένων αὐτῷ ἐκείνῃ τῇ ἡμέρᾳ, ἀλλὰ καταφρονήσας, ὅτι διὰ φιλίας τε ἐπορεύετο καὶ εἰς πόλιν φιλίαν καὶ ὅτι ἤκουε τῶν ἀπαντώντων τὸν Ἰφικράτην ἀναπεπλευκέναι τὴν ἐπὶ Προικοννήσου, ἀμελέστε-
37 ρον ἐπορεύετο. Ὅμως δὲ ὁ Ἰφικράτης, ἕως μὲν ἐν τῷ ἰσοπέδῳ τὸ στράτευμα τοῦ Ἀναξιβίου ἦν, οὐκ ἐξανίστατο· ἐπειδὴ δὲ οἱ μὲν Ἀβυδηνοὶ ἀφηγούμενοι ἤδη ἐν τῷ παρὰ Κρεμαστὴν ἦσαν πεδίῳ, ἔνθα ἐστὶ τὰ χρύσεια αὐτοῖς, τὸ δ' ἄλλο στράτευμα ἑπόμενον ἐν τῷ κατάντει ἦν, ὁ δὲ Ἀναξίβιος ἄρτι κατέβαινε σὺν τοῖς Λακωνικοῖς, ἐν τούτῳ ὁ Ἰφικράτης ἐξανίστησι τὴν ἐνέδραν καὶ δρό-
38 μῳ ἐφέρετο πρὸς αὐτόν. Καὶ ὁ Ἀναξίβιος γνοὺς μὴ εἶναι ἐλπίδα σωτηρίας, ὁρῶν ἐπὶ πολύ τε καὶ στενὸν ἐκτεταμένον τὸ ἑαυτοῦ στράτευμα καὶ νομίζων πρὸς τὸ ἄναντες οὐκ ἂν δύνασθαι σαφῶς βοηθῆσαι ἑαυτῷ τοὺς προεληλυθότας, ὁρῶν δὲ καὶ ἐκπεπληγμένους ἅπαντας, ὡς εἶδον τὴν ἐνέδραν, εἶπε πρὸς τοὺς παρόντας, Ἄνδρες, ἐμοὶ μὲν ἐνθάδε καλὸν ἀποθανεῖν· ὑμεῖς δὲ πρὶν συμμῖξαι τοῖς πολεμίοις σπεύδετε εἰς τὴν σωτηρίαν.
39 Καὶ ταῦτ' ἔλεγε καὶ παρὰ τοῦ ὑπασπιστοῦ λαβὼν τὴν ἀσπίδα ἐν χώρᾳ αὐτοῦ μαχόμενος ἀποθνήσκει. Καὶ τὰ

§. 36. αὐτῷ addunt B. D. V. marg. Leoncl. Schneid. Dind. — B. D. I. V. τῆς ἐπὶ, F. τοῖς ἐπὶ pro τὴν ἐπὶ. — Προικοννήσου B. D. C. F. Schneid. Dind. pro Προικόννησον.
§. 37. ἐπειδὴ δὲ B. D. I. V. Dind. pro ἐπεὶ δὲ. — ἑπόμενον addunt B. C. D. E. V. marg. Leoncl. Schneid. Dind., ἐσόμενον F. I.
§. 38. ἑαυτῷ B. D. E. F. I. V. Dind. pro αὐτῷ. — προεληλυθότας B. D. V. Dind. pro παρελ. — ἐνθάδε καλὸν B. C. D. E. F. V. Dind. pro καλὸν ἐνθ.

§. 36. τῶν ἱερῶν γεγενημένων] V. ad III, 1, 17.
τὴν ἐπὶ Προικοννήσου] Cf. V, 1, 26: ἐδίωκον αὐτὸν τὴν ἐπὶ Προικοννήσου.
§. 37. ἀφηγούμενοι] primum agmen ducentes, ut V, 1, 8. Cyrop. II, 3, 22: πρῶτον ἀφηγοῦνται.
Κρεμαστήν] locum haud procul, ut videtur, situm ab Astyris, ubi, teste Strab. XIV, p. 680, erant auri metalla.

§. 38. σαφῶς] haud dubie, pertinet ad οὐκ ἂν δύνασθαι.
§. 39. ἐν χώρᾳ αὐτοῦ] IV, 2, 20 erat ἐν χώρᾳ ἔπιπτον, IV, 5, 10 ἐτέθνασαν ἐν χώρᾳ, ubi v. adn. H. l. additur αὐτοῦ, ut Anaxibii casus opponatur exitio ceterorum, qui fugientes cadunt. V. ad Cyrop. VII, 1, 23: αὐτοῦ ἐν χώρᾳ. Aliter se habet infra VII, 4, 36: ἐν τῇ Τεγέᾳ αὐτοῦ ἐπικαταμείναντες.
μαχόμενος ἀποθνήσκει]

παιδικὰ μέντοι αὐτῷ παρέμεινε, καὶ τῶν Λακεδαιμονίων δὲ τῶν συνεληλυθότων ἐκ τῶν πόλεων ἁρμοστήρων ὡς δώδεκα μαχόμενοι συναπέθανον· οἱ δ' ἄλλοι φεύγοντες ἔπιπτον. Οἱ δ' ἐδίωκον μέχρι τοῦ ἄστεος. Καὶ τῶν τε ἄλλων ὡς διακόσιοι ἀπέθανον καὶ τῶν Ἀβυδηνῶν ὁπλιτῶν περὶ πεντήκοντα. Ταῦτα δὲ πράξας ὁ Ἰφικράτης ἀνεχώρησε πάλιν εἰς Χεῤῥόνησον.

§. 39. *εἰς Χερρόνησον* B. C. D. F. V. Dind. pro *ἐπὶ τὴν Χερρ.*

Iphicratis strategema descripsit Frontin. II, 5, 42.

*ἁρμοστήρων*] Frustra Stephanus coniecit *ἁρμοστῶν*, quanquam praeter hunc locum illa forma non reperitur apud Xenophontem. V. Sturz. lex. Xen. v. *ἁρμοστήρ* et v. *γνωστήρ*.

---

# LIBER QUINTUS.

## CAPUT I.

### ARGUMENTUM.

Aeginetas Lacedaemoniorum permissu ex Attica praedas agentes oppugnant Athenienses. Horum classem Teleutias Lacedaemonius fugat. Honores Teleutiae a militibus habiti. Successit ei Hierax, et huic Antalcidas, qui Nicolochum mittit Abydum. Interim Eunomus praefectus classis Atheniensium quum ab Aegina noctu profectus Atticam accederet, Gorgopas Lacedaemonius cum decem navibus modico intervallo tacite insecutus eum opprimit et captis quatuor triremibus Aeginam redit. Eodem Chabrias deinde noctu vectus insidias ponit. Re animadversa Gorgopas cum Aeginetis aliisque ei occurrit: sed ipse cum multis Aeginetarum cadit: reliqui diffugiunt. Hinc rursus Teleutias missus magno militum gaudio excipitur. Hic cum duodecim navibus ipsum Piraeum noctu invadere ausus aliquot navibus abreptis Aeginam reversus e praeda militibus et nautis stipendia numeravit. Antalcidam Athenienses in errorem inducti frustra persequuntur. Ipse contra Thrasybulum Collytensem cum octo triremibus capit. Postea navalibus copiis ita est auctus, ut totius maris videretur habere imperium. Iam Athenienses pacis quam belli cupidiores facti. Simul et Lacedaemonii et Argivi de pace cogitare coeperunt. Habebat eo tempore Tiribazus conditiones a rege acceptas, quarum caput erat, ut omnes Graecae civitates et insulae exceptis paucis sui essent iuris. Placebat conditio omnibus praeter Thebanos: quos tamen Agesilaus belli terrore coegit, ut Boeotiis civitatibus *αὐτονομίαν* redderent. Pari modo Corinthios et Argivos communi foederi subiecit.

---

1 *Καὶ τὰ μὲν δὴ περὶ Ἑλλήςποντον Ἀθηναίοις τε καὶ*
h. a. 388. *Λακεδαιμονίοις τοιαῦτα ἦν. Ὧν δὲ πάλιν ὁ Ἐτεόνικος*

Cap. I. §. 1. Ἐτεόνικος] Num idem sit Eteonicus, qui commemoratus est I, 1, 32. 6, 26, non constat. Iam antea eum, ut de bello contra Athenienses suscipiendo cum Aeginetis ageret, fuisse Aeginae, ex voce *πάλιν* colligendum videtur.

ἐν τῇ Αἰγίνῃ, καὶ ἐπιμιξίᾳ χρωμένων τὸν πρόσθεν χρόνον τῶν Αἰγινητῶν πρὸς τοὺς Ἀθηναίους, ἐπεὶ φανερῶς κατὰ θάλατταν ὁ πόλεμος ἐπολεμεῖτο, συνδόξαν καὶ τοῖς ἐφόροις ἐφίησι λῄζεσθαι τὸν βουλόμενον ἐκ τῆς Ἀττικῆς. Οἱ δ' Ἀθηναῖοι πολιορκούμενοι ὑπ' αὐ- 2
τῶν, πέμψαντες εἰς Αἴγιναν καὶ ὁπλίτας καὶ στρατηγὸν αὐτῶν Πάμφιλον ἐπετείχισαν Αἰγινήταις καὶ ἐπολιόρκουν αὐτοὺς καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν δέκα τριήρεσιν. Ὁ μέντοι Τελευτίας τυχὼν ἐπὶ τῶν νήσων ποι ἀφιγμένος κατὰ χρημάτων πόρον, ἀλούσας ταῦτα [περὶ τοῦ ἐπιτειχισμοῦ], ἐβοήθει τοῖς Αἰγινήταις· καὶ τὸ μὲν ναυτικὸν ἀπήλασε, τὸ δ' ἐπιτείχισμα διεφύλαττεν ὁ Πάμφιλος.

Ἐκ δὲ τούτου ἀπὸ Λακεδαιμονίων Ἱέραξ ναύαρχος 3
ἀφικνεῖται. Κἀκεῖνος μὲν παραλαμβάνει τὸ ναυτικόν, ὁ δὲ Τελευτίας μακαριώτατα δὴ ἀπέπλευσεν οἴκαδε. Ἡνίκα γὰρ ἐπὶ θάλατταν κατέβαινεν ἐπ' οἴκου ὁρμώμενος, οὐδεὶς ἐκεῖνον τῶν στρατιωτῶν ὃς οὐκ ἐδεξιώσα-

Cap. I. §. 1. ὁ πολ. ἐπολεμεῖτο B. E. F. V. Dind. pro ἐπολ. ὁ πολ.; D. om. ὁ πόλεμος. — συνδ. B. D. Dind. pro ξυνδ. — Dind. λῄζεσθαι.

§. 2. Αἰγινήταις Wesseling. Mor. edd. sqq., ceteri Αἰγινήτας.

§. 3. ἐκ δὲ τούτου B. C. D. E. V. Dind., ἐκ δὲ τούτων F. I., ceteri ἐν δὲ τούτῳ. — ἀπέπλευσεν B. D. I. V. marg. Leoncl. Schneid. Dind., ἀπέπλευκεν A., ἀπόπλευκεν E., ceteri ἀποπέπλευκεν. — Dind. πολλὰ κἀγαθά.

καὶ — χρωμένων τὸν πρόσθεν χρόνον] quanquam mutua inter se commercia ante hoc tempus (i. e. usque ad hoc tempus) gesserant, nunc tamen, coorto palam maritimo bello, etc. Sic recte hunc locum interpretatur Grotius, qui dicit, tunc demum, quum adsensum ephororum impetrasset, iterum Aeginam se contulisse, ut potestatem Aeginetis daret praedas ex Attica agendi. De participio praesentis cum πρόσθεν vel πρότερον coniuncto, ubi de re usque ad praesens tempus durante sermo est, usurpato v. quae adnotavi ad Cyrop. I, 4, 25. Comment. III, 5, 4. Cf. supra IV, 4, 5. infra V, 4, 29. VII, 4, 6.

συνδόξαν] De accus. absol. v. ad II, 3, 35. III, 2, 19.

τὸν βουλόμενον] pro lubitu quemque.

§. 2. πολιορκούμενοι] V. ad IV, 7, 1.

[περὶ τοῦ ἐπιτειχισμοῦ]] Haec verba merito delenda censet Hertlinius. Sunt eius, qui ταῦτα explicare vellet, quod ne accurate quidem fecit, si quidem hoc pronomen non magis ad ἐπιτείχισαν quam ad ἐπολιόρκουν referendum est.

ναυτικόν] τῶν πολεμίων.

§. 3. οὐδεὶς — ὃς οὐκ] V. ad Cyrop. I, 4, 25: οὐδένα ἔφασαν ὅντιν' οὐ δακρύοντ' ἀποστρέφεσθαι. Infra VI, 2, 34. Buttm.

το, καὶ ὁ μὲν ἐστεφάνωσεν, ὁ δὲ ἐταινίωσεν, οἱ δ' ὑστερήσαντες ὅμως καὶ ἀναγομένου ἔρριπτον εἰς τὴν θάλατταν στεφάνους καὶ εὔχοντο αὐτῷ πολλὰ καὶ ἀγαθά.

4 Γιγνώσκω μὲν οὖν, ὅτι ἐν τούτοις οὔτε δαπάνημα οὔτε κίνδυνον οὔτε μηχάνημα ἀξιόλογον οὐδὲν διηγοῦμαι· ἀλλὰ ναὶ μὰ Δία τόδε ἄξιόν μοι δοκεῖ εἶναι ἀνδρὶ ἐννοεῖν, τί ποτε ποιῶν ὁ Τελευτίας οὕτω διέθηκε τοὺς ἀρχομένους. Τοῦτο γὰρ ἤδη πολλῶν καὶ χρημάτων καὶ κινδύνων ἀξιολογώτατον ἀνδρὸς ἔργον ἐστίν.

5 Ὁ δ' αὖ Ἱέραξ τὰς μὲν ἄλλας ναῦς λαβὼν πάλιν ἔπλει εἰς Ῥόδον, ἐν Αἰγίνῃ δὲ τριήρεις δώδεκα κατέλιπε καὶ Γοργώπαν τὸν αὑτοῦ ἐπιστολέα ἁρμοστήν. Καὶ ἐκ τούτου ἐπολιορκοῦντο μᾶλλον οἱ ἐν τῷ ἐπιτειχίσματι τῶν Ἀθηναίων ἢ οἱ ἐν τῇ πόλει· ὥστε ὑπὸ ψηφίσματος Ἀθηναῖοι πληρώσαντες ναῦς πολλὰς ἀπεκο-

§. 4. A. C. E. F. edd. vett. ἀξιόπιστον pro ἀξιόλογον.

§. 5. Verba τριήρεις usque ad ἐν τῇ Ῥόδῳ §. 6. desunt in B. D. V. — C. αὖ πάλιν.

gr. 148. adn. 8. Rost. §. 100. adn. 4. Kuehn. §. 322. adn. 12.

καὶ ἀναγομένου] De καί v. ad III, 5, 2.

§. 4. τί ποτε] quid tandem. V. ad Comment. I, 1, 1: τίσι ποτὲ λόγοις.

ἤδη] V. ad III, 5, 14.

πολλῶν—ἀξιολογώτατον] Ne malis cum Dindorfio comparativum, v. adn. ad Hier. XI, 7: ἀλλ' ἐγώ σοί φημι — πρὸς ἄλλους προστάτας πόλεων τὸν ἀγῶνα εἶναι, ὧν (scil. πόλεων) ἐὰν σὺ εὐδαιμονεστάτην τὴν πόλιν, ἧς προστατεύεις, παρέχῃς κ. τ. λ. Ut enim illic Hieronis urbs felicissima earum urbium, quae eius imperio non subiectae erant, sic h. l. multis et opibus et periculis, quibus gloria comparari possit, Teleutiae apud milites gratia longissime anteferenda dicitur. Comparatur enim interdum per superlativum res cum aliis rebus, quae, licet non sint eiusdem speciei, ad idem tamen genus pertinent. Numeratur militum erga ducem studium inter eas res, ex quibus laus bellica paritur et maior quidem quam ex opibus et periculis. Cf. etiam ad Oecon. XXI, 7: οἳ (ἄρχοντες) ἂν αὐτῶν ἄριστα τὸ σῶμα τῶν στρατιωτῶν ἔχωσι, h. e. qui robustiore sunt corpore quam ipsi milites. Ceterum quantam duxerit virtutem Xenophon, alios suae voluntati subditos reddere, notum est e Commentariis et Cyropaedia. V. Proleg. ad posteriorem librum p. VIII.

§. 5. αὖ — πάλιν] Nunc rursus Hierax reliquas naves, ut antea IV, 8, 24 Teleutias classem Lacedaemoniorum, Rhodum ducit. De αὖ — πάλιν v. ad IV, 8, 35.

ἐπιστολέα] V. ad I, 1, 23.

ὑπὸ ψηφίσματος] Minus aptum esset ἀπὸ ψηφ., quod Hertlin. in progr. Werthem. 1861. p. 14. postulat, comparans ἀπὸ σημείου (VI, 2, 28), ἀπὸ παραγγέλσεως et sim. Est enim σημεῖον externa, ut ita dicam, causa vel ipsius fere pugnae initium, ὑπὸ ψηφίσματος autem significat: ex decreto

μίσαντο ἐξ Αἰγίνης πέμπτῳ μηνὶ τοὺς ἐκ τοῦ φρουρίου. Τούτων δὲ γενομένων, οἱ Ἀθηναῖοι πάλιν αὖ πράγματα εἶχον ὑπό τε τῶν λῃστῶν καὶ τοῦ Γοργώπα· καὶ ἀντιπληροῦσι ναῦς τρισκαίδεκα καὶ αἱροῦνται Εὔνομον ναύαρχον ἐπ᾽ αὐτάς. Ὄντος δὲ τοῦ Ἱέρακος ἐν τῇ 6
Ῥόδῳ, οἱ Λακεδαιμόνιοι Ἀνταλκίδαν ναύαρχον ἐκπέμπουσι νομίζοντες καὶ Τιριβάζῳ τοῦτο ποιοῦντες μάλιστ᾽ ἂν χαρίζεσθαι. Ὁ δὲ Ἀνταλκίδας ἐπεὶ ἀφίκετο εἰς Αἴγιναν, συμπαραλαβὼν τὰς τοῦ Γοργώπα ναῦς ἔπλευσεν εἰς Ἔφεσον καὶ τὸν μὲν Γοργώπαν πάλιν ἀποπέμπει εἰς Αἴγιναν σὺν ταῖς δώδεκα ναυσίν, ἐπὶ δὲ ταῖς ἄλλαις Νικόλοχον ἐπέστησε τὸν ἐπιστολέα. Καὶ ὁ μὲν Νικόλοχος βοηθῶν Ἀβυδηνοῖς ἔπλει ἐκεῖσε· παρατρεπόμενος δὲ εἰς Τένεδον ἐδῄου τὴν χώραν καὶ χρήματα λαβὼν ἀπέπλευσεν εἰς Ἄβυδον. Οἱ δὲ τῶν Ἀθηναίων 7
στρατηγοὶ ἀθροισθέντες ἀπὸ Σαμοθράκης τε καὶ Θάσου καὶ τῶν κατ᾽ ἐκεῖνα χωρίων ἐβοήθουν τοῖς Τενεδίοις. Ὡς δ᾽ ᾔσθοντο εἰς Ἄβυδον καταπεπλευκότα τὸν Νικόλοχον, ὁρμώμενοι ἐκ Χεῤῥονήσου ἐπολιόρκουν αὐτὸν ἔχοντα ναῦς πέντε καὶ εἴκοσι δύο καὶ τριάκοντα ταῖς μεθ᾽ ἑαυτῶν. Ὁ μέντοι Γοργώπας ἀποπλέων ἐξ Ἐφέσου περιτυγχάνει Εὐνόμῳ· καὶ τότε μὲν κατέφυγεν εἰς Αἴγιναν μικρὸν πρὸ ἡλίου δυσμῶν· ἐκβιβάσας δ᾽

§. 6. C. ἐν Ῥόδῳ. — A. C. E. F. edd. vett. om. τοῦτο. — Ante τὰς τοῦ Γοργ. om. καὶ B. C. D. F. V. Dind. — μὲν post καὶ τὸν addunt B. C. D. F. V. Schneid. Dind. — δώδεκα pro δέκα B. Weisk. edd. sqq.

§. 7. Verba inter Θάσου et ὁ δὲ Γοργώπας (§. 8) desunt in B. D. V. — τῶν κατ᾽ ἐκεῖνα χωρίων, monente Schneid., reposuit Dind. pro τῶν κατ᾽ ἐκεῖνα τὰ χωρία.

populi, qui rei necessitatem intellexisset, factum esse, ut magnus navium instrneretur numerus. Cf. etiam ad II, 2, 23.

τοὺς ἐκ τοῦ] De hac attractione v. ad III, 1, 18.

πάλιν αὖ] V. ad V, 4, 46.

πράγματα εἶχον ὑπὸ — λῃστῶν] V. ad V, 4, 31.

§. 6. Τιριβάζῳ] V. ad IV, 8, 12.

σὺν ταῖς δώδεκα] §. 5 commemoratis.

βοηθῶν Ἀβυδηνοῖς] V. IV, 8, 35. sqq.

παρατρεπόμενος] ab ea scil. via, quam ingressus erat, ut Abydum perveniret.

§. 7. κατ᾽ ἐκεῖνα] in illis regionibus. V. ad III, 4, 27. 5, 17. V, 4, 64. VI, 4, 38.

δύο καὶ τριάκοντα] duabus et triginta suis. De dativo δύο v. Buttm. §. 70. 2. Rost. gr. mai. §. 56. extr. adn. *. Kuehn. §. 99. adn.

8 εὐθὺς ἐδείπνιζε τοὺς στρατιώτας. Ὁ δ' Εὔνομος ὀλί-
γον χρόνον ὑπομείνας ἀπέπλει. Νυκτὸς δ' ἐπιγενομέ-
νης, φῶς ἔχων, ὥςπερ νομίζεται, ἀφηγεῖτο, ὅπως μὴ
πλανῶνται αἱ ἑπόμεναι. Ὁ δὲ Γοργώπας ἐμβιβάσας εὐθὺς
ἐπηκολούθει κατὰ τὸν λαμπτῆρα, ὑπολειπόμενος, ὅπως
μὴ φανερὸς εἴη μηδ' αἴσθησιν παρέχοι, λίθων τε ψόφῳ
τῶν κελευστῶν ἀντὶ φωνῆς χρωμένων καὶ παραγωγῇ
9 τῶν κωπῶν. Ἐπεὶ δὲ ἦσαν αἱ τοῦ Εὐνόμου πρὸς τῇ
γῇ περὶ Ζωστῆρα τῆς Ἀττικῆς, ἐκέλευε τῇ σάλπιγγι
ἐπιπλεῖν. Τῷ δ' Εὐνόμῳ ἐξ ἐνίων μὲν τῶν νεῶν ἄρτι
ἐξέβαινον, οἱ δὲ καὶ ἔτι ὡρμίζοντο, οἱ δὲ καὶ ἔτι κατέ-
πλεον. Ναυμαχίας δὲ πρὸς τὴν σελήνην γενομένης,
τέτταρας τριήρεις λαμβάνει ὁ Γοργώπας καὶ ἀναδησά-
μενος ᾤχετο ἄγων εἰς Αἴγιναν· αἱ δ' ἄλλαι νῆες αἱ τῶν
Ἀθηναίων εἰς τὸν Πειραιᾶ κατέφυγον.
10 Μετὰ δὲ ταῦτα Χαβρίας ἐξέπλει εἰς Κύπρον βοη-
θῶν Εὐαγόρᾳ, πελταστάς τ' ἔχων ὀκτακοσίους καὶ δέκα
τριήρεις. Προςλαβὼν δὲ καὶ Ἀθήνηθεν ἄλλας τε ναῦς
καὶ ὁπλίτας αὐτὸς μὲν τῆς νυκτὸς ἀποβὰς εἰς τὴν Αἴ-
γιναν πορρωτέρω τοῦ Ἡρακλείου ἐν κοίλῳ χωρίῳ ἐνή-
δρευσεν ἔχων τοὺς πελταστάς. Ἅμα δὲ τῇ ἡμέρᾳ, ὥς-

§. 9. E. ἐκέλευσε σάλπιγγι.
§. 10. V. βοηθήσων, D. πρὸς συμμαχίαν pro βοηθῶν, quod om. B. — B. D. V. om. Ἀθήνηθεν et αὐτὸς μὲν τῆς (ubi Dind. δὲ pro μὲν scripsit, deinceps om. πορροτέρω τοῦ et χωρίῳ ἐνήδρευσεν ἔχων et αμα δὲ τῇ ἡμέρᾳ. — B. D. V. om. ἧκον οἱ τῶν Ἀθην., nisi quod B.

§. 8. νομίζεται] mos est.
εὐθὺς ἐπηκολούθει] V. ad IV, 5, 15.
ὑπολειπόμενος] aliquo ex intervallo subsequens.
λίθων — ψόφῳ] lapidum strepitu vocis loco utebantur, si remigatio acceleranda erat aut retardanda. Num eidem consilio serviat ἡ παραγωγὴ τῶν κωπῶν, an his verbis significetur potius lenior quidam, ne strepitus fieret, remorum agitatio, non liquet.
§. 9. Ζωστῆρα] promontorium littoris occidentalis Atticae.
κατέπλεον] Nondum igitur portum assecuti erant.
πρὸς τὴν σελήνην] ad lunam, splendente luna.

§. 10. Χαβρίας ἐξέπλει] non Athenis, ut ex statim sequentibus intelligitur, fortasse Corintho, ubi, teste Diodor. XIV, 92., Iphicrati Chabrias successerat. Corn. Nep. Chabr. II, 2: publice ab Atheniensibus Euagorae adiutor datus, neque prius inde discessit, quam totam insulam (Cyprum) bello devinceret.
Εὐαγόρᾳ] V. IV, 8, 24.
αὐτὸς μέν] In mente habebat scriptor: alium autem classi praefectum reliquit Cypri. V. ad III, 1, 5.
πορρωτέρω τοῦ Ἡρακλείου] ultra fanum Herculis progressus. Idem est postea τοῦ Ἡρακλείου ἐπέκεινα.
ἔνθα — καλεῖται] ubi est

περ συνέκειτο, ἧκον οἱ τῶν Ἀθηναίων ὁπλῖται, Δημαι-
νέτου αὐτῶν ἡγουμένου, καὶ ἀνέβαινον τοῦ Ἡρακλείου
ἐπέκεινα ὡς ἑκκαίδεκα σταδίους, ἔνθα ἡ Τριπυργία
καλεῖται. Ἀκούσας δὲ ταῦτα ὁ Γοργώπας ἐβοήθει μετά 11
τε τῶν Αἰγινητῶν καὶ σὺν τοῖς τῶν νεῶν ἐπιβάταις καὶ
Σπαρτιατῶν οἳ ἔτυχον αὐτόθι παρόντες ὀκτώ. Καὶ
ἀπὸ τῶν πληρωμάτων δὲ τῶν ἐκ τῶν νεῶν ἐκήρυξε
βοηθεῖν ὅσοι ἐλεύθεροι εἶεν· ὥςτ' ἐβοήθουν καὶ τού-
των πολλοί, ὅ τι ἐδύνατο ἕκαστος ὅπλον ἔχων. Ἐπεὶ 12
δὲ παρήλλαξαν οἱ πρῶτοι τὴν ἐνέδραν, ἐξανίστανται οἱ
περὶ τὸν Χαβρίαν καὶ εὐθὺς ἠκόντιζον καὶ ἔβαλλον.
Ἐπήεσαν δὲ καὶ οἱ ἐκ τῶν νεῶν ἀποβεβηκότες ὁπλῖται.
Καὶ οἱ μὲν πρῶτοι, ἅτε οὐδενὸς ἀθρόου ὄντος, ταχὺ
ἀπέθανον, ὧν ἦν Γοργώπας τε καὶ οἱ Λακεδαιμόνιοι·
ἐπεὶ δὲ οὗτοι ἔπεσον, ἐτράπησαν δὴ καὶ οἱ ἄλλοι. Καὶ
ἀπέθανον Αἰγινητῶν μὲν ὡς πεντήκοντα καὶ ἑκατόν,
ξένοι δὲ καὶ μέτοικοι καὶ ναῦται καταδεδραμηκότες οὐκ
ἐλάττους διακοσίων. Ἐκ δὲ τούτου οἱ μὲν Ἀθηναῖοι 13
ὥςπερ ἐν εἰρήνῃ ἔπλεον τὴν θάλατταν· οὐδὲ γὰρ τῷ
Ἐτεονίκῳ ἤθελον οἱ ναῦται καίπερ ἀναγκάζοντι ἐμβάλ-
λειν, ἐπεὶ μισθὸν οὐκ ἐδίδου.

Ἐκ δὲ τούτου οἱ Λακεδαιμόνιοι Τελευτίαν αὖ ἐπὶ

initio lacunae ἧκ exhibet. — Δημαινέτου B. D. E. Dind. pro Δειμενέτου. — B. D. V. om. αὐτῶν ἡγουμένου.

§. 11. Edd. vett. om. ὁ ante Γοργ. — B. om. καὶ ante σὺν.

§. 12. A. edd. vett. ἔβαλον et ἀπήεσαν.

§. 13. B. D. V. om. οἱ ναῦται, et V. addit ὑπακούειν post ἤθελον. — B. D. om. ἐπεὶ μισθὸν et Λακεδαιμόνιοι. — D. οὖν pro αὖ.

quae dicitur. V. adn. ad Oecon. IV, 6: ἔνθα δὴ ὁ σύλλογος καλεῖται, ubi praeter alia comparavi Soph. Oed.R. 1451: ἔνθα κλῄζεται οὑμὸς Κιθαιρών. Stallbaum. ad Plat. Phaedon. p. 107, C: τοῦ χρόνου τούτου μόνου, ἐν ᾧ καλοῦμεν τὸ ζῆν.

§. 11. ἐπιβάταις] militibus classiariis, a quibus distinguuntur τὰ πληρώματα, i. e. nautae. Cf. I, 6, 19. VII, 1, 12.

καὶ Σπαρτιατῶν οἳ — ὀκτώ] i. e. καὶ ὀκτὼ Σπ., οἳ —.

ὅσοι ἐλεύθεροι εἶεν] Erant enim et helotes et mercenarii liberi inter nautas.

§. 12. οἱ περί] V. ad III, 4, 20.

καὶ εὐθὺς — ἔβαλλον] V. ad IV, 5, 15.

ἀθρόου — ὄντος] V. ad IV, 1, 19.

§. 13. ἐμβάλλειν] impellere remos. Hom. Od. X, 129: ἐμβαλέειν κώπης. Schneider. comparat Aristoph. Equ. 603: εἶτα τὰς κώπας λαβόντες — ἐμβαλόντες et Ran. 206: ἐπειδὰν ἐμβάλῃς ἅπαξ.

ἐπὶ ταύτῃ] in tali conditione. Cf. ταύτῃ γε V, 2, 7. Sed orta videntur ex sequentibus, nisi forte mavis deinceps ἐπὶ τὰς ναῦς cum B. D. delere. Ceterum

ταύτῃ ἐκπέμπουσιν ἐπὶ ταύτας τὰς ναῦς ναύαρχον. Ὡς
δὲ εἶδον αὐτὸν ἥκοντα οἱ ναῦται, ὑπερήσθησαν. Ὁ δ᾽
14 αὐτοὺς συγκαλέσας εἶπε τοιάδε. Ὦ ἄνδρες στρατιῶ-
ται, ἐγὼ χρήματα μὲν οὐκ ἔχων ἥκω· ἐὰν μέντοι θεὸς
ἐθέλῃ καὶ ὑμεῖς συμπροθυμῆσθε, πειράσομαι τὰ ἐπι-
τήδεια ὑμῖν ὡς πλεῖστα πορίζειν. Εὖ δ᾽ ἴστε, ἐγὼ
ὅταν ὑμῶν ἄρχω, εὔχομαί τε οὐδὲν ἧττον ζῆν ὑμᾶς ἢ
καὶ ἐμαυτόν, τά τ᾽ ἐπιτήδεια θαυμάσαιτε μὲν ἂν ἴσως,
εἰ φαίην βούλεσθαι ὑμᾶς μᾶλλον ἢ ἐμὲ ἔχειν· ἐγὼ δὲ νὴ
τοὺς θεοὺς καὶ δεξαίμην ἂν αὐτὸς μᾶλλον δύο ἡμέρας
ἄσιτος ἢ ὑμᾶς μίαν γενέσθαι· ἥ γε μὴν θύρα ἡ ἐμὴ
ἀνέῳκτο μὲν δήπου καὶ πρόσθεν εἰσιέναι τῷ δεομένῳ
15 τι ἐμοῦ, ἀνεῴξεται δὲ καὶ νῦν. Ὥστε ὅταν ὑμεῖς πλήρη
ἔχητε τὰ ἐπιτήδεια, τότε καὶ ἐμὲ ὄψεσθε ἀφθονώτερον
διαιτώμενον· ἢν δὲ ἀνεχόμενόν με ὁρᾶτε καὶ ψύχη καὶ
θάλπη καὶ ἀγρυπνίαν, οἴεσθε καὶ ὑμεῖς ταῦτα πάντα
καρτερεῖν. Οὐδὲν γὰρ ἐγὼ τούτων κελεύω ὑμᾶς ποιεῖν,
ἵνα ἀνιᾶσθε, ἀλλ᾽ ἵνα ἐκ τούτων ἀγαθόν τι λαμβάνητε.
16 Καὶ ἡ πόλις δέ τοι, ἔφη, ὦ ἄνδρες στρατιῶται, ἡ ἡμε-

— B. om. ἐκπέμπουσι. — B. D. om. ἐπὶ ταύτας τὰς ναῦς. — Haec omnia scriptor cod. V. vel mutat vel supplet sic: ἐκ δὲ τούτου οἱ μὲν Λακεδαιμόνιοι εἰδότες καὶ πρότερον ὄντα ἄριστον Τελευτίαν καὶ αὖ ἐπὶ ταύτῃ τῇ πράξει ἁρμόδιον ἐκπέμπουσι ναύαρχον ὡς ἡγησόμενον τοῦ ἐν Αἰγίνῃ ναυτικοῦ· τοῦτον ἰδόντες ἥκοντα πάντες οἱ ναῦται ὑπερήσθησαν· ὁ δ᾽ αὐτοὺς ἀσπασάμενος καὶ συγκαλέσας εἶπε τοιάδε. — B. D. om. δὲ εἶδον αὐτὸν. — ναῦται B. C. D. E. F. I. V. Schneid. Dind. pro στρατιῶται. — B. D. om. ὁ δ᾽.

§. 14. D. ὁ θεὸς. — ἐγὼ ὅταν ὑμῶν B. D. F. I. V. Dind. pro ὅταν ὑμῶν ἐγὼ. — τε post εὔχομαι inserunt B. D. E. H. V. Dind. — θαυμάσαιτε D. F. Dind. pro θαυμάσετε. — ἂν post μὲν addunt B. D. H. I. V. Dind. — ἀνεῴξεται C. E. F. H. I. V. Dind., ἀνεῴξετον B., ceteri ἀνέῳκται.

§. 15. ἐγὼ post οὐδὲν γὰρ addunt B. D. H. I. Schneid. Dind.

§. 16. ἔφη addunt B. D. H. V. Schneid. Dind. — δοκεῖ ενδ. εἶναι quae cod. V. addit, non Xenophontis esse quum alia tum vox ἁρμόδιον manifeste prodit. Quod in B. et D. hic plura desunt, inde sine iusta causa concludit Dindorfius, totum locum esse corruptum. Ubi praestantiores libri lacunas habent, nihil est, cur fidem non habeamus minus bonis libris, dummodo praebeant quae probentur.

§. 14. *εὖ δ᾽ ἴστε*] Initio sententiae haec posita est formula etiam VI, 1, 15, saepius interponitur verbis. V. ad III, 5, 11. IV, 1, 8.

*ἢ καὶ ἐμαυτόν*] De part. καί v. ad IV, 3, 2.

§. 15. *οἴεσθε*] De significatione huius verbi v. ad IV, 7, 4.

§. 16. *καὶ — δέ*] Ad novum ac gravius argumentum procedit oratio. V. ad Oecon. I, 3. Supra II, 4, 6.

τέρα, ἣ δοκεῖ εὐδαίμων εἶναι, εὖ ἴστε ὅτι τἀγαθὰ καὶ τὰ καλὰ ἐκτήσατο οὐ ῥαθυμοῦσα, ἀλλ' ἐθέλουσα καὶ πονεῖν καὶ κινδυνεύειν, ὁπότε δέοι. Καὶ ὑμεῖς οὖν ἦτε μὲν καὶ πρότερον, ὡς ἐγὼ οἶδα, ἄνδρες ἀγαθοί· νῦν δὲ πειρᾶσθαι χρὴ ἔτι ἀμείνονας γίγνεσθαι, ἵν' ἡδέως μὲν
συμπονῶμεν, ἡδέως δὲ συνευδαιμονῶμεν. Τί γὰρ ἥδιον 17
ἢ μηδένα ἀνθρώπων κολακεύειν μήτε Ἕλληνα μήτε βάρβαρον ἕνεκα μισθοῦ, ἀλλ' ἑαυτοῖς ἱκανοὺς εἶναι τὰ ἐπιτήδεια πορίζεσθαι, καὶ ταῦτα ὅθενπερ κάλλιστον; Ἡ γάρ τοι ἐν πολέμῳ ἀπὸ τῶν πολεμίων ἀφθονία εὖ ἴστε ὅτι ἅμα τροφήν τε καὶ εὔκλειαν ἐν πᾶσιν ἀνθρώποις παρέχεται.

Ὁ μὲν ταῦτ' εἶπεν, οἱ δὲ πάντες ἀνεβόησαν παραγ- 18
γέλλειν ὅ τι ἂν δέῃ, ὡς σφῶν ὑπηρετησόντων. Ὁ δὲ τεθυμένος ἐτύγχανεν· εἶπε δέ, Ἄγετε, ὦ ἄνδρες, δειπνήσατε μέν, ὥςπερ καὶ ἐμέλλετε· προπαράσχεσθε δέ μοι μιᾶς ἡμέρας σῖτον. Ἔπειτα δὲ ἥκετε ἐπὶ τὰς ναῦς

B. C. D. E. V. marg. Leoncl. Dind. pro εὐδ. εἶναι δοκεῖ. — τἀγαθὰ B. D. E. V. Dind. pro τὰ ἀγαθά.

§. 17. Cast. ἄνθρωπον. — ἕνεκα B. C. D. E. V. Schneid. Dind. pro εἵνεκα.

§. 18. δέῃ B. D. E. I. V. Schneid. Dind. pro δέοι. — ὥςπερ καὶ Dind. dedit pro vulg. ἅπερ καὶ ὡς. — προπαράσχεσθε B. D. V. Dind.,

τἀγαθὰ καὶ τὰ καλά] Formulam laconicam esse monet Wolfius. Plat. Alcib. II, p. 148 C: εὔχονται τὰ καλὰ ἐπὶ τοῖς ἀγαθοῖς τοὺς θεοὺς διδόναι σφίσιν αὐτοῖν.

ἐθέλουσα καὶ πονεῖν καὶ κινδυνεύειν] Verba πόνος καὶ κίνδυνος et πονεῖν καὶ κινδυνεύειν coniuncta imprimis placuisse animadvertunt Weisk. T. I, p. LXV. Herbst. ad Symp. IV, 35 et verba πονεῖν καὶ κινδυνεύειν adhiberi accedente potissimum verbo ἐθέλειν ostendit Saupp. Quaest. Xen. 1841. coll. Cyrop. II, 3, 4. Anab. I, 4, 14. Oecon. XIII, 11. XXI, 4.

§. 17. καὶ ταῦτα] et quidem. V. ad III, 2, 4.

ὅθενπερ κάλλιστον] scil. ἐστὶ πορίζεσθαι.

§. 18. ὡς — ὑπηρετησόντων] V. ad III, 4, 1. 23.

ὥςπερ καί] Vulgatam lectionem defendebat Schneider. ita, ut ἐμέλλετε repeteret ad ἅπερ et ad ὡς. At nihil referebat dicere, quem vel qualem cibum sumpturi fuissent. Neque Stephani et Mori ratio ferenda est, qui καὶ ὥς scribunt eo sensu, ut sit ceteroqui. Nam καὶ ὥς nunquam est ceteroqui, sed semper tamen, nihilominus, quae significatio aliena est ab h. l. Postquam ὥςπερ in ἅπερ depravatum erat, quae voculae saepius permutantur, insertum est quod sensus postulare videretur, ὡς.

προπαράσχεσθε] vobis praeparate. μοι est dativus ethicus.

αὐτίκα μάλα, ὅπως πλεύσωμεν ἔνθα θεὸς ἐθέλει, ἐν
19 καιρῷ ἀφιξόμενοι. Ἐπειδὴ δὲ ἦλθον, ἐμβιβασάμενος
αὐτοὺς εἰς τὰς ναῦς ἔπλει τῆς νυκτὸς εἰς τὸν λιμένα
τῶν Ἀθηναίων, τοτὲ μὲν ἀναπαύων καὶ παραγγέλλων
ἀποκοιμᾶσθαι, τοτὲ δὲ κώπαις προςκομιζόμενος. Εἰ δέ
τις ὑπολαμβάνει, ὡς ἀφρόνως ἔπλει δώδεκα τριήρεις
ἔχων ἐπὶ πολλὰς ναῦς κεκτημένους, ἐννοησάτω τὸν
20 ἀναλογισμὸν αὐτοῦ. Ἐκεῖνος γὰρ ἐνόμισεν ἀμελέστε-
ρον μὲν ἔχειν τοὺς Ἀθηναίους περὶ τὸ ἐν τῷ λιμένι ναυ-
τικὸν Γοργῶπα ἀπολωλότος· εἰ δὲ καὶ εἶεν τριήρεις
ὁρμοῦσαι, ἀσφαλέστερον ἡγήσατο ἐπ' εἴκοσι ναῦς Ἀθή-
νησιν οὔσας πλεῦσαι ἢ ἄλλοθι δέκα. Τῶν μὲν γὰρ
ἔξω ᾔδει ὅτι κατὰ ναῦν ἔμελλον οἱ ναῦται σκηνήσειν,
τῶν δὲ Ἀθήνησιν ἐγίγνωσκεν ὅτι οἱ μὲν τριήραρχοι οἴ-
κοι καθευδήσοιεν, οἱ δὲ ναῦται ἄλλος ἄλλῃ σκηνήσοιεν.
21 Ἔπλει μὲν δὴ ταῦτα διανοηθείς· ἐπειδὴ δὲ ἀπεῖχε πέντε
ἢ ἓξ στάδια τοῦ λιμένος, ἡσυχίαν εἶχε καὶ ἀνέπαυσεν.
Ὡς δὲ ἡμέρα ὑπέφαινεν, ἡγεῖτο· οἱ δὲ ἐπηκολούθουν.
Καὶ καταδύειν μὲν οὐκ εἴα στρογγύλον πλοῖον οὐδὲ
λυμαίνεσθαι ταῖς ἑαυτῶν ναυσίν· εἰ δέ που τριήρη
ἴδοιεν ὁρμοῦσαν, ταύτην πειρᾶσθαι ἄπλουν ποιεῖν, τὰ

E. προπαρέχετε, ceteri προπαράσχετε. — ἐθέλει D. E. F. Schneid. Dind. pro ἐθέλοι, B. V. ἐθέλῃ.

§. 19. A. C. D. E. edd. vett. om. αὐτοὺς. — τῆς νυκτὸς B., ceteri νυκτὸς. — A. edd. vett. Mor. Weisk. Schneid. προςκοιμιζόμενος. — ὑπολαμβάνει B. C. D. E. F. V. Dind. pro — βάνοι.

§. 21. δὴ addunt B. Schneid. Dind. — ἐπειδὴ B. D. Dind. pro ἐπεὶ. — ἀνέπαυσεν B. E. I. Leoncl., ceteri ἀνέπαυεν. — D. ὑπεφαίνετο. — ἐπηκολούθουν B. C. D. E. V. Schneid. Dind. pro ὑπηκ. — Pro οὐκ I. V. οὐδὲν, quod volebat Steph. — στρογγύλον πλοῖον B. C. D. F. V. Dind. pro στρογγύλων πλοίων. — F. edd. vett. ἔκπλουν pro

ἔνθα — ἐθέλει] Nam de expeditione adversus Athenas facienda deum consulenti fausta evenerant sacra.

§. 19. τῆς νυκτός] insequente nocte. Ea est vis articuli.

κώπαις προςκομιζόμενος] ad remos praesto esse iubens.

§. 20 ἢ ἄλλοθι δέκα] breviter pro: ἢ ἐπὶ δέκα ἄλλοθι οὔσας.

τῶν μὲν — ἔξω] earum navium, quae domo abessent.

κατὰ ναῦν] in singulis navibus.

§. 21. ἀνέπαυσεν] scil. τοὺς ναύτας, ut est VI, 2, 29: τοὺς ναύτας ἀνέπαυε. De aoristo imperfectum excipiente v. ad III, 6, 11.

ὑπέφαινε] V. ad III, 4, 16.

στρογγύλον] rotundum, mercatorium.

πειρᾶσθαι] Ex antecedenti

δὲ φορτηγικὰ πλοῖα καὶ γέμοντα ἀναδουμένους ἄγειν ἔξω, ἐκ δὲ τῶν μειζόνων ἐμβαίνοντας ὅπου δύναιντο τοὺς ἀνθρώπους λαμβάνειν. Ἦσαν δέ τινες οἳ καὶ ἐκπηδήσαντες εἰς τὸ Δεῖγμα ἐμπόρους τέ τινας καὶ ναυκλήρους συναρπάσαντες εἰς τὰς ναῦς εἰσήνεγκαν. Ὁ μὲν δὴ ταῦτα ἐπεποιήκει. Τῶν δὲ Ἀθηναίων οἱ μὲν 22
αἰσθόμενοι ἔνδοθεν ἔθεον ἔξω σκεψόμενοι, τίς ἡ κραυγή, οἱ δὲ ἔξωθεν οἴκαδε ἐπὶ τὰ ὅπλα, οἱ δὲ καὶ εἰς ἄστυ ἀγγελοῦντες. Πάντες δ' Ἀθηναῖοι τότε ἐβοήθησαν καὶ ὁπλῖται καὶ ἱππεῖς, ὡς τοῦ Πειραιῶς ἑαλωκότος. Ὁ δὲ 23
τὰ μὲν πλοῖα ἀπέστειλεν εἰς Αἴγιναν καὶ τῶν τριήρων τρεῖς ἢ τέτταρας συναπαγαγεῖν ἐκέλευσε, ταῖς δὲ ἄλλαις παραπλέων παρὰ τὴν Ἀττικήν, ἅτε ἐκ τοῦ λιμένος πλέων, πολλὰ καὶ ἁλιευτικὰ ἔλαβε καὶ πορθμεῖα ἀνθρώπων μεστά, καταπλέοντα ἀπὸ νήσων. Ἐπὶ δὲ Σούνιον ἐλθὼν καὶ ὁλκάδας γεμούσας τὰς μέν τινας σίτου, τὰς δὲ καὶ ἐμπολῆς, ἔλαβε. Ταῦτα δὲ ποιήσας 24
ἀπέπλευσεν εἰς Αἴγιναν. Καὶ ἀποδόμενος τὰ λάφυρα μηνὸς μισθὸν προέδωκε τοῖς στρατιώταις. Καὶ τὸ λοιπὸν δὲ περιπλέων ἐλάμβανεν ὅ τι ἐδύνατο. Καὶ ταῦτα

ἄπλουν. — αγειν ἔξω B. C. D. E. F. V. Dind. pro ἔξω ἄγειν. — B. C. D. E. V. edd. ante Mor. εἰς vel ἐς δὲ τῶν pro ἐκ δὲ τῶν.

§. 22. ταῦτα B. D.V. Steph. Leoncl. Schneid. Dind. pro τοιαῦτα. — E. πεποιήκει. — σκεψόμενοι coni. Steph. receperunt Wells. Weisk. edd. sqq. pro σκεπτόμενοι.

§. 23. τὰ μὲν πλ. B. C. D. E. F. I. V. Schneid. Dind. pro τὰ πλ. μὲν. — Post ἁλιευτικὰ om. πλοῖα B. D. F. I. V. Dind.

§. 24. μηνὸς μισθ. B. C. D. E. V. Dind. pro μισθ. μηνὸς. — λοιπὸν δὲ B. C. V. Schneid. Dind. pro λοιπὸν δή. — ἐλάμβανεν B. D.F. I. V. marg. Leoncl. Schneid. Dind. pro ἀπελάμβανεν, C. ἐλάμβανον. — ἐδύνατο B. D. F. Dind. pro ἠδύνατο.

οὐκ εἴα repetas contrariam, i. e. iubendi notionem, unde infinitivus πειρᾶσθαι pendeat. V. ad I, 7, 5. Cyrop. II, 4, 23. Cf. ad Oecon. XI, 18. Simillimum est quod Schneider. affert: Herod. VII, 104. extr.: νόμοι οὐκ ἐῶν φεύγειν οὐδὲν πλῆθος ἀνθρώπων ἐκ μάχης, ἀλλὰ μένοντας ἐν τῇ τάξι ἐπικρατέειν ἢ ἀπόλλυσθαι, scil. κελεύων.

ἐμβαίνοντας] scil. εἰς αὐτά.

τὸ Δεῖγμα] forum, in quo τὰ δείγματα, i. e. res promercales exponuntur. Cf. III, 3, 7. ad εἰς τὸν σίδηρον.

§. 22. οἱ δὲ καὶ εἰς ἄστυ] Athenas, quae opponuntur Piraeo. Cf. ad IV, 5, 3. Inde intelligitur, οἱ ἔνδοθεν et οἱ ἔξωθεν esse incolas Piraei, qui vel in domibus suis vel extra domos erant.

§.23. ἅτε — πλέων] quippe e portu navigans fefellit eos, qui eundem portum petebant: hostes enim esse non suspicantes facile ab illo capiebantur.

ποιῶν πλήρεις τε τὰς ναῦς ἔτρεφε καὶ τοὺς στρατιώ-
τας εἶχεν ἡδέως καὶ ταχέως ὑπηρετοῦντας.
25 Ὁ δὲ Ἀνταλκίδας κατέβη μὲν μετὰ Τιριβάζου δια-
Ch. a. 387. πεπραγμένος συμμαχεῖν βασιλέα, εἰ μὴ ἐθέλοιεν Ἀθη-
ναῖοι καὶ οἱ σύμμαχοι χρῆσθαι τῇ εἰρήνῃ, ᾗ αὐτὸς ἔλε-
γεν. Ὡς δ' ἤκουσε Νικόλοχον σὺν ταῖς ναυσὶ πολιορ-
κεῖσθαι ἐν Ἀβύδῳ ὑπὸ Ἰφικράτους καὶ Διοτίμου, πεζῇ
ᾤχετο εἰς Ἄβυδον. Ἐκεῖθεν δὲ λαβὼν τὸ ναυτικὸν νυ-
κτὸς ἀνήγετο, διασπείρας λόγον, ὡς μεταπεμπομένων
τῶν Καλχηδονίων· ὁρμισάμενος δὲ ἐν Περκώτῃ ἡσυ-
26 χίαν εἶχεν. Αἰσθόμενοι δὲ οἱ περὶ Δημαίνετον καὶ Διο-
νύσιον καὶ Λεόντιχον καὶ Φανίαν ἐδίωκον αὐτὸν τὴν
ἐπὶ Προικοννήσου· ὁ δ', ἐπεὶ ἐκεῖνοι παρέπλευσαν,
ὑποστρέψας εἰς Ἄβυδον ἀφίκετο, ἠκηκόει γάρ, ὅτι προς-
πλέοι Πολύξενος ἄγων τὰς ἀπὸ Συρακουσῶν καὶ Ἰτα-
λίας ναῦς εἴκοσιν, ὅπως ἀναλάβοι καὶ ταύτας. Ἐκ δὲ
τούτου Θρασύβουλος ὁ Κολλυτεὺς ἔχων ναῦς ὀκτὼ
ἔπλει ἀπὸ Θρᾴκης, βουλόμενος ταῖς ἄλλαις Ἀττικαῖς
27 ναυσὶ συμμίξαι. Ὁ δὲ Ἀνταλκίδας, ἐπεὶ αὐτῷ οἱ σκο-

§. 25. B. I. V. et ex corr. D. cum marg. Leoncl. σύμμαχον pro συμμαχεῖν. — V. ποιεῖσθαι τὴν εἰρήνην pro χρῆσθαι τῇ εἰρήνῃ. — Edd. vett. Mor. Weisk. ὡς Ἄβυδον pro εἰς Ἄβ. — Καλχ. Dind. pro Χαλκ. — Περκώτῃ B. Dind. pro Περκώπῃ.

§. 26. C. D. E. om. τὴν ante ἐπὶ. — ἀναλάβοι B. D. F. V. Schneid. Dind. pro ἀναλάβῃ.

§. 24. πλήρεις — ἔτρεφε] milite plenas — alebat. Nam propter largam mercedem et manebant quos habebat, et alliciebantur novi et milites classiarii et nautae.

§. 25. Ἀνταλκίδας] V. §. 6. Susa ad regem profectus erat, unde iam redit. Cf. Plutarch. Artax. XXII.

συμμαχεῖν] Quin dici possit διαπεπραγμένος σύμμαχον βασιλέα, dubitari nequit. Cf. VII, 2, 17. Quanquam ubi de foederis conditionibus agitur, ubique reperitur infinitivus aut cum aut sine ὥστε. V. Sturz. lex. I. p. 699.

ᾗ αὐτὸς ἔλεγεν] scil. ἐθέλειν χρῆσθαι.

Νικόλοχον] V. §. 7.

λόγον, ὡς μεταπεμπομένων] V. ad IV, 3, 14.

Περκώτῃ] haud procul Abydo versus septentrionem ad Hellespontum sita.

§. 26. Δημαίνετον] qui §. 10. Aeginae erat, unde in Hellespontum missus est. V. Grotium p. 299.

τὴν ἐπὶ Προικοννήσου] V. IV, 8, 36. Antalcidam, dum in portu Percotae quiescit, quem Chalcedonem putarent navigare, persequi sibi videbantur. Qui quum praetervecti essent Percoten, inde Abydum redit Antalcidas.

Θρασύβουλος ὁ Κολλυτεύς] discernitur a Thrasybulo Stiriensi, de quo v. IV, 8, 25—30.

ποὶ ἐσήμηναν, ὅτι προςπλέοιεν τριήρεις ὀκτώ, ἐμβιβάσας τοὺς ναύτας εἰς δώδεκα ναῦς τὰς ἄριστα πλεούσας καὶ προςπληρώσασθαι κελεύσας, εἴ τις ἐνεδεῖτο, ἐκ τῶν καταλειπομένων, ἐνήδρευεν ὡς ἐδύνατο ἀφανέστατα. Ἐπεὶ δὲ παρέπλεον, ἐδίωκεν· οἱ δὲ ἰδόντες ἔφευγον. Τὰς μὲν οὖν βραδύτατα πλεούσας ταῖς ἄριστα πλεούσαις ταχὺ κατειλήφει· παραγγείλας δὲ τοῖς πρωτόπλοις τῶν μεθ' αὐτοῦ μὴ ἐμβαλεῖν ταῖς ὑστάταις, ἐδίωκε τὰς προεχούσας, Ἐπεὶ δὲ ταύτας ἔλαβεν, ἰδόντες οἱ ὕστεροι ἁλισκομένους σφῶν αὐτῶν τοὺς πρόπλους ὑπ' ἀθυμίας καὶ (ὑπὸ) τῶν βραδυτέρων ἡλίσκοντο· ὥςθ' ἥλωσαν ἅπασαι.
28 Ἐπεὶ δ' ἦλθον αὐτῷ αἵ τε ἐκ Συρακουσῶν νῆες εἴκοσιν, ἦλθον δὲ καὶ αἱ ἀπὸ Ἰωνίας, ὅσης ἐγκρατὴς ἦν Τιρίβαζος, συνεπληρώθησαν δὲ καὶ ἐκ τῆς Ἀριοβαρζάνους, καὶ γὰρ ἦν ξένος ἐκ παλαιοῦ τῷ Ἀριοβαρζάνει, ὁ δὲ Φαρνάβαζος ἤδη ἀνακεκλημένος ᾤχετο ἄνω, ὅτε δὴ καὶ ἔγημε τὴν βασιλέως θυγατέρα· ὁ δὲ Ἀν-

§. 27. F. ἐσήμαινον. — τοὺς ναύτας B. C. D. F. I. V. marg. Leoncl. Schneid. Dind. pro τινὰς ναύτας. — V. προςαναπληρώσασθαι. — ἐνήδρευεν B. I. V. Schneid. Dind. pro ἐνήδρευσεν. — Ante ἐδύνατο om. ἤδη B. D. E. F. V. Dind. — ταχὺ Dind. pro ταχύτατα. — αὑτοῦ B., ceteri ἑαυτοῦ. — B. I. προπόλους pro πρόπλους. — (ὑπὸ) ante τῶν inserui. — V. βραδυτάτων.

§. 28. V. εὗρον αὐτὸν pro ἦλθον αὐτῷ, edd. vett. αὐτοῖς pro αὐτῷ. — V. ἐξ pro αἱ ἀπὸ. — Edd. vett. ὅσων pro ὅσης. — Leoncl. Schneid. ὁ δὴ Ἀντ., Mor. exclusit, Weisk. delevit δὲ. — Ante τῆς θαλ. Schneid. inclusit, B. D. E. F. I. Dind. om. πάσης.

§. 27. *τριήρεις — ὀκτώ*] hostiles scil., quae Proconneso redibant.

*ἐνεδεῖτο*] ναυτῶν scil.

*παρέπλεον*] αἱ ὀκτὼ τριήρεις.

*καὶ (ὑπὸ) τῶν βραδυτέρων*] καὶ est vel, etiam. Ergo praepositio deesse non debet, quae omissa videtur esse ab eo, qui praecedens ὑπό etiam alteri genitivo sufficere perperam crederet. Cobetus coniecit πρὸς τῶν βρ.

§. 28. *ἐκ Συρακουσῶν νῆες εἴκοσι*] quas Dionysius tyrannus Lacedaemoniis mittebat.

*δὲ καί*] respondent antecedenti τε. Cf. ad III, 4, 24. Efficitur autem particularum transpositio anaphora verbi ἦλθον, quo omisso dicendum fuisset καὶ αἱ δὲ ἀπὸ Ἰωνίας.

*Τιρίβαζος*] V. ad IV, 8, 12.

*Ἀριοβαρζάνους*] praefecti regii. V. I, 4, 7.

*Φαρνάβαζος*] Atheniensibus (IV, 8, 7. 9. 33) amicus, cuius absentia gaudebat Antalcidas.

*ὁ δὲ Ἀνταλκίδας*] De particula δέ in apodosi posita v. ad II, 4, 13, nisi statuere malumus, h. l. per δέ ita continuari orationem quasi antea verbum ᾤχετο apodosin efficiat. Quale anacoluthon propter plures interpositas sententias facile fertur. Eadem structura est V, 3, 16. VI, 1, 13. 4, 2. VII, 4, 4. Cf. ad IV, 7, 5.

ταλκίδας γενομένας ταῖς πάσαις ναυσὶ πλείοσιν ἢ ὀγδοήκοντα ἐκράτει τῆς θαλάττης· ὥςτε καὶ τὰς ἐκ τοῦ Πόντου ναῦς Ἀθήναζε μὲν ἐκώλυε καταπλεῖν, εἰς δὲ τοὺς
29 ἑαυτῶν συμμάχους κατῆγεν. Οἱ μὲν οὖν Ἀθηναῖοι, ὁρῶντες μὲν πολλὰς τὰς πολεμίας ναῦς, φοβούμενοι δέ, μὴ ὡς πρότερον καταπολεμηθείησαν, συμμάχου Λακεδαιμονίοις βασιλέως γεγενημένου, πολιορκούμενοι δὲ ἐκ τῆς Αἰγίνης ὑπὸ τῶν λῃστῶν, διὰ ταῦτα μὲν ἰσχυρῶς ἐπεθύμουν τῆς εἰρήνης. Οἱ δ' αὖ Λακεδαιμόνιοι, φρουροῦντες μόρᾳ μὲν ἐν Λεχαίῳ, μόρᾳ δ' ἐν Ὀρχομενῷ, φυλάττοντες δὲ τὰς πόλεις, αἷς μὲν ἐπίστευον, μὴ ἀπόλοιντο, αἷς δὲ ἠπίστουν, μὴ ἀποσταῖεν, πράγματα δ' ἔχοντες καὶ παρέχοντες περὶ τὴν Κόρινθον, χαλεπῶς ἔφερον τῷ πολέμῳ. Οἵ γε μὴν Ἀργεῖοι, εἰδότες φρουράν τε πεφασμένην ἐφ' ἑαυτοὺς καὶ γιγνώσκοντες, ὅτι ἡ τῶν μηνῶν ὑποφορὰ οὐδὲν ἔτι σφᾶς ὠφελήσει, καὶ οὗτοι εἰς τὴν εἰρήνην πρόθυμοι ἦσαν.
30 Ὥςτ' ἐπεὶ παρήγγειλεν ὁ Τιρίβαζος παρεῖναι τοὺς βουλομένους ὑπακοῦσαι ἣν βασιλεὺς εἰρήνην καταπέμποι, ταχέως πάντες παρεγένοντο. Ἐπεὶ δὲ συνῆλθον, ἐπιδείξας ὁ Τιρίβαζος τὰ βασιλέως σημεῖα ἀνεγίγνωσκε τὰ γεγραμμένα. Εἶχε δὲ ὧδε.

31 Ἀρταξέρξης βασιλεὺς νομίζει δίκαιον τὰς μὲν ἐν τῇ

§. 29. τῶν ante λῃστῶν addunt B. I. V. Dind.; D. Λακώνων pro λῃστῶν. — εἰδότες B. C. D. I. marg. Leoncl. Schneid. Dind. pro ἰδόντες. — γιγνώσκοντες B. D. E. Schneid. Dind. pro γινώσκοντες.
§. 30. καταπέμποι B. D. V. Schneid. Dind. pro καταπέμπει. — B. C. D. E. ἀνεγίνωσκε.

τὰς ἐκ τοῦ Πόντου ναῦς] Byzantium enim tum tenebant Athenienses. V. IV, 8, 27.

ἑαυτῶν] De plurali v. ad IV, 8, 24.

κατῆγεν] V. ad IV, 8, 33.

§. 29. ὡς πρότερον] bello Peloponnesiaco.

διὰ ταῦτα] post participia cum vi illatum. V. ad Hier. IV, 6. Supra III, 2, 9. ad οὕτω. Rost. gr. §. 182. adn. 10.

ἐν Λεχαίῳ] V. IV, 5, 18.

ἐν Ὀρχομενῷ] V. IV, 3, 15.

πράγματα δ' ἔχοντες καὶ παρέχοντες] V. ad IV, 5, 19.

χαλεπῶς ἔφερον τῷ πολέμῳ] V. ad III, 4, 9.

γε μήν] V. ad III, 1, 7.

φρουρὰν — πεφασμένην] V. ad III, 2, 25.

ἡ τῶν μηνῶν ὑποφορά] V. ad IV, 7, 2.

§. 30. τὰ βασιλέως σημεῖα] Cf. I, 4, 3: τὸ βασίλειον σφράγισμα.

εἶχε δὲ ὧδε] Pacis formulam v. apud Diodor. XIV, 110: τὰς μὲν κατὰ τὴν Ἀσίαν Ἑλληνίδας πόλεις ὑπὸ βασιλέα τετάχθαι, τοὺς δ' ἄλλους Ἕλληνας ἅπαντας αὐτονόμους εἶναι· τοῖς δ' ἀπειθοῦσι καὶ μὴ προςδεχομένοις

Ἀσίᾳ πόλεις ἑαυτοῦ εἶναι καὶ τῶν νήσων Κλαζομενὰς καὶ Κύπρον, τὰς δὲ ἄλλας Ἑλληνίδας πόλεις καὶ μικρὰς καὶ μεγάλας αὐτονόμους ἀφεῖναι πλὴν Λήμνου καὶ Ἴμβρου καὶ Σκύρου· ταύτας δὲ ὥςπερ τὸ ἀρχαῖον εἶναι Ἀθηναίων. Ὁπότεροι δὲ ταύτην τὴν εἰρήνην μὴ δέχονται, τούτοις ἐγὼ πολεμήσω μετὰ τῶν ταῦτα βουλομένων καὶ πεζῇ καὶ κατὰ θάλατταν καὶ ναυσὶ καὶ χρήμασιν.

32 Ἀκούοντες οὖν ταῦτα οἱ ἀπὸ τῶν πόλεων πρέσβεις ἀπήγγελλον ἐπὶ τὰς ἑαυτῶν ἕκαστοι πόλεις. Καὶ οἱ μὲν ἄλλοι πάντες ὤμνυσαν ἐμπεδώσειν ταῦτα, οἱ δὲ Θηβαῖοι ἠξίουν ὑπὲρ πάντων Βοιωτῶν ὀμνύναι. Ὁ δὲ Ἀγησίλαος οὐκ ἔφη δέξασθαι τοὺς ὅρκους, ἐὰν μὴ ὀμνύωσιν, ὥςπερ τὰ βασιλέως γράμματα ἔλεγεν, αὐτονόμους εἶναι καὶ μικρὰν καὶ μεγάλην πόλιν. Οἱ δὲ τῶν Θηβαίων πρέσβεις ἔλεγον, ὅτι οὐκ ἐπεσταλμένα σφίσι ταῦτα εἴη. Ἴτε νυν, ἔφη ὁ Ἀγησίλαος, καὶ ἐρωτᾶτε· ἀπαγγέλλετε δ' αὐτοῖς καὶ ταῦτα, ὅτι, εἰ μὴ ποιήσουσι ταῦτα, ἔκσπονδοι ἔσονται. Οἱ μὲν δὴ ᾤχοντο. 33 Ὁ δὲ Ἀγησίλαος διὰ τὴν πρὸς Θηβαίους ἔχθραν οὐκ ἔμελλεν, ἀλλὰ πείσας τοὺς ἐφόρους εὐθὺς ἐθύετο. Ἐπειδὴ

§. 32. F. Dind. δέξεσθαι. — Edd. vett. ὀμῶσι pro ὀμνύωσι. — B. ἐπεσταλμένον. — Marg. Leoncl. Ἴτε οὖν. — ποιήσουσι ταῦτα B. D. F. V. Dind., I. ποιήσωσι ταῦτα, ceteri ταῦτα ποιήσοιεν.

§. 33. V. διαβῆναι pro εὐθὺς. — ἐπειδὴ δὲ B. D. Dind. pro ἐπεὶ

τὰς συνθήκας διὰ τῶν εὐδοκούντων πολεμήσειν. Plutarch. Artax. XXI.

§. 31. Κύπρον] quam Euagoras tenebat cum rege bellum gerens.

Λῆμνον — Ἴμβρον — Σκύρον] quas insulas biennio ante, quum de pace agebatur, concedere Atheniensibus nolebant Persae et Lacedaemonii. V. IV, 8, 15.

ἐγὼ πολεμήσω] Oratio obliqua iam in rectam transit. V. ad I, 1, 27. 6, 32. VI, 5, 35. Thucyd. I, 128, 7: Παυσανίας τούςδε — ἀποπέμπει — καὶ γνώμην ποιοῦμαι κ. τ. λ.

§. 32. ὑπὲρ πάντων — ὀμνύναι] His verbis sibi vindicare videntur Thebani, ut in ipsorum arbitrio ac potestate maneant omnes Boeotiae civitates. Cf. §. 33.

δέξασθαι] De aoristi infinitivo v. ad III, 5, 10. Cf. I, 6, 14: οὐκ ἔφη ἑαυτοῦ γε ἄρχοντος οὐδένα Ἑλλήνων εἰς τὸ κείνου δυνατὸν ἀνδραποδισθῆναι, ubi ne Dindorfius quidem haesitavit. V, 2, 9: ἀξιοῦν — διαπράξασθαι.

ὀμνύωσιν — εἶναι] De infinitivo praesentis v. ad III, 5, 14. Cf. I, 3, 9: ὅρκους ἔδοσαν — μὴ πολεμεῖν. Infra §. 35. VI, 5, 3. Kuehner. ad Anab. II, 3, 27.

Ἴτε νυν] V. ad IV, 1, 39.

αὐτοῖς] iis, a quibus mandata sua (τὰ ἀπεσταλμένα) habebant.

§. 33. ἐθύετο] scil. τὰ διαβατήρια, de quibus v. ad III, 4, 3.

δὲ ἐγένετο τὰ διαβατήρια, ἀφικόμενος εἰς τὴν Τεγέαν
διέπεμπε τῶν μὲν ἱππέων κατὰ τοὺς περιοίκους ἐπι-
σπεύσοντας, διέπεμπε δὲ καὶ ξεναγοὺς εἰς τὰς πόλεις.
Πρὶν δὲ αὐτὸν ὁρμηθῆναι ἐκ Τεγέας, παρῆσαν οἱ Θη-
βαῖοι λέγοντες, ὅτι ἀφιᾶσι τὰς πόλεις αὐτονόμους. Καὶ
οὕτω Λακεδαιμόνιοι μὲν οἴκαδε ἀπῆλθον, Θηβαῖοι δ' εἰς
τὰς σπονδὰς εἰςελθεῖν ἠναγκάσθησαν αὐτονόμους ἀφέν-
34 τες τὰς Βοιωτίας πόλεις. Οἱ δ' αὖ Κορίνθιοι οὐκ ἐξ-
έπεμπον τὴν τῶν Ἀργείων φρουράν. Ἀλλ' ὁ Ἀγησί-
λαος καὶ τούτοις προεῖπε, τοῖς μέν, εἰ μὴ ἐκπέμψοιεν
τοὺς Ἀργείους, τοῖς δέ, εἰ μὴ ἀπίοιεν ἐκ τῆς Κορίνθου,
ὅτι πόλεμον ἐξοίσει πρὸς αὐτούς. Ἐπεὶ δὲ φοβηθέν-
των ἀμφοτέρων ἐξῆλθον οἱ Ἀργεῖοι καὶ αὐτὴ ἐφ' αὑτῆς
ἡ τῶν Κορινθίων πόλις ἐγένετο, οἱ μὲν σφαγεῖς καὶ οἱ
μεταίτιοι τοῦ ἔργου αὐτοὶ γνόντες ἀπῆλθον ἐκ τῆς Κο-
ρίνθου· οἱ δ' ἄλλοι πολῖται ἑκόντες κατεδέχοντο τοὺς
πρόσθεν φεύγοντας.

35 Ἐπεὶ δὲ ταῦτ' ἐπράχθη καὶ ὠμωμόκεσαν αἱ πόλεις
ἐμμένειν τῇ εἰρήνῃ, ἣν κατέπεμψε βασιλεύς, ἐκ τούτου
διελύθη μὲν τὰ πεζικά, διελύθη δὲ καὶ τὰ ναυτικὰ στρα-

δὲ. — *Βοιωτίας* B. D. F. V. marg. Leoncl. Schneid. Dind. pro *Βοιωτικὰς*, sed B. *τῆς B.* pro *τὰς B.*

§. 34. *πρὸς αὐτοὺς* B. D. F. I. V. Dind. (in adnot.) pro *ἐπ' αὐτούς*. — *αὐτῆς* B. V. Dind. pro *ἑαυτῆς*.

§. 35. *ὠμωμόκεσαν* B. Dind. pro vulg. *ὀμωμόκεσαν*. — Steph. Dind. *ἐμμενεῖν*. — B. *ἐν τῇ εἰρήνῃ*. — *οὕτως* E., *οὕτω ἡ* B., *οὕτω* Dind., ceteri *οὕτως ἡ*.

*ἐγένετο*] V. ad III, 1, 17.

*διέπεμπε τῶν μέν*] Sequitur *διέπεμπε δέ*, quasi antecesserit *διέπεμπε μὲν τῶν*. Habebat autem in animo scriptor pergere *ξεναγοὺς δέ* sine altero *διέπεμπε*. Item Hier. I, 9: *πῶς ἂν πολλοὶ μὲν —, πῶς δὲ πάντες*, ubi v. adn. Cf. ibid. III, 8: *εὑρήσεις μὲν τοὺς ἰδιώτας*, cui accurate responderet *εὑρήσεις δὲ τυράννους*: sed sequitur *τοὺς δὲ τυράννους* omisso *εὑρήσεις*. Cf. etiam supra ad III, 4, 23. 5, 11. 12.

*τῶν — ἱππέων*] Genitivus non pendet ab *ἐπισπεύσοντας*, sed est partitivus, de quo v. ad III, 1, 4.

*ξεναγούς*] De his cf. III, 5, 7.

§. 34. *οἱ — σφαγεῖς*] V. IV, 4, 2.

*τοῦ ἔργου*] i. e. *τῆς σφαγῆς*.

*αὐτοὶ γνόντες*] sua sponte decernunt.

*ἀπῆλθον*] Liberalissime excepti sunt Athenis. Demosth. adv. Lept. 54.

*τοὺς πρόσθεν φεύγοντας*] V. IV, 4, 5. Una ex conditionibus pacis fuit *τοὺς διὰ Λακεδαιμονίους φυγόντας Κορινθίων καὶ Θηβαίων τὰς πόλεις οἴκαδε καταδέξασθαι*. Ages. II, 21.

§. 35. *ὠμωμόκεσαν — ἐμμένειν*] V. ad §. 32. V, 3, 26.

*τεύματα. Λακεδαιμονίοις μὲν δὴ καὶ Ἀθηναίοις καὶ τοῖς συμμάχοις οὕτως μετὰ τὸν ὕστερον πόλεμον τῆς καθαιρέσεως τῶν Ἀθήνησι τειχῶν αὕτη πρώτη εἰρήνη ἐγένετο.*
*Ἐν δὲ τῷ πολέμῳ μᾶλλον ἀντιῤῥόπως τοῖς ἐναντίοις* 36
*πράττοντες οἱ Λακεδαιμόνιοι πολὺ ἐπικυδέστεροι ἐγένοντο ἐκ τῆς ἐπ' Ἀνταλκίδου εἰρήνης καλουμένης. Προστάται γὰρ γενόμενοι τῆς ὑπὸ βασιλέως καταπεμφθείσης εἰρήνης καὶ τὴν αὐτονομίαν ταῖς πόλεσι πράττοντες, προςέλαβον μὲν σύμμαχον Κόρινθον, αὐτονόμους δὲ ἀπὸ τῶν Θηβαίων τὰς Βοιωτίδας πόλεις ἐποίησαν, οὗπερ πάλαι ἐπεθύμουν, ἔπαυσαν δὲ καὶ Ἀργείους Κόρινθον σφετεριζομένους, φρουρὰν φήναντες ἐπ' αὐτούς, εἰ μὴ ἐξίοιεν ἐκ Κορίνθου.*

§. 36. B. C. D. *γινόμενοι.* — V. *πάσας τὰς Βοιωτίδας*, et *μᾶλλον καὶ* pro *πάλαι.* — F. ponit *καὶ* post *Ἀργείους.*

*οὕτως*] Eodem ducit scriptura codicis B. V. ad III, 5, 14.

*τῆς καθαιρέσεως*] Genitivus pendet ab *ὕστερον*, de cuius traiectione v. ad III, 5, 3. Opponitur enim bellum Corinthiacum Peloponnesiaco. *ἡ καθαίρεσις τῶν Ἀθήνησι τειχῶν* memorata est II, 2, 23.

§. 36. *μᾶλλον ἀντιῤῥόπως — πράττοντες*] quum magis (vel saepius) pares, i. e. superiores essent. Cf. ad IV, 4, 4.

*τῆς ἐπ' Ἀνταλκίδου εἰρήνης*] Hanc pacem *ἡ ἐπ' Ἀνταλκίδου* (Antalcida legato facta), nunquam simpliciter *ἡ Ἀνταλκίδου* dici animadvertit Grotius p. 310.

*προστάται*] „Vindices, praesides, qui Gallice vocantur garans." Sturz.

*Κόρινθον σφετεριζομένους*] V. ad IV, 4, 6. 8, 34.

---

# CAPUT II.

## ARGUMENTUM.

Iam in socios etiam dubiae fidei Lacedaemonii animadvertere coeperunt et primo Mantineensium urbem penitus sustulerunt. Iam exsules Phliasiorum, temporibus usi, ad Lacedaemonios de rebus suis confugiunt. Hi per legatos Phliuntem missos rogant, ut illos restituant. Phliasii, qui cognatos exsulum aliosque rerum novarum studiosos timerent, eos confestim revocant et iis bona sua publice restituunt. Legati Acantho et Apollonia missi Lacedaemonem Olynthiorum impotentiam accusant et quid periculi ab illis immineat osten-

dunt. Statim igitur Lacedaemonii adversus illos mittunt Eudamidam cum copiis, quas e proximo cogere potuerant, et huius fratrem cum reliquis Phoebidam subsequi iubent. Hic quum processisset ad Thebas, quae civitas discordia civili tum laborabat, Leontiades alterius factionis princeps ei arcem tradidit et deinde confestim adversarium ut patriae hostem abstrahi iussit. Hinc contendit Spartam. Lacedaemoniis et Agesilao maxime hoc factum placebat, miseruntque qui de Ismenia iudicarent. Hoc interfecto Leontiades cum suis Thebas tenens magnis ad bellum Olynthiacum copiis Lacedaemonios iuvit, praesertim quum Teleutiam Agesilai fratrem harmostam misissent. Expeditio ipsa feliciter cessit, et quanquam initio dubia fuerat victoria fortiter pugnantibus Olynthiis, tamen quum proelium prope urbem committeretur viderenturque Lacedaemonii esse irrupturi, cesserunt tandem Olynthii, et multis suorum omissis in urbem se receperunt.

---

1 *Τούτων δὲ προκεχωρηκότων ὡς ἐβούλοντο, ἔδοξεν*
h. a. [illegible] *αὐτοῖς, ὅσοι ἐν τῷ πολέμῳ τῶν συμμάχων ἐπέκειντο καὶ τοῖς πολεμίοις εὐμενέστεροι ἦσαν ἢ τῇ Λακεδαίμονι, τούτους κολάσαι καὶ κατασκευάσαι, ὡς μὴ δύναιντο ἀπιστεῖν. Πρῶτον μὲν οὖν πέμψαντες ὡς τοὺς Μαντινέας ἐκέλευσαν αὐτοὺς τὸ τεῖχος περιαιρεῖν, λέγοντες, ὅτι οὐκ ἂν πιστεύσειαν ἄλλως αὐτοῖς μὴ σὺν τοῖς πολεμίοις*
2 *γενέσθαι. Αἰσθάνεσθαι γὰρ ἔφασαν, καὶ ὡς σῖτον ἐξέπεμπον τοῖς Ἀργείοις, σφῶν αὐτοῖς πολεμούντων, καὶ ὡς ἔστι μὲν ὅτε οὐδὲ συστρατεύοιεν ἐκεχειρίαν προφασιζόμενοι, ὁπότε δὲ καὶ ἀκολουθοῖεν, ὡς κακῶς συστρατεύοιεν. Ἔτι δὲ γιγνώσκειν ἔφασαν φθονοῦντας μὲν αὐτούς, εἴ τι σφίσιν ἀγαθὸν γίγνοιτο, ἐφηδομένους δ', εἴ τις συμφορὰ προσπίπτοι. Ἐλέγοντο δὲ καὶ αἱ σπονδαὶ ἐξεληλυθέναι τοῖς Μαντινεῦσι τούτῳ τῷ ἔτει*

Cap. II. §. 1. *ἐπέκειντο* Schneid. Dind. pro *ἐνέκειντο.* — *ὡς μὴ δύναιντο* B. C. D. E. F. V. Dind. pro *ὥστε μὴ δύνασθαι.* — B. *πρὸς τοὺς* pro *ὡς τοὺς.* — *ὅτι οὐκ* B. C. D. E. F. I. V. Dind. pro *ὡς οὐκ.*

Cap. II. §. 1. *ἐπέκειντο*] scil. *αὐτοῖς*: infesti fuissent, ut VI, 5, 35. VII, 2, 10. *ἐγκεῖσθαι* autem est instare: III, 5, 21. VII, 2, 19.

*οὐκ — πιστεύσειαν*] idem est quod *ἀπιστήσειαν*, quare sequitur *μή*. V. gramm. ad III, 3, 6. citatas.

*γενέσθαι*] De infinitivo aoristi v. ad III, 5, 10.

§. 2. *σφῶν αὐτοῖς πολεμούντων*] quum ipsi (Lacedaemonii) cum illis bellum gererent.

*ἐφηδομένους*) De re cf. IV, 5, 18.

αἱ μετὰ τὴν ἐν Μαντινείᾳ μάχην τριακονταετεῖς γενόμεναι. Ἐπεὶ δ' οὐκ ἤθελον καθαιρεῖν τὰ τείχη, φρου- 3
ρὰν φαίνουσιν ἐπ' αὐτούς. Ἀγησίλαος μὲν οὖν ἐδεήθη τῆς πόλεως ἀφεῖναι αὐτὸν ταύτης τῆς στρατηγίας λέγων, ὅτι τῷ πατρὶ αὐτοῦ ἡ τῶν Μαντινέων πόλις πολλὰ ὑπηρετήκοι ἐν τοῖς πρὸς Μεσσήνην πολέμοις· Ἀγησίπολις δὲ ἐξήγαγε τὴν φρουράν, καὶ μάλα Πανσανίου τοῦ πατρὸς αὐτοῦ φιλικῶς ἔχοντος πρὸς τοὺς ἐν Μαντινείᾳ τοῦ δήμου προστάτας. Ὡς δὲ ἐνέβαλλε, πρῶτον 4
μὲν τὴν γῆν ἐδῄου. Ἐπεὶ δὲ οὐδ' οὕτω καθῄρουν τὰ A.Ch.
τείχη, τάφρον ὤρυττε κύκλῳ περὶ τὴν πόλιν, τοῖς μὲν ἡμίσεσι τῶν στρατιωτῶν προκαθημένοις σὺν τοῖς ὅπλοις τῶν ταφρευόντων, τοῖς δ' ἡμίσεσιν ἐργαζομένοις. Ἐπεὶ δὲ ἐξείργαστο ἡ τάφρος, ἀσφαλῶς ἤδη κύκλῳ τεῖχος περὶ τὴν πόλιν ᾠκοδόμησεν. Αἰσθόμενος δέ, ὅτι ὁ σῖτος ἐν τῇ πόλει πολὺς ἐνείη, εὐετηρίας γενομένης τῷ πρόσθεν ἔτει, καὶ νομίσας χαλεπὸν ἔσεσθαι, εἰ δεήσει πολὺν χρόνον τρύχειν στρατείαις τήν τε πόλιν καὶ τοὺς συμμάχους, ἀπέχωσε τὸν ῥέοντα ποταμὸν

§. 3. V. καθελεῖν pro καθαιρεῖν. — F. V. ἑαυτὸν, Dind. αὑτὸν pro αὐτὸν. — αὑτοῦ B. D., ceteri αὐτοῦ. — ἡ τῶν Μ. πόλις πολλὰ ὑπ. B. D. E. F. V. Dind. pro πολλὰ ὑπ. ἡ τῶν Μ. πόλις. — ὑπηρετήκοι B. D. F. Schneid. pro ὑπηρετήκει. — V. πολέμου pro δήμου.

§. 4. ἐνέβαλλε B. C., ceteri ἐνέβαλε. — προκαθημένοις Bud. Steph. Schneid. edd. sqq. pro προςκαθ. — B. pr. m. ἐν τοῖς pro σὺν τοῖς. — ἐνείη B. D. E. F. I. V. Schneid. Dind. pro εἴη. — A. C. edd. vett. Schneid. Weisk. δεήσοι. — στρατείαις Steph. Schneid. Dind., στρατείᾳ Weisk., στρατιαῖς ceteri.

τριακονταετεῖς] Ergo pactae sunt illae induciae a. 416. a. Ch., sed quae fuerint, nescimus. Nam pugna illa apud Mantineam facta est iam a. 418 (Thucyd. V, 66. sqq.) et induciae illo tempore in quinquaginta, non in triginta annos pactae sunt.

§. 3. φρουρὰν φαίνουσιν] V. ad III, 2, 23.

τῷ πατρὶ αὐτοῦ] Archidamo, cui opem tulerant Mantineenses, quum Messenii a. 466. a. Ch. cum Helotibus contra Spartanos insurrexissent. Thuc. I, 101. Diodor. XI, 63 sq.

Πανσανίου] De quo v. III, 5, 25. Tum exsul erat Tegeae.

§. 4. καθῄρουν] οἱ Μαντινεῖς.

τοῖς — ἡμίσεσι τῶν στρατιωτῶν] V. ad IV, 1, 22. De dativo v. Buttm. §. 133. ann. 12. Rost. §. 106. ann. 1. Kuehn. §. 285. ann. 2.

σὺν τοῖς ὅπλοις] Si verum est, quod suspicatur Dindorfius, a recentiore demum manu in B. scriptum esse σύν pro ἐν, hoc praeferendum videtur.

νομίσας] V. ad III, 4, 12.

στρατείαις] sensu generali: *mit Feldzügen.*

πόλιν] civitatem Spartanam.

ῥέοντα ποταμὸν διὰ τῆς] De traiectione participii v. ad

5 διὰ τῆς πόλεως μάλ' ὄντα εὐμεγέθη. Ἐμφραχθείσης
δὲ τῆς ἀποῤῥοίας ᾔρετο τὸ ὕδωρ ὑπέρ τε τῶν ὑπὸ ταῖς
οἰκίαις καὶ ὑπὲρ τῶν ὑπὸ τῷ τείχει θεμελίων. Βρεχο-
μένων δὲ τῶν κάτω πλίνθων καὶ προδιδουσῶν τὰς ἄνω,
τὸ μὲν πρῶτον ἐῤῥήγνυτο τὸ τεῖχος, ἔπειτα δὲ καὶ ἐκλί-
νετο. Οἱ δὲ χρόνον μέν τινα ξύλα ἀντήρειδον καὶ ἐμη-
χανῶντο, ὡς μὴ πίπτοι ὁ πύργος· ἐπεὶ δὲ ἡττῶντο τοῦ
ὕδατος, δείσαντες, μὴ πεσόντος πῃ τοῦ κύκλῳ τείχους
δοριάλωτοι γένοιντο, ὡμολόγουν περιαιρήσειν. Οἱ δὲ
Λακεδαιμόνιοι οὐκ ἔφασαν σπείσεσθαι, εἰ μὴ καὶ διοι-
κιοῖντο κατὰ κώμας. Οἱ δ' αὖ νομίσαντες ἀνάγκην εἶ-
6 ναι συνέφασαν καὶ ταῦτα ποιήσειν. Οἰομένων δὲ ἀπο-
θανεῖσθαι τῶν ἀργολιζόντων καὶ τῶν τοῦ δήμου προ-
στατῶν, διεπράξατο ὁ πατὴρ παρὰ τοῦ Ἀγησιπόλιδος
ἀσφάλειαν αὐτοῖς γενέσθαι ἀπαλλαττομένοις ἐκ τῆς πό-
λεως, ἑξήκοντα οὖσι. Καὶ ἀμφοτέρωθεν μὲν τῆς ὁδοῦ
ἀρξάμενοι ἀπὸ τῶν πυλῶν ἔχοντες τὰ δόρατα οἱ Λακε-
δαιμόνιοι ἕστασαν, θεώμενοι τοὺς ἐξιόντας. Καὶ μι-
σοῦντες αὐτοὺς ὅμως ἀπείχοντο αὐτῶν ῥᾷον ἢ οἱ βέλ-

§. 5. A. edd. vett. ὑπὸ τείχει. — ἐμηχανῶντο B. C. D. E. F. I. V. marg. Leoncl. Dind. pro ἀντεμηχ. — δοριάλωτοι D. Dind. pro δορυάλ. — σπείσεσθαι F. V. Schneid. Dind. pro πεισ. — διοικιοῖντο Cobet., ceteri διοικοῖντο.

§. 6. ἀργολιζόντων Steph. Mor. edd. sqq., ἀργυρολογιζόντων libri et edd. vett. — ἕστασαν Dind., ἔστασαν B. C. D. E. F. V., ceteri ἔστησαν.

III, 4, 1. Fluvio nomen erat Ophis, quem Pausan. VIII, 8, 3. et Diod. XV, 12. παρὰ τὴν Μαντίνειαν fluere aiunt. Ergo quum ab Epaminonda restitueretur Mantinea, situs urbis mutatus est.

μάλ' ὄντα εὐμεγέθη] Diod. l. c. ποταμοῦ μεγάλην αὔξησιν ἐκ τῶν ὄμβρων λαβόντος.

§. 5. τῷ τείχει] ipsius urbis moenibus, non §. 4. commemorato, quem Lacedaemonii aedificaverant, muro.

προδιδουσῶν τὰς ἄνω] h. e. quae non sustinebant superiores. Cf. Herod. VII, 187: ὥστε οὐδέν μοι θῶυμα παρίσταται προδοῦναι τὰ ῥέεθρα τῶν ποταμῶν, ubi e sequentibus Schweighaeuser. subintelligit τοσαύτας μυριάδας. VIII, 52: τοῦ φράγματος προδεδωκότος scil. αὐτούς. Adhibebant enim Graeci ad aedificia saepius non igne duratos, sed crudos lateres, qui aqua facile diffluebant.

ὁ πύργος] qui muro, ut videtur, iniunctus erat.

διοικιοῖντο] Nunquam διοικεῖν seorsim habitare et διοικεῖσθαι prorsus barbarum esse docet Cobet. Nov. Lect. p. 285.

§. 6. ὁ πατήρ] Pausanias, de quo v. §. 3.

οἱ βέλτιστοι] optimates,

τιστοι τῶν Μαντινέων. Καὶ τοῦτο μὲν εἰρήσθω μέγα τεκμήριον πειθαρχίας. Ἐκ δὲ τούτου καθῃρέθη μὲν 7
τὸ τεῖχος, διῳκίσθη δ' ἡ Μαντίνεια τετραχῇ, καθάπερ τὸ ἀρχαῖον ᾤκουν. Καὶ τὸ μὲν πρῶτον ἤχθοντο, ὅτι τὰς μὲν ὑπαρχούσας οἰκίας ἔδει καθαιρεῖν, ἄλλας δὲ οἰκοδομεῖν· ἐπεὶ δὲ οἱ ἔχοντες τὰς οὐσίας ἐγγύτερον μὲν ᾤκουν τῶν χωρίων, ὄντων αὐτοῖς περὶ τὰς κώμας, ἀριστοκρατίᾳ δ' ἐχρῶντο, ἀπηλλαγμένοι δ' ἦσαν τῶν βαρέων δημαγωγῶν, ἥδοντο τοῖς πεπραγμένοις. Καὶ ἔπεμπον μὲν αὐτοῖς οἱ Λακεδαιμόνιοι οὐ καθ' ἕνα, ἀλλὰ κατὰ κώμην ἑκάστην ξεναγόν. Συνεστρατεύοντο δ' ἐκ τῶν κωμῶν πολὺ προθυμότερον ἢ ὅτε ἐδημοκρατοῦντο. Καὶ τὰ μὲν δὴ περὶ Μαντινείας οὕτω διεπέπρακτο, σοφωτέρων γενομένων ταύτῃ γε τῶν ἀνθρώπων τὸ μὴ διὰ τειχῶν ποταμὸν ποιεῖσθαι.

Οἱ δ' ἐκ Φλιοῦντος φεύγοντες αἰσθανόμενοι τοὺς 8
Λακεδαιμονίους ἐπισκοποῦντας τῶν συμμάχων ὁποῖοί A.Ch.
τινες ἕκαστοι ἐν τῷ πολέμῳ αὐτοῖς ἐγεγένηντο, καιρὸν ἡγησάμενοι ἐπορεύθησαν εἰς Λακεδαίμονα καὶ ἐδίδα-

§. 7. V. καθ' ἓν pro καθ' ἕνα. — τὸ μὴ B. V. Y. Schneid. Dind. pro τῷ μὴ.

§. 8. αἰσθανόμενοι B. D. I. V. Dind. pro αἰσθόμενοι. — τῶν συμμάχων B. D. E. V. I. Dind. pro τοὺς συμμάχους. — A. edd. vett.

qui favebant ὀλιγαρχίᾳ. Cf. ad II, 3, 32. ibid. §. 13.

§. 7. διῳκίσθη — τετραχῇ] Diod. XV, 5. Strab. VIII, p. 337 auctoribus una civitas Mantinea coiverat ex quinque κώμαις sive δήμοις, in quos pagos tum dispersi Mantineenses remigraverunt. Xenophontis dissensum ita tollunt, ut parti incolarum, ubi urbs steterat permissum esse manere statuant, qua parte non numerata Xenophon τετραχῇ, non πενταχῇ dicat.

οἱ ἔχοντες τὰς οὐσίας] divites, optimates.

τῶν χωρίων] agrorum suorum. De qua vi articuli v. ad III, 1, 5. IV, 3, 1.

ἀριστοκρατίᾳ δ' ἐχρῶντο] Cf. VI, 4, 18: ἀριστοκρατούμενοι.

οὐ καθ' ἕνα] non, quotiescunque mittunt, unum mittunt, i. e. non singulos. Cf. Herod. VII, 104: Λακεδαιμόνιοι κατὰ μὲν ἕνα (singuli) μαχεόμενοι οὐδαμῶν εἰσι κακίονες ἀνδρῶν et alia quae collegit Matth. gr. §. 581 b. p. 1154. Sed Xen. de rep. Lac. IV, 5: καθ' ἕνα ἀρήξουσι τῇ πόλει παντὶ σθένει Sauppius recte interpretatur καθ' ἕνα: ut sint pro uno, ut est καθ' ἓν infra V, 2, 16.

τὸ — ποιεῖσθαι] pendet a σοφωτέρων. Per ταύτῃ introducitur quodammodo infinitivus cum articulo, ut saepius per τοῦτο vel ἐκεῖνο, de quo usu v. ad IV, 1, 2.

§. 8. Οἱ δ' ἐκ Φλιοῦντος φεύγοντες] De re v. IV, 4, 15.

σκον, ὡς, ἕως μὲν σφεῖς οἴκοι ἦσαν, ἐδέχετό τε ἡ πόλις τοὺς Λακεδαιμονίους εἰς τὸ τεῖχος καὶ συνεστρατεύοντο ὅποι ἡγοῖντο· ἐπεὶ δὲ σφᾶς αὐτοὺς ἐξέβαλον, ὡς ἕπεσθαι μὲν οὐδαμοῦ ἐθέλοιεν, μόνους δὲ πάντων ἀνθρώπων Λακεδαιμονίους οὐ δέχοιντο εἴσω τῶν πυλῶν.
9 Ἀκούσασιν οὖν ταῦτα τοῖς ἐφόροις ἄξιον ἔδοξεν ἐπιστροφῆς εἶναι. Καὶ πέμψαντες πρὸς τὴν τῶν Φλιασίων πόλιν ἔλεγον, ὡς φίλοι μὲν οἱ φυγάδες τῇ Λακεδαιμονίων πόλει εἶεν, ἀδικοῦντες δ' οὐδὲν φεύγοιεν. Ἀξιοῦν δ' ἔφασαν μὴ ὑπ' ἀνάγκης, ἀλλὰ παρ' ἑκόντων διαπράξασθαι κατελθεῖν αὐτούς. Ἃ δὴ ἀκούσαντες οἱ Φλιάσιοι ἔδεισαν, μὴ εἰ στρατεύσαιντο ἐπ' αὐτούς, τῶν ἔνδοθεν παρείησάν τινες αὐτοὺς εἰς τὴν πόλιν. Καὶ γὰρ συγγενεῖς πολλοὶ ἔνδον ἦσαν τῶν φευγόντων καὶ ἄλλως εὐμενεῖς, καί, οἷα δὴ ἐν ταῖς πλείσταις πόλεσι, νεωτέρων τινὲς ἐπιθυμοῦντες πραγμάτων κατάγειν
10 ἐβούλοντο τὴν φυγήν. Τοιαῦτα μὲν δὴ φοβηθέντες ἐψηφίσαντο καταδέχεσθαι τοὺς φυγάδας καὶ ἐκείνοις μὲν ἀποδοῦναι τὰ ἐμφανῆ κτήματα, τοὺς δὲ τὰ ἐκείνων

εἰς τεῖχος. — C. E. ὅπη pro ὅποι. — B. I. Steph. Leoncl. σφᾶς αὐτοί. — οὐδαμοῦ B. C. D. E. F. V. marg. Leoncl., οὐδαμοῖ Dind., οὐδαμῶς ceteri. — V. οὐκ ἐδέχοντο.

§. 9. οὖν B. D. E. F. I. V. Dind. pro δή, E. δέ. — αὐτοὺς εἰς τ. π. B. D. E. F. V. Dind. pro εἰς τ. π. αὐτούς.

§. 10. τοὺς — πριαμένους margg. Steph. et Leoncl. Wells. Weisk. edd. sqq. pro τοῖς — πριαμένοις. — V. μὲν δή pro μὲν αὖ.

συνεστρατεύοντο] οἱ Φλιάσιοι. De qua synesi v. ad I, 4, 12. IV, 3, 2. 13.

σφᾶς αὐτούς] Cobetus male delet αὐτούς. Altera opponitur alteri factio Phliasiorum. Cf. V, 3, 12. VII, 5, 4. Krueger. gr. §. 51, ann. 7. Herbt. de Cobeti in Thuc. emend. p. 13.

οὐδαμοῦ] Cf. II, 3, 54. ad οὖ.

§. 9. διαπράξασθαι] De aoristi infinitivo suspenso ab ἀξιοῦν v. ad V, 1, 32.

τῶν ἔνδοθεν] De attractione v. ad III, 1, 18. Sensus est: ne, qui in urbe relicti essent, inde (h. e. ex urbe) molirentur aliquid ut intromitterent illos (Spartanos cum exsulibus) in urbem.

εὐμενεῖς] scil. τοῖς φεύγουσι.

οἷα δή] quemadmodum quidem, iungendum cum verbis ἐν ταῖς πλείσταις πόλεσι: atque, quemadmodum quidem in plurimis civitatibus, novarum quidam rerum cupidi exsules reducere volebant. Cf. ad IV, 1, 24. 5, 4.

τὴν φυγήν] i. e. τοὺς φυγάδας, ut IV, 8, 24. VI, 1, 13: πέμπειν συμμαχίαν pro πέμπειν συμμάχους. Multa huius generis v. apud Lobeck. ad Phryn. p. 469. Bernh. Synt. p. 47. Rost. §. 97. 2. α. β.

§. 10. ἐμφανῆ] de quibus nulla esset controversia. Opponitur εἰ δέ τι ἀμφίλογον κ. τ. λ.

*πριαμένους ἐκ δημοσίου τὴν τιμὴν ἀπολαβεῖν· εἰ δέ τι ἀμφίλογον πρὸς ἀλλήλους γίγνοιτο, δίκῃ διακριθῆναι. Καὶ ταῦτα μὲν αὖ περὶ τῶν Φλιασίων φυγάδων ἐν ἐκείνῳ τῷ χρόνῳ ἐπέπρακτο.*

*Ἐξ Ἀκάνθου δὲ καὶ Ἀπολλωνίας, αἵπερ μέγισται* 11
*τῶν περὶ Ὄλυνθον πόλεων, πρέσβεις ἀφίκοντο εἰς Λα-* A.Ch. a
*κεδαίμονα. Ἀκούσαντες δ' οἱ ἔφοροι ὧν ἕνεκα ἧκον, προςήγαγον αὐτοὺς πρός τε τὴν ἐκκλησίαν καὶ τοὺς*
*συμμάχους. Ἔνθα δὴ Κλειγένης Ἀκάνθιος ἔλεξεν, Ὦ* 12
*ἄνδρες Λακεδαιμόνιοί τε καὶ σύμμαχοι, οἰόμεθα λανθάνειν ὑμᾶς πρᾶγμα μέγα φυόμενον ἐν τῇ Ἑλλάδι. Ὅτι μὲν γὰρ τῶν ἐπὶ Θρᾴκης μεγίστη πόλις Ὄλυνθος σχεδὸν πάντες ἐπίστασθε. Οὗτοι τῶν πόλεων προςηγάγοντο, ἐφ' ᾧτε νόμοις τοῖς αὐτοῖς χρῆσθαι καὶ συμπολιτεύειν· ἔπειτα δὲ καὶ τῶν μειζόνων προςέλαβόν τινας. Ἐκ δὲ τούτου ἐπεχείρησαν καὶ τὰς τῆς Μακεδονίας πόλεις ἐλευθεροῦν ἀπὸ Ἀμύντου τοῦ Μακεδόνων*

§. 12. Ante *σύμμαχοι* om. *οἱ* B. D. E. H. I. V. Dind. — *μέγα* addunt B. Dind. — Post *προςηγάγοντο* om. *ἔστιν ἃς* B. C. D. E. F. H. I. V. Dind. — *νόμοις τοῖς αὐτοῖς χρ.* B. C. D. E. F. V. Dind. pro *τοῖς αὐτοῖς χρ. νόμοις.* — *τοῦ Μακ. βασιλέως* B. D. V. Dind. pro *τοῦ βασ. Μακ.*

*ἀπολαβεῖν*] sua recuperare, ut *ἀποδοῦναι* est reddere. Ergo non debebat Morus *τοῖς — πριαμένοις* ut „dativum commodi" servare.

*πρὸς ἀλλήλους*] h. e. *αὐτοῖς* (*αὐτοῖς καὶ τοῖς πριαμένοις*) *πρὸς ἀλλήλους.* Cf. ad IV, 3, 11.

§. 11. *τὴν ἐκκλησίαν καὶ τοὺς συμμάχους*] V. ad III, 3, 8: *τὴν μικρὰν ἐκκλησίαν.*

§. 12. *πρᾶγμα μέγα*] Etiam sine adiectivo *πρᾶγμα* dicitur de periculo Anab. IV, 1, 17. VI, 6, 18. al. Sed hic propter *φυόμενον* deesse vix potest.

*ὅτι μέν*] In mente habet scriptor: quae autem moliatur haec civitas, ignorare videmini. V. ad III, 1, 5. 4, 9.

*μεγίστη πόλις*] *ἐστί.*

*οὗτοι*] Olynthii. De synesi v. ad IV, 3, 2. 13. Ceterum saepissime Xenophontem uti oratione *ἀσυνδέτῳ*, ubi enuntiatio a demonstrativo pronomine ordiatur, observat Kuehner. ad Anab. I, 1, 9. V, 4, 31. V. infra ad V, 4, 18.

*τῶν πόλεων*] De genitivo partitivo v. ad III, 1, 4. 3, 8. IV, 3, 14. 4, 13. Minores intelligendas esse urbes apparet ex sequentibus.

*ἀπὸ Ἀμύντου*] Amyntas regno suo ab Illyriis pulsus eam regionem, quae Olynthiis vicina erat, iis concesserat. Qui postea Illyriis superior factus eas urbes Macedoniae et Chalcidices, quas Olynthii in suam societatem traxerant, recuperaturus bellum gessit cum Olynthiis. V. Diod. XIV, 92. XV, 19. Grotium p. 348. sq.

13 βασιλέως. Ἐπεὶ δὲ εἰσήκουσαν αἱ ἐγγύτατα αὐτῶν, ταχὺ καὶ ἐπὶ τὰς πόῤῥω καὶ μείζους ἐπορεύοντο· καὶ κατελίπομεν ἡμεῖς ἔχοντας ἤδη ἄλλας τε πολλὰς καὶ Πέλλαν, ἥπερ μεγίστη τῶν ἐν Μακεδονίᾳ πόλεων· καὶ Ἀμύνταν δὲ ᾐσθανόμεθα ἀποχωροῦντά τε ἐκ τῶν πόλεων καὶ ὅσον οὐκ ἐκπεπτωκότα ἤδη ἐκ πάσης Μακεδονίας. Πέμψαντες δὲ καὶ πρὸς ἡμᾶς καὶ πρὸς Ἀπολλωνιάτας οἱ Ὀλύνθιοι προεῖπον ἡμῖν, ὅτι, εἰ μὴ παρεσόμεθα συστρατευσόμενοι, ἐκεῖνοι ἐφ' ἡμᾶς ἴοιεν.
14 Ἡμεῖς δέ, ὦ ἄνδρες Λακεδαιμόνιοι, βουλόμεθα μὲν τοῖς πατρίοις νόμοις χρῆσθαι καὶ αὐτοπολῖται εἶναι· εἰ μέντοι μὴ βοηθήσει τις, ἀνάγκη καὶ ἡμῖν μετ' ἐκείνων γίγνεσθαι. Καίτοι νῦν γ' ἤδη αὐτοῖς εἰσὶν ὁπλῖται μὲν οὐκ ἐλάττους ὀκτακοσίων, πελτασταὶ δὲ πολὺ πλείους ἢ τοσοῦτοι· ἱππεῖς γε μέντοι, ἐὰν καὶ ἡμεῖς
15 μετ' αὐτῶν γενώμεθα, ἔσονται πλείους ἢ χίλιοι. Κατελίπομεν δὲ καὶ Ἀθηναίων καὶ Βοιωτῶν πρέσβεις ἤδη αὐτόθι. Ἠκούομεν δέ, ὡς καὶ αὐτοῖς Ὀλυνθίοις ἐψηφισμένον εἴη συμπέμπειν πρέσβεις εἰς ταύτας τὰς πόλεις περὶ συμμαχίας. Καίτοι εἰ τοσαύτη δύναμις προσγενήσεται τῇ τε Ἀθηναίων καὶ Θηβαίων ἰσχύϊ, ὁρᾶτε, ἔφη, ὅπως μὴ οὐκέτι εὐμεταχείριστα ἔσται ἐκεῖνα ὑμῖν.

§. 13. *ᾐσθανόμεθα* B. D. E. F. H. Dind. pro *αἰσθανόμεθα*. — *ἐκ πάσης* B. marg. Leoncl. Schneid. Dind. pro *ἁπάσης*. — Dind. *παρεσοίμεθα*. — *συστρατευσόμενοι* B. Steph. Leoncl. Schneid. Dind. pro *συστρατευόμενοι*.

§. 14. *αὐτοπολῖται* Vales. Schaef. Schneid. Dind. cl. Thuc. V, 79. pro *αὐτοὶ πολῖται*. — *βοηθήσει* C. D. E. F. V. Schaef. Schneid. Dind. pro *βοηθήσοι*; B. *βοηθήσῃ*. — A. edd. vett. *ἡμᾶς* pro *ἡμῖν*. — *καίτοι νῦν γ' ἤδη* Wolf. Schneid. Dind. pro *καὶ τοίνυν γε δή*.

§. 15. *ἔσται ἐκεῖνα* B. D. E. F. H. V. Dind. pro *ἐκεῖνα ἔσται*. —

§. 13. *ὅσον οὐκ*] tantum non, paene. Infra VI, 2, 16. 24.

*παρεσόμεθα*] De indicativo v. ad II, 3, 50. Xenophon in animo videtur habuisse deinceps dicere *ἐκεῖνοι ἐφ' ἡμᾶς ἴασιν*. Vice versa IV, 8, 6: *ὡς εἰ μὴ ἐκπέμψοιεν τοὺς Λακεδαιμονίους, πόλεμον ἐξοίσει πρὸς αὐτούς*. Item V, 4, 36. V. etiam Kuehner. ad Anab. I, 9, 10.

§. 14. *ὀκτακοσίων*] Vitium videtur esse in numero, si quidem de Olynthiorum non solum, sed etiam de sociorum graviter armatis cogitandum est. Accedit quod equites numerantur plus mille, quorum numerum pedites multo solent superare. Sed qui numerus reponendus sit, non liquet.

§. 15. *ἐκεῖνα*] h. e. *τὰ ἐκεῖ*. Cf. ad IV, 2, 3.

*τεκμήριον δέ τι*] aliquod vero argumentum. Thuc. I, 34: *καὶ ὑμῖν ἔστω τι τεκμήριον ἃ πρὸς ἡμᾶς τοὺς ξυγγενεῖς δρῶσι*. Eo minus desideramus *ἔτι*, quod sequitur *καί*.

Ἐπεὶ δὲ καὶ Ποτίδαιαν ἔχουσιν ἐπὶ τῷ ἰσθμῷ τῆς Παλλήνης οὖσαν, νομίζετε καὶ τὰς ἐντὸς ταύτης πόλεις ὑπηκόους ἔσεσθαι αὐτῶν. Τεκμήριον δέ τι ἔστω ὑμῖν καὶ τοῦτο, ὅτι ἰσχυρῶς αὗται αἱ πόλεις πεφόβηνται· μάλιστα γὰρ μισοῦσαι τοὺς Ὀλυνθίους ὅμως οὐκ ἐτόλμησαν μεθ' ἡμῶν πρέσβείας πέμπειν διδαξούσας ταῦτα
16 Ἐννοήσατε δὲ καὶ τόδε, πῶς εἰκὸς ὑμᾶς τῆς μὲν Βοιωτίας ἐπιμεληθῆναι, ὅπως μὴ καθ' ἓν εἴη, πολὺ δὲ μείζονος ἀθροιζομένης δυνάμεως ἀμελῆσαι, καὶ ταύτης οὐ κατὰ γῆν μόνον, ἀλλὰ καὶ κατὰ θάλατταν ἰσχυρᾶς γιγνομένης. Τί γὰρ δὴ καὶ ἐμποδών, ὅπου ξύλα μὲν ναυπηγήσιμα ἐν αὐτῇ τῇ χώρᾳ ἐστί, χρημάτων δὲ πρόςοδοι ἐκ πολλῶν μὲν λιμένων, πολλῶν δὲ ἐμπορίων, πολυανθρωπία γε μὴν διὰ τὴν πολυσιτίαν ὑπάρχει;
17 Ἀλλὰ μὴν καὶ γείτονές γ' εἰσὶν αὐτοῖς Θρᾷκες οἱ ἀβασίλευτοι, οἳ θεραπεύουσι μὲν καὶ νῦν ἤδη τοὺς Ὀλυνθίους· εἰ δὲ ὑπ' ἐκείνους ἔσονται, πολλὴ καὶ αὕτη δύναμις προςγένοιτ' ἂν αὐτοῖς. Τούτων μὴν ἀκολουθούντων καὶ τὰ ἐν τῷ Παγγαίῳ χρύσεια χεῖρα ἂν αὐτοῖς ἤδη ὀρέγοι. Καὶ τούτων ἡμεῖς οὐδὲν λέγομεν ὅ τι

V. Dind. δ' ἔτι pro δέ τι. — ὑμῖν post ἔστω addunt B. D. H. I. V. Steph. Leoncl. Dind. — F. addit καὶ ante ἰσχυρῶς.

§. 16. ἰσχυρᾶς B. D. H. Brod. Cast. Steph. Leoncl. Schneid. edd. sqq. pro ἰσχυρῶς. — γιγνομένης Schneid. Dind. pro γενομένης. — Ante alterum πολλῶν repetunt ἐκ H. I. V. — B. παρέχει pro ὑπάρχει.

§. 17. γ' post γείτονες addunt B. F. H. V. Dind. — ἤδη addunt

§. 16. καθ' ἓν εἴη] V. ad §. 7.

ὑμᾶς τῆς μὲν — πολὺ δέ] quum operam detis, ne Boeotia se coniungat, tamen — negligere. Copulantur inter se per μέν et δέ duae enuntiationes, quarum alteri altera subiecta esse debebat, de quo dicendi usu v. adn. ad Comment. I, 4, 17. Cyrop. II, 2, 5. Kuehn. ad Comment. I, 6, 5.

§. 17. Ἀλλὰ μὴν καὶ — γε] De frequenti harum particularum coniunctione v. ad Ages. VIII, 3: ἀλλὰ μὴν καὶ τῇ μεγαλογνωμοσύνῃ γε —. Kuehner. ad Comment. I, 1, 6.

Θρᾷκες οἱ ἀβασίλευτοι] Quos Thuc. II, 29: μέρος αὐτόνομον Θρᾳκῶν dicit, ubi habitationes eorum accuratius designavit. Schneider.

ὑπ' ἐκείνους ἔσονται] De accusativo v. Kuehn. §. 299. III, 3. Cyrop. I, 5, 3. 5, 23. VI, 2, 11. Thuc. VI, 86, 4. In his εἶναι per praegnantiam quandam verbi γίγνεσθαι, ut vice versa nonnunquam γίγνεσθαι, ubi cum ὑπό τινι iungitur (Anab. VII, 2, 2. 7, 32) verbi εἶναι notionem adsciscere videtur. Cf. V, 4, 64. Herbst. de Cobeti in Thuc. emend. p. 27. sq.

πολλὴ καὶ αὕτη δύναμις] h. e. πολλὴ (οὖσα) δύναμις καὶ αὕτη. Cf. V, 3, 10.

χεῖρα ἂν — ὀρέγοι] adiumento erunt.

οὐ καὶ ἐν τῷ τῶν Ὀλυνθίων δήμῳ μυριόλεκτόν ἐστι.
18 Τό γε μὴν φρόνημα αὐτῶν τί ἄν τις λέγοι; Καὶ γὰρ ὁ θεὸς ἴσως ἐποίησεν ἅμα τῷ δύνασθαι καὶ τὰ φρονήματα αὔξεσθαι τῶν ἀνθρώπων. Ἡμεῖς μὲν οὖν, ὦ ἄνδρες Λακεδαιμόνιοί τε καὶ σύμμαχοι, ἐξαγγέλλομεν, ὅτι οὕτως τἀκεῖ ἔχει· ὑμεῖς δὲ βουλεύεσθε, εἰ δοκεῖ ἄξια ἐπιμελείας εἶναι. Δεῖ γε μὴν ὑμᾶς καὶ τόδε εἰδέναι, ὡς ἣν εἰρήκαμεν δύναμιν μεγάλην οὖσαν, οὔπω δυςπάλαιστός ἐστιν· αἵ γὰρ ἄκουσαι τῶν πόλεων τῆς πολιτείας κοινωνοῦσαι, αὗται, ἄν τε ἴδωσιν ἀντίπαλον, ταχὺ ἀπο-
19 στήσονται· εἰ μέντοι συγκλεισθήσονται ταῖς τε ἐπιγαμίαις καὶ ἐγκτήσεσι παρ' ἀλλήλοις, ἃς ἐψηφισμένοι εἰσί, καὶ γνώσονται, ὅτι μετὰ τῶν κρατούντων ἕπεσθαι κερδαλέον ἐστίν, ὥςπερ Ἀρκάδες, ὅταν μεθ' ὑμῶν ἴωσι, τά τε αὑτῶν σώζουσι καὶ τὰ ἀλλότρια ἁρπάζουσιν, ἴσως οὐκέθ' ὁμοίως εὔλυτα ἔσται.

20 Λεχθέντων δὲ τούτων, ἐδίδοσαν οἱ Λακεδαιμόνιοι τοῖς συμμάχοις λόγον καὶ ἐκέλευον συμβουλεύειν ὅ τι γιγνώσκει τις ἄριστον τῇ Πελοποννήσῳ τε καὶ τοῖς συμμάχοις. Ἐκ τούτου μέντοι πολλοὶ μὲν συνηγόρευον στρατιὰν ποιεῖν, μάλιστα δὲ οἱ βουλόμενοι χαρίζεσθαι τοῖς Λακεδαιμονίοις, καὶ ἔδοξε πέμπειν τὸ εἰς τοὺς μυ-

B. D. E. F. H. I. V. Steph. Leoncl. Schneid. Dind. — H. V. οὐκ pro οὐ καὶ.

§. 18. ὁ θεὸς ἴσως B. D. E. F. V. Dind. pro ἴσως ὁ θεὸς. — οὕτως τἀκεῖ ἔχει B., sed οὕτως interposito inter versus; οὕτω τἀκεῖ ἔχει D. F. V., οὕτω τὰ ἐκεῖ ἔχει Y, ceteri τἀκεῖ οὕτως ἔχει, nisi quod Dind. οὕτως ἔχει τἀκεῖ dedit. — Post δυςπάλαιστος om. τις A. B. D. H. I. V. Dind.

§. 19. τε post ταῖς addunt B. C. I. Leoncl. Steph. Dind. — παρ' ἀλλήλοις D. V. et, ut videtur, B. Dind., παραλλήλοις E. H., παραλλήλαις ceteri, sed Schneid. παρ' ἀλλήλαις.

§. 20. τε post Πελοπον. addunt B. D. F. I. Dind. — C. χαρίζ. βουλ. — τὸ ante εἰς τοὺς addunt B. I. V. Dind. — D. Ἀκανθίους, V.

§. 19. ἀλλήλοις] refertur per synesin ad πόλεων. V. §. 12. ad οὗτοι.

μετὰ τῶν κρατούντων ἕπεσθαι] Alias ἕπεσθαι μετά τινος (vel σύν τινι) nonnunquam est a latere sequi aliquem: sed memorabilis hic locus est, quo significat sequi eos, qui ἡγοῦνται, i. e. qui imperium habent. Cf. II, 2, 20.

εὔλυτα] scil. τὰ ἐκείνων, illorum societas vel opes.

§. 20. ἐδίδοσαν — λόγον] loquendi potestatem dederunt, ut I, 1, 28.

στρατιὰν ποιεῖν] exercitum cogere.

τὸ εἰς τοὺς μυρίους σύνταγμα] De articulo ante nomen numerale posito v. ad VII, 2, 9.

ρίους σύνταγμα ἑκάστην πόλιν. Λόγοι δὲ ἐγένοντο ἀρ- 21
γύριόν τε ἀντ' ἀνδρῶν ἐξεῖναι διδόναι τῇ βουλομένῃ
τῶν πόλεων, τριώβολον Αἰγιναῖον κατ' ἄνδρα, ἱππέας
τε εἴ τις παρέχοι, ἀντὶ τεττάρων ὁπλιτῶν τὸν μισθὸν
τῷ ἱππεῖ δίδοσθαι· εἰ δέ τις τῶν πόλεων ἐκλίποι τὴν 22
στρατιάν, ἐξεῖναι Λακεδαιμονίοις ἐπιζημιοῦν στατῆρι
κατὰ τὸν ἄνδρα τῆς ἡμέρας. Ἐπεὶ δὲ ταῦτα ἔδοξεν, 23
ἀναστάντες οἱ Ἀκάνθιοι πάλιν ἐδίδασκον, ὡς ταῦτα
καλὰ μὲν εἴη τὰ ψηφίσματα, οὐ μέντοι δυνατὰ ταχὺ
περανθῆναι. Βέλτιον οὖν ἔφασαν εἶναι, ἐν ᾧ αὕτη ἡ
παρασκευὴ ἀθροίζοιτο, ὡς τάχιστα ἄνδρα ἐξελθεῖν ἄρ-
χοντα καὶ δύναμιν ἐκ Λακεδαίμονός τε, ὅση ἂν ταχὺ
ἐξέλθοι, καὶ ἐκ τῶν ἄλλων πόλεων· τούτου γὰρ γενο-
μένου, τάς τε οὔπω προςκεχωρηκυίας πόλεις στῆναι ἂν
καὶ τὰς βεβιασμένας ἧττον ἂν συμμαχεῖν. Δοξάντων 24
δὲ καὶ τούτων, ἐκπέμπουσιν οἱ Λακεδαιμόνιοι Εὐδαμί-
δαν καὶ σὺν αὐτῷ νεοδαμώδεις τε καὶ τῶν περιοίκων
καὶ τῶν Σκιριτῶν ἄνδρας ὡς δισχιλίους. Ὁ μέντοι Εὐ-

συμμάχους pro μυρίους. — Ante ἑκάστην inclusit εἰς Schneid., om. B. D. I. V. Dind.

§. 21. τὸν ante μισθὸν addunt B. C. D. E. F. I. V. Schneid. Dind.

§. 22. D. V. εἰςφορὰν, Leoncl. edd. sqq. στρατείαν pro στρατιὰν, quod restituerunt Schneid. Dind. — Ante Λακεδ. om. τοῖς B. D. V. Dind.

§. 23. πάλιν B. C. D. E. I. V. Steph. Leoncl. Schneid. Dind. pro πάντες. — A. C. D. E. F. edd. vett. οὕτω pro οὔπω.

§. 24. καὶ post δὲ addunt B.C.D.E.I.V. Steph. Leoncl. Schneid. Dind. — τῶν ante Σκιρ. addunt B. E. I. V. Steph. Leoncl. Schneid. Dind.

Decretum est, ut quaelibet sociorum civitas pro rata parte tot milites mitteret, quot ad conficiendum σύνταγμα decem milium mittere opus esset. Cf. Diod. XV, 19. Infra §. 37. VI, 2, 3. Ages. I, 7: ἐὰν δῶσιν. αὐτῷ — εἰς ἑξακισχιλίους — τὸ σύνταγμα τῶν συμμάχων.

§. 21. κατ' ἄνδρα] scil. in diem. De re cf. Thuc. V, 47.

παρέχοι] De παρέχειν et παρέχεσθαι v. ad Oecon. IV, 7. Ages. I, 24.

ἀντὶ τεττάρων ὁπλιτῶν] Diod. XV, 31: ἦν δ' αὐτοῖς ὁ μὲν ὁπλίτης πρὸς δύο ψιλοὺς τεταγμένος, ὁ δ' ἱππεὺς πρὸς τέτταρας ὁπλίτας ἰσαζόμενος.

§. 23. προςκεχωρηκυίας] scil. τοῖς Ὀλυνθίοις.

στῆναι] cessare, se non adiungere Olynthiis.

§. 24. νεοδαμώδεις] V. ad III, 1, 4.

τῶν Σκιριτῶν] cohortis cuiusdam egregie fortis et ex incolis oppidi Σκῖρος collectae. V. Cyrop. IV, 2, 1. Diod. XV, 32. Thuc. V, 67. Haec et alia Sturz. lex. Xen.

δαμίδας ἐξιὼν Φοιβίδαν τὸν ἀδελφὸν ἐδεήθη τῶν ἐφόρων τοὺς ὑπολειπομένους τῶν ἑαυτῷ προςτεταγμένων ἀθροίσαντα μετιέναι· αὐτὸς δὲ ἐπεὶ ἀφίκετο εἰς τὰ ἐπὶ Θρᾴκης χωρία, ταῖς μὲν δεομέναις τῶν πόλεων φρουροὺς ἔπεμπε, Ποτίδαιαν δὲ καὶ προςέλαβεν ἑκοῦσαν, σύμμαχον ἤδη ἐκείνων οὖσαν, καὶ ἐντεῦθεν ὁρμώμενος ἐπολέμει ὥςπερ εἰκὸς τὸν ἐλάττω ἔχοντα δύναμιν.

25 Ὁ δὲ Φοιβίδας, ἐπεὶ ἠθροίσθησαν αὐτῷ οἱ ὑπολειφθέντες τοῦ Εὐδαμίδου, λαβὼν αὐτοὺς ἐπορεύετο. Ὡς δ' ἐγένοντο ἐν Θήβαις, ἐστρατοπεδεύσαντο μὲν ἔξω τῆς πόλεως περὶ τὸ γυμνάσιον· στασιαζόντων δὲ τῶν Θηβαίων, πολεμαρχοῦντες μὲν ἐτύγχανον Ἰσμηνίας τε καὶ Λεοντιάδης, διάφοροι δὲ ὄντες ἀλλήλοις καὶ ἀρχηγὸς ἑκάτερος τῶν ἑταιριῶν. Ὁ μὲν οὖν Ἰσμηνίας διὰ τὸ μῖσος τῶν Λακεδαιμονίων οὐδὲ ἐπλησίαζε τῷ Φοιβίδᾳ· ὁ μέντοι Λεοντιάδης ἄλλως τε ἐθεράπευεν αὐτὸν καί,
26 ἐπεὶ εἰςῳκειώθη, ἔλεγε τάδε. Ἔξεστί σοι, ὦ Φοιβίδα, τῇδε τῇ ἡμέρᾳ μέγιστα ἀγαθὰ τῇ σεαυτοῦ πατρίδι ὑπουργῆσαι· ἐὰν γὰρ ἀκολουθήσῃς ἐμοὶ σὺν τοῖς ὁπλίταις, εἰςάξω σε ἐγὼ εἰς τὴν ἀκρόπολιν. Τούτου δὲ γενομένου, νόμιζε τὰς Θήβας παντάπασιν ὑπὸ Λακεδαι-
27 μονίοις καὶ ἡμῖν τοῖς ὑμετέροις φίλοις ἔσεσθαι. Καί-

§. 25. A. Ὡς δ' ἐγένετο. — Ante Θήβαις om. ταῖς B. D. E. F. I. V. Dind. — B. ἐστρατοπεδεύσατο. — ἀρχηγὸς B. D. E. F. H. I. V. margg. Steph. et Leoncl., Schneid. Dind. pro στρατηγὸς. — οὖν post μὲν addunt B. C. D. V. Schneid. Dind. — τάδε B. C. D. E. H. Dind. pro τοιάδε.

§. 26. Ante Λακεδ. om. τοῖς B. D. I. V. Dind.

§. 27. Ante Leoncl. edebatur καὶ τοίνυν. — Dind. ἔσει pro ἔσῃ.

Φοιβίδαν] Hunc ante Eudamidam missum esse eique submoto ab imperio successisse Eudamidam narrat Diod. XV, 20. extr.

τῶν ἑαυτῷ προςτεταγμένων] His verbis non decem illa milia significari, quae cogere decretum est §. 20, intelligitur ex sequentibus. Decreti exercitus parti praeficitur Eudamidas. Cum altera parte mittitur Teleutias §. 37, qui ubi pervenit Potidaeam, omnium decem milium suscipit imperium §. 39.

ἐκείνων] Olynthiorum.

§. 25. ἐν Θήβαις] in agro Thebano. Cf. IV, 4, 15: εἰς Φλιοῦντα.

γυμνάσιον] Ante portas Proetidas fuit gymnasium Iolai et stadium et ad dextram hippodromus, auctore Paus. IX, 23, 1. Schneider.

πολεμαρχοῦντες] Apud Thebanos πολέμαρχοι sunt magistratus, ad quos summa rei militaris pertinet.

τοι νῦν μέν, ὡς ὁρᾷς, ἀποκεκήρυκται μηδένα μετὰ σοῦ στρατεύειν Θηβαίων ἐπ' Ὀλυνθίους· ἐὰν δέ γε σὺ ταῦτα μεθ' ἡμῶν πράξῃς, εὐθύς σοι ἡμεῖς πολλοὺς μὲν ὁπλίτας, πολλοὺς δὲ ἱππέας συμπέμψομεν· ὥςτε πολλῇ δυνάμει βοηθήσεις τῷ ἀδελφῷ καί, ἐν ᾧ μέλλει ἐκεῖνος Ὄλυνθον καταστρέφεσθαι, σὺ κατεστραμμένος ἔσῃ Θήβας, πολὺ μείζω πόλιν Ὀλύνθου. Ἀκούσας δὲ ταῦτα 28
ὁ Φοιβίδας ἀνεκουφίσθη· καὶ γὰρ ἦν τοῦ λαμπρόν τι ποιῆσαι πολὺ μᾶλλον ἢ τοῦ ζῆν ἐραστής, οὐ μέντοι λογιστικός γε, οὐδὲ πάνυ φρόνιμος ἐδόκει εἶναι. Ἐπεὶ δὲ ὡμολόγησε ταῦτα, προορμῆσαι μὲν αὐτὸν ἐκέλευσεν, ὥςπερ συνεσκευασμένος ἦν εἰς τὸ ἀπιέναι· ἡνίκα δ' ἂν ᾖ καιρός, πρὸς σὲ ἥξω ἐγώ, ἔφη ὁ Λεοντιάδης, καὶ αὐτός σοι ἡγήσομαι. Ἐν ᾧ δὲ ἡ μὲν βουλὴ ἐκάθητο ἐν τῇ 29
ἐν ἀγορᾷ στοᾷ διὰ τὸ τὰς γυναῖκας ἐν τῇ Καδμείᾳ θεσμοφοριάζειν, θέρους δὲ ὄντος καὶ μεσημβρίας πλείστη ἦν ἐρημία ἐν ταῖς ὁδοῖς, ἐν τούτῳ προςελάσας ἐφ' ἵππου ὁ Λεοντιάδης ἀποστρέφει τε τὸν Φοιβίδαν καὶ ἡγεῖται εὐθὺς εἰς τὴν ἀκρόπολιν. Καταστήσας δ' ἐκεῖ τὸν Φοιβίδαν καὶ τοὺς μετ' αὐτοῦ καὶ παραδοὺς τὴν βαλανάγραν αὐτῷ τῶν πυλῶν καὶ εἰπὼν μηδένα παριέ-

§. 28. *πάνυ φρον.* B. D. F. V. Dind. pro *φρον. πάνυ.* — V. *σοι εἰςηγήσομαι.*

§. 29. *ἐν τῇ ἐν ἀγορᾷ* B. D. V. Dind., *ἐν τῇ ἀγορᾷ* C. E., ceteri *ἐν τῇ ἀγορᾶς.* — *τε* post *ἀποστρέφει* addunt B. V. Dind. — V. *ἔρχονται* pro *ἡγεῖται εὐθύς.* — *τὴν βαλ. αὐτῷ* B. D. F. V. Dind. pro *αὐτῷ*

§. 27. *μηδένα — στρατεύειν — ἐπ' Ὀλυνθίους*] Nam de foedere inter Thebanos et Olynthios agebatur §. 15. Cf. infra §. 34.

§. 29. *βουλή — ἐκάθητο*] Ex sequentibus apparet, alias in acropolim convenisse senatum.

*ἐν τῇ ἐν ἀγορᾷ στοᾷ*] Hunc locum Hertlin. comparat cum Anab. V, 3, 8: *ἐν δὲ τῷ ἐν Σκιλλοῦντι χωρίῳ.* Cf. infra ad VI, 5, 24.

*θεσμοφοριάζειν*] Dum Thesmophoria agerentur, occupatam esse Cadmeam a Thebanis etiam Plut. Pelop. v. narrat.

*θέρους — ὄντος*] Thebanorum igitur Thesmophoria alio anni tempore celebrabantur atque Atheniensium; nam haec incidebant in Pyanepsionem mensem, h. e. in Octobrem vel Novembrem nostrum.

*ἀποστρέφειν*] ab itinere scil., quod fallendi causa ingressus erat Phoebidas.

*καταστήσας δ' ἐκεῖ*] Hertlinius in progr. Werthem. 1861. p. 15. scribendum censet *ἐκεῖσε.* Accipias potius haec verba pro *καταστήσας δ' ἐκεῖσε καὶ καθεστάναι ἐκεῖ κελεύσας.* V. ad II, 3, 54. VII, 1, 25. cf. ad II, 4, 6.

καὶ εἰς τὴν ἀκρόπολιν, ὅντινα μὴ αὐτὸς κελεύοι, εὐθὺς ἐπορεύετο πρὸς τὴν βουλήν. Ἐλθὼν δὲ εἶπε τάδε.
30 Ὅτι μέν, ὦ ἄνδρες, Λακεδαιμόνιοι κατέχουσι τὴν ἀκρόπολιν, μηδὲν ἀθυμεῖτε· οὐδενὶ γάρ φασι πολέμιοι ἥκειν, ὅστις μὴ πολέμου ἐρᾷ· ἐγὼ δὲ τοῦ νόμου κελεύοντος ἐξεῖναι πολεμάρχῳ λαβεῖν, εἴ τις δοκεῖ ἄξια θανάτου ποιεῖν, λαμβάνω τουτονὶ Ἰσμηνίαν, ὡς πολεμοποιοῦντα. Καὶ ὑμεῖς δὲ οἱ λοχαγοί τε καὶ οἱ μετὰ τούτων τεταγμένοι, ἀνίστασθε καὶ λαβόντες ἀπαγάγετε
31 τοῦτον ἔνθα εἴρηται. Οἱ μὲν δὴ εἰδότες τὸ πρᾶγμα παρῆσάν τε καὶ ἐπείθοντο καὶ συνελάμβανον· τῶν δὲ μὴ εἰδότων, ἐναντίων δὲ ὄντων τοῖς περὶ Λεοντιάδην, οἱ μὲν ἔφευγον εὐθὺς ἔξω τῆς πόλεως, δείσαντες, μὴ ἀποθάνοιεν· οἱ δὲ καὶ οἴκαδε πρῶτον ἀπεχώρησαν· ἐπεὶ δὲ εἰργμένον τὸν Ἰσμηνίαν ᾔσθοντο ἐν τῇ Καδμείᾳ, τότε δὴ ἀπεχώρησαν εἰς τὰς Ἀθήνας οἱ ταὐτὰ γιγνώσκοντες Ἀνδροκλείδᾳ τε καὶ Ἰσμηνίᾳ μάλιστα τριακό-
32 σιοι. Ὡς δὲ ταῦτ' ἐπέπρακτο, πολέμαρχον μὲν ἀντὶ Ἰσμηνίου ἄλλον εἵλοντο, ὁ δὲ Λεοντιάδης εὐθὺς εἰς Λακεδαίμονα ἐπορεύετο. Εὗρε δ' ἐκεῖ τοὺς μὲν ἐφόρους καὶ τῆς πόλεως τὸ πλῆθος χαλεπῶς ἔχοντας τῷ

τὴν βαλ. — κελεύοι B. C. D. E. F. V. Schneid. Dind. pro κελεύει. — εὐθὺς ante ἐπορ. addunt B. C. D. E. F. I. V. Schneid. Dind. — πρὸς τὴν B. E. I. Schneid. Dind. pro ἐς τὴν.

§. 30. V. πολεμάρχους λαβεῖν. — ἀπαγάγετε B. D. F. I. V. Dind. pro ἀπάγετε.

§. 31. V. ἀνεχώρησαν pro ἀπεχ. — ἐν τῇ Leoncl. Schneid. edd. sqq. pro οἱ ἐν τῇ. — τριακόσιοι B. C. D. E. F. V. Schneid. Dind. pro τετρακόσιοι.

§. 32. C. ἐπεὶ δὲ pro ὡς δέ. — τῆς πολ. τ. πλῆθος B. C. D. E. F.

§. 30. Ἰσμηνίαν, ὡς πολεμοποιοῦντα] Erat nimirum inter eos, qui aurum acceperant Persicum ἐφ' ᾧτε πόλεμον ἐξοίσειν πρὸς Λακεδαιμονίους III, 5, 1.

ὑμεῖς — οἱ λοχαγοί — ἀπαγάγετε] Cf. similem locum II, 3, 54.

§. 31. παρῆσαν] praesto vel ad latus erant Leontiadi. Cobetus frustra παρῇσαν postulat et καὶ ἐπείθοντο delet.

ἔφευγον εὐθὺς ἔξω] De imperfecto v. ad IV, 5, 15. de ἔξω ad IV, 8, 28.

δείσαντες] V. ad νομίσας III, 4, 12.

Ἀνδροκλείδᾳ] V. III, 5, 1.

μάλιστα] admodum, circiter. Diod. XV, 20: τριακοσίους μὲν τοὺς ἐπιφανεστάτους τῶν Θηβαίων ἐφυγάδευσε. Sed Aristid. Panath. p. 300. ed. Cant. τετρακόσιοι ἦσαν οἱ φυγάδες, ὡς Ἀνδροτίων λέγει.

§. 32. πολέμαρχον — ἄλλον] Archiam. V. Plut. Ages. XXIII. extr. Pelop. V. Infra V, 4, 2.

Φοιβίδᾳ, ὅτι οὐ προσταχθέντα ὑπὸ τῆς πόλεως ταῦτα ἐπεπράχει· ὁ μέντοι Ἀγησίλαος ἔλεγεν, ὅτι, εἰ μὲν βλαβερὰ τῇ Λακεδαίμονι πεπραχὼς εἴη, δίκαιος εἴη ζημιοῦσθαι· εἰ δὲ ἀγαθά, ἀρχαῖον εἶναι νόμιμον ἐξεῖναι τὰ τοιαῦτα αὐτοσχεδιάζειν. Αὐτὸ οὖν τοῦτ', ἔφη, προσήκει σκοπεῖν, πότερον ἀγαθὰ ἢ κακά ἐστι τὰ πεπραγμένα. Ἔπειτα μέντοι ὁ Λεοντιάδης ἐλθὼν εἰς τοὺς 33
ἐκκλήτους ἔλεγε τοιάδε. Ἄνδρες Λακεδαιμόνιοι, ὡς μὲν πολεμικῶς εἶχον ὑμῖν οἱ Θηβαῖοι, πρὶν τὰ νῦν πεπραγμένα γενέσθαι, καὶ ὑμεῖς ἐλέγετε· ἑωρᾶτε γὰρ ἀεὶ τούτους τοῖς μὲν ὑμετέροις δυσμενέσι φιλικῶς ἔχοντας, τοῖς δ' ὑμετέροις φίλοις ἐχθροὺς ὄντας. Οὐκ ἐπὶ μὲν τὸν ἐν Πειραιεῖ δῆμον, πολεμιώτατον ὄντα ὑμῖν, οὐκ ἠθέλησαν συστρατεύειν; Φωκεῦσι δέ, ὅτι ὑμᾶς εὐμενεῖς ὄντας ἑώρων, ἐπεστράτευον; Ἀλλὰ μὴν καὶ πρὸς 34
Ὀλυνθίους εἰδότες ὑμᾶς πόλεμον ἐκφέροντας συμμαχίαν ἐποιοῦντο, καὶ ὑμεῖς γε τότε μὲν ἀεὶ προσείχετε τὸν νοῦν, πότε ἀκούσεσθε βιαζομένους αὐτοὺς τὴν

V. Dind. pro τὸ πλ. τῆς πολ. — B. ἔχον pro ἔχοντας. — F. ἐπεπράχθη pro ἐπεπράχει.

§. 33. ἐκκλήτους B. D. marg. Leoncl. Steph. Schneid. edd. sqq. pro ἐγκλήτους. — εἶχον ὑμῖν B., ὑμῖν εἶχον ceteri. — φιλικῶς B. marg. Leoncl. Steph. Schneid. edd. sqq. pro φιλίως.

§. 34. A. E. Iunt. ἀκούσεσθαι, Cast. ἀκούσαισθε pro ἀκούσεσθε.

οὐ προσταχθέντα — ἐπεπράχει] Cum his repugnat Diod. XV, 20, quo auctore Phoebidas secretum habebat mandatum, ut Cadmeam occupandi, si posset, arriperet occasionem, et Plut. Ages. XXIV init. addit: ἦν μὲν οὖν εὐθὺς ἐκ τούτων ὑπόνοια, Φοιβίδου μὲν ἔργον εἶναι, βούλημα δ' Ἀγησιλάου τὸ πεπραγμένον.

τὰ τοιαῦτα αὐτοσχεδιάζειν] Plut. Ages. XXIII, 3: τὰ γὰρ συμφέροντα τῇ Λακεδαίμονι καλῶς ἔχειν αὐτομαντίζεσθαι κἂν μηδεὶς κελεύσῃ.

§. 33. τοὺς ἐκκλήτους] V. ad II, 4, 38.

τοῖς — ὑμετέροις δυσμενέσι] Schneider. comparat Apol. §. 27: τοῖς ἐμοῖς εὔνοις. Adde Cyrop. II, 2, 22: ἀνὴρ σύσκηνος ἐμός, ubi Dind. recepit ἀνὴρ ἡμῖν σύσκηνος. V. Matth. §. 446. 9, qui affert etiam Plat. Theaet. p. 147. C: τῷ σῷ ὁμωνύμῳ.

οὐκ ἠθέλησαν συστρατεύειν] Particula οὐκ, ne nimis remota esset a verbo suo, hic repetitur. De re v. II, 4, 30.

§. 34. τότε] iis scil. temporibus, quibus modo commemorata acciderunt, i. e. ante hoc tempus, antea. Quo sensu τότε saepius usurpatur ubi opponitur νῦν: Cyrop. IV, 6, 3. V, 2, 8. Cf. etiam Poppo ad Thuc. I, 101, 2.

προσείχετε τὸν νοῦν, πότε ἀκούσεσθε —] sollicito animo observabatis, quando audituri essetis —.

*Βοιωτίαν ὑφ᾽ αὑτοῖς εἶναι· νῦν δ᾽, ἐπεὶ τάδε πέπρακται, οὐδὲν ὑμᾶς δεῖ Θηβαίους φοβεῖσθαι, ἀλλ᾽ ἀρκέσει ὑμῖν μικρὰ σκυτάλη, ὥςτε ἐκεῖθεν πάντα ὑπηρετεῖσθαι, ὅσων ἂν δέησθε, ἐὰν ὥςπερ ἡμεῖς ὑμῶν, οὕτω*
35 *καὶ ὑμεῖς ἡμῶν ἐπιμελῆσθε. Ἀκούουσι ταῦτα τοῖς Λακεδαιμονίοις ἔδοξε τήν τε ἀκρόπολιν ὥςπερ κατείληπτο φυλάττειν καὶ Ἰσμηνίᾳ κρίσιν ποιῆσαι. Ἐκ δὲ τούτου πέμπουσι δικαστὰς Λακεδαιμονίων μὲν τρεῖς, ἀπὸ δὲ τῶν συμμαχίδων ἕνα ἀφ᾽ ἑκάστης καὶ μικρᾶς καὶ μεγάλης πόλεως. Ἐπεὶ δὲ συνεκαθίζετο τὸ δικαστήριον, τότε δὴ κατηγορεῖτο τοῦ Ἰσμηνίου, καὶ ὡς βαρβαρίζοι, καὶ ὡς ξένος τῷ Πέρσῃ ἐπ᾽ οὐδενὶ ἀγαθῷ τῆς Ἑλλάδος γεγενημένος εἴη, καὶ ὡς τῶν παρὰ βασιλέως χρημάτων μετειληφὼς εἴη, καὶ ὅτι τῆς ἐν τῇ Ἑλλάδι ταραχῆς πά-*
36 *σης ἐκεῖνός τε καὶ Ἀνδροκλείδας αἰτιώτατοι εἶεν. Ὁ δὲ ἀπελογεῖτο μὲν πρὸς πάντα ταῦτα, οὐ μέντοι ἔπειθέ γε τὸ μὴ οὐ μεγαλοπράγμων τε καὶ κακοπράγμων εἶναι. Καὶ ἐκεῖνος μὲν κατεψηφίσθη καὶ ἀποθνήσκει· οἱ δὲ περὶ Λεοντιάδην εἶχόν τε τὴν πόλιν καὶ τοῖς Λακεδαι-*

— A. C. *ἐκεῖνον*, edd. vett. *ἐκείνους* pro *ἐκεῖθεν*. — *οὕτως* B., *οὕτω* ceteri.

§. 35. *ἀκούουσι* B. C. D. E. F. V. Dind. pro *ἀκούσασι*. — *συμμαχίδων* B. D. I. V. marg. Leoncl. Schneid. Dind. pro *συμμάχων*. — *συνεκαθίζετο τὸ δικ.* B. D. I. margg. Leoncl. et Steph. Schneid. Dind., *συνεκάθιζε πρὸς δικ.* E.; ceteri *ξυνεκάθιζον πρὸς δικ.* — *βαρβαρίζοι* B. C. D. E. F. (sed C. ex corr.) Schneid. Dind., *βαρβαρίζει* ceteri.

§. 36. A. edd. vett. om. *πάντα*, C. D. E. V. om. *ταῦτα*. — A. edd. vett. *ἔπειθέ γέ τε καὶ κακοπράγμων τὸ μὴ οὐ μεγαλοπράγμων εἶναι.*

*τάδε*] Hoc dicit quasi digito monstrans Cadmeae occupationem et praesentem Thebanorum legationem.

*ἐκεῖθεν*] Thebis.

*οὕτως*] V. ad III, 5, 14.

§. 35. *ἔδοξε*] Phoebidam pecunia multatum esse tradunt Diod. XV, 20. Plut. Pelop. VI. Corn. Nep. Pelop. I, 3. Duo posteriores addunt, ab exercitu esse remotum. V. Grotium p. 359.

*κρίσιν ποιῆσαι*] Thebis, ut ex sequentibus intelligitur. Sed Plut. Pelop. V: *Ἰσμηνίας μὲν συναρπασθεὶς καὶ κομισθεὶς εἰς Λακεδαίμονα κ. τ. λ.*

*βαρβαρίζοι*] Persis faveret.

*Ἀνδροκλείδας*] V. III, 5, 1.

§. 36. *μεγαλοπράγμων*] qui magna facinora molitur. Apposite Schneider. comparat Plut. Ages. XXXII, 2, ubi Agesilaus Epaminondam intuitus Eurotam transgredientem clamat: *ὦ τοῦ μεγαλοπράγμονος ἀνθρώπου.*

*ἀποθνήσκει*] Plut. Pelop. V. de gen. Socr. p. 576 A: *τὸν Ἰσμηνίαν οὐ τοῦ βελτίστου θανάτου τυχόντα κ. τ. λ.* De praesente aoristum excipiente v. ad IV, 3, 8.

μονίοις ἔτι πλείω ὑπηρέτουν ἢ προςετάττετο αὐτοῖς. Τούτων δὴ πεπραγμένων, οἱ Λακεδαιμόνιοι πολὺ δὴ 37 προθυμότερον τὴν εἰς τὴν Ὄλυνθον στρατιὰν συναπέστελλον. Καὶ ἐκπέμπουσι Τελευτίαν μὲν ἁρμοστήν, τὴν δ' εἰς τοὺς μυρίους σύνταξιν αὐτοί τε ἅπαντας συνεξέπεμπον καὶ εἰς τὰς συμμαχίδας πόλεις σκυτάλας διέπεμπον κελεύοντες ἀκολουθεῖν Τελευτίᾳ κατὰ τὸ δόγμα τῶν συμμάχων. Καὶ οἵ τε ἄλλοι προθύμως τῷ Τελευτίᾳ ὑπηρέτουν, καὶ γὰρ οὐκ ἀχάριστος ἐδόκει εἶναι τοῖς ὑπουργοῦσί τι, καὶ ἡ τῶν Θηβαίων δὲ πόλις, ἅτε καὶ Ἀγησιλάου ὄντος αὐτῷ ἀδελφοῦ, προθύμως συνέπεμψε καὶ ὁπλίτας καὶ ἱππέας. Ὁ δὲ σπεύδων μὲν 38 οὐ μάλα ἐπορεύετο, ἐπιμελόμενος δὲ τοῦ τε μὴ ἀδικῶν τοὺς φίλους πορεύεσθαι καὶ τοῦ ὡς πλείστην δύναμιν ἀθροίζειν. Προέπεμπε δὲ καὶ πρὸς Ἀμύνταν καὶ ἠξίου αὐτὸν καὶ ξένους μισθοῦσθαι καὶ τοῖς πλησίον βασιλεῦσι χρήματα διδόναι, ὡς συμμάχους εἶναι, εἴπερ βούλοιτο τὴν ἀρχὴν ἀναλαβεῖν. Ἔπεμπε δὲ καὶ πρὸς Δέρδαν τὸν Ἐλιμίας ἄρχοντα διδάσκων, ὅτι οἱ Ὀλύνθιοι κατεστραμμένοι τὴν μείζω δύναμιν Μακεδονίας εἶεν

§. 37. C. E. F. τούτων δέ. — Post πολὺ om. ἔτι B. D. E. F. V. Dind. — C. om. τὴν ante Ὄλυνθον. — ἅπαντας Wolf. Weisk. pro vulg. ἅπαντες, quod inclusit Mor. — Post ὑπουργοῦσί τι om. αὐτῷ B. D. F. I. V. Dind. — αὐτῷ post ὄντος addunt B. Schneid. Dind. — συνέπεμψε B., ceteri συνέπεμπε.

§. 38. Ἐλιμίας Leoncl. Schneid. edd. sqq. pro Ἐλεμίας. — A. C. edd. vett. παύσαιτο, B. παύσῃ, Weisk. παύσοι pro παύσει.

§. 37. Τελευτίαν μέν] Particulam μέν Weisk. cum Wolfio male retrahit ad ἐκπέμπουσι. Nam opponuntur Teleutiae milites.

ἅπαντας] Haec pro genuina habenda est lectione, quae mutata videtur esse ab eo, qui ἅπαντας ad σύνταξιν referri non posse crederet. V. ad II, 3, 55. Vertas: mittebant exercitum (eam scil. decem milium partem, quam debebant Lacedaemonii) una universum, praeter eos nimirum, quos secum duxerant Eudamidas §. 24. et Phoebidas §. 25.

καὶ γὰρ οὐκ ἀχάριστος] De re cf. V, 1, 4. 13.

καὶ ἡ τῶν Θηβαίων δὲ πολις] Haec respondent antecedentibus οἵ τε ἄλλοι. De τὲ —, καὶ — δέ v. ad III, 4, 24.

§. 38. Ἀμύνταν] V. ad §. 12. Adde quem Schneid. affert, Isocr. Archid. p. 125 B.

ὡς — εἶναι] V. ad III, 4, 27.

Ἐλιμίας] Discernenda ab Elymia Arcadica VI, 5, 13. Sed et haec Epiri regio Macedoniae vicina interdum Ἐλυμία vel Ἐλυμεία scribitur. Idem Derdas apud Athen. X, 47. extr. Macedo dicitur et captus ab Olynthiis.

ὅτι — εἶεν — ἀνήσουσι] Animadvertas optativum excipere indicativum. Cf. ad III, 5, 23.

καὶ οὐκ ἀνήσουσι τὴν ἐλάττω, εἰ μή τις αὐτοὺς παύσει
39 τῆς ὕβρεως. Ταῦτα δὲ ποιῶν, μάλα πολλὴν ἔχων στρατιὰν ἀφίκετο εἰς τὴν ἑαυτῶν συμμαχίδα. Ἐπεὶ δ' ἦλθεν εἰς τὴν Ποτίδαιαν, ἐκεῖθεν συνταξάμενος ἐπορεύετο εἰς τὴν πολεμίαν. Καὶ πρὸς μὲν τὴν πόλιν ἰὼν οὔτ' ἔκαεν οὔτ' ἔκοπτε, νομίζων, εἴ τι ποιήσειε τούτων, ἐμποδὼν ἂν αὐτῷ ταῦτα πάντα γίγνεσθαι καὶ προσιόντι καὶ ἀπιόντι· ὁπότε δὲ ἀναχωροίη ἀπὸ τῆς πόλεως, τότε ὀρθῶς ἔχειν κόπτοντα τὰ δένδρα ἐμποδὼν κατα-
40 βάλλειν, εἴ τις ὄπισθεν ἐπίοι. Ὡς δὲ ἀπεῖχεν ἀπὸ τῆς πόλεως οὐδὲ δέκα στάδια, ἔθετο τὰ ὅπλα, εὐώνυμον μὲν αὐτὸς ἔχων, οὕτω γὰρ συνέβαινεν αὐτῷ κατὰ τὰς πύλας ἰέναι ᾗ ἐξῄεσαν οἱ πολέμιοι, ἡ δὲ ἄλλη φάλαγξ τῶν συμμάχων ἀπετέτατο πρὸς τὸ δεξιόν. Καὶ τῶν ἱππέων δὲ τοὺς μὲν Λάκωνας καὶ τοὺς Θηβαίους καὶ ὅσοι τῶν Μακεδόνων παρῆσαν ἐπὶ τῷ δεξιῷ ἐτάξατο, παρὰ δὲ αὑτῷ εἶχε Δέρδαν τε καὶ τοὺς ἐκείνου ἱππέας ὡς εἰς τετρακοσίους διά τε τὸ ἄγασθαι τοῦτο τὸ ἱππικὸν καὶ διὰ τὸ θεραπεύειν τὸν Δέρδαν, ὡς ἡδόμενος παρείη.
41 Ἐπεὶ δὲ καὶ οἱ πολέμιοι ἐλθόντες ἀντιπαρετάξαντο ὑπὸ τῷ τείχει, συσπειραθέντες αὐτῶν οἱ ἱππεῖς ἐμβάλλουσι κατὰ τοὺς Λάκωνας καὶ Βοιωτούς. Καὶ Πολύχαρμόν τε τὸν Λακεδαιμόνιον ἵππαρχον καταβάλλουσιν ἀπὸ

§. 39. οὔτ' ἔκαεν B. D. marg. Leoncl. Schneid., οὔτ' ἔκαεν I. V. Dind., οὐ κατέκαεν vel κατέκαεν C. E. F., οὔτε κατέκαεν ceteri. — ἐμποδὼν Schneid. Dind. pro ἐμπόδιον. — ταῦτα ante πάντα addit B.

§. 40. ἀπετέτατο B. D. Dind., ἀπετέκτατο C., ἀπετέτταTO V., ἀπετάττετο marg. Leoncl., ἀπετέτακτο ceteri. — E. V. εἰς pro ὡς εἰς. — ἄγασθαι Steph. Schneid. edd. sqq. pro ἄγεσθαι.

§. 39. ἀφίκετο] Cf. Diod. XV, 21: ἀναζεύξας οὖν μετὰ δυνάμεως ἐκ Πελοποννήσου καὶ καταντήσας πλησίον τῶν Ὀλυνθίων, παρέλαβε τοὺς μετὰ Εὐδαμίδου στρατιώτας κ. τ. λ. V. ad §. 24.

ἑαυτῶν] Lacedaemoniorum, ut IV, 8, 24.

συμμαχίδα] V. §. 24.

συνταξάμενος] cum exercitu ad pugnandum instructo.

τῆς πόλεως] Olynthi.

§. 40. ἔθετο τὰ ὅπλα] substitit aciem instructurus.

οὕτω γὰρ συνέβαινεν — ἰέναι] sic enim, h. e. quum laevum cornu teneret, ei contigit, ut versus eam portam pergeret, qua exibant hostes, et id ipsum volebat Teleutias, qui sibi et Lacedaemoniis suis periculosissimum in instanti pugna locum vindicaret.

ὡς εἰς τετρ.] V. ad IV, 1, 18.

§. 41. συσπειραθέντες] conglobati.

τοῦ ἵππου καὶ κείμενον πάμπολλα κατέτρωσαν καὶ ἄλλους ἀπέκτειναν, καὶ τέλος τρέπονται ἐπὶ τῷ δεξιῷ κέρατι τὸ ἱππικόν. Φευγόντων δὲ τῶν ἱππέων ἐνέκλινε καὶ τὸ ἐχόμενον πεζὸν αὐτῶν, καὶ ὅλον δ' ἂν ἐκινδύνευσεν ἡττηθῆναι τὸ στράτευμα, εἰ μὴ Δέρδας ἔχων τὸ ἑαυτοῦ ἱππικὸν εὐθὺς πρὸς τὰς πύλας τῶν Ὀλυνθίων ἤλασεν. Ἐπῄει δὲ καὶ ὁ Τελευτίας σὺν τοῖς περὶ αὐτὸν ἐν τάξει. Ὡς δὲ ταῦτα ᾔσθοντο οἱ Ὀλύν- 42
θιοι ἱππεῖς, δείσαντες, μὴ ἀποκλεισθεῖεν τῶν πυλῶν, ἀναστρέψαντες ἀπεχώρουν πολλῇ σπουδῇ. Ἔνθα δὴ ὁ Δέρδας παρελαύνοντας παμπόλλους ἱππέας αὐτῶν ἀπέκτεινεν. Ἀπεχώρησαν δὲ καὶ οἱ πεζοὶ τῶν Ὀλυνθίων εἰς τὴν πόλιν· οὐ μέντοι πολλοὶ αὐτῶν ἀπέθανον, ἅτε ἐγγὺς τοῦ τείχους ὄντος. Ἐπεὶ δὲ τρόπαιόν τε 43
ἐστάθη καὶ ἡ νίκη αὕτη τῷ Τελευτίᾳ ἐγεγένητο, ἀπιὼν δὴ ἔκοπτε τὰ δένδρα. Καὶ τοῦτο μὲν στρατευσάμενος τὸ θέρος διῆκε καὶ τὸ Μακεδονικὸν στράτευμα καὶ τὸ τοῦ Δέρδα· πολλάκις μέντοι καὶ οἱ Ὀλύνθιοι καταθέοντες εἰς τὰς τῶν Λακεδαιμονίων συμμαχίδας πόλεις ἐλεηλάτουν καὶ ἄνδρας ἀπεκτίννυον,

§. 41. πάμπολλα B.D.F.I.V. Dind. pro πολλά. — Steph. Leoncl. τὸ ante ἐπὶ, I. V. et ante ἐπὶ et ante ἱππικὸν ponunt. — δ' post ὅλον B. Dind., γ' V. addit. — B. ἑαυτόν, D. αὐτὸν pro αὐτόν.
§. 42. ἀπεχώρουν B. D. V. Dind. pro ἀνεχ. — ὄντος B.D.I. Dind. pro ὄντες.
§. 43. Post τοῦτο μὲν om. δὴ B. C. D. F. I. V. Dind., inclusit Schneid.

ἐχόμενον] Inde pendet genitivus αὐτῶν. De participii traiectione cf. ad III, 4, 1.

καὶ ὅλον δ'] atque etiam universum. V. ad V, 1, 16.

§. 42. δείσαντες] V. ad §. 31.

ἱππέας] delendum videtur Dindorfio. Equidem consilio iterari hoc verbum puto, quia scriptor iam mentionem facturus erat peditum: equitum permulti, peditum pauci interficiuntur.

§. 43. τοῦτο — τὸ θέρος] H. e. aestate peracta exercitus dimissus est.

πολλάκις μέντοι καί] Particula καί, quam suspectam habebat Schneid., hanc vim habet: ut antea Lacedaemonii cum sociis Olynthiorum terrae bellum intulerant, sic nunc etiam Olynthii in agros sociorum Spartanorum incursiones faciunt. Sed post μέντοι excidisse suspicor μετὰ τοῦτο, quod propter similitudinem praecedentis verbi excidere facile potuit.

# CAPUT III.

## ARGUMENTUM.

Teleutias quum ad vastandos Olynthiorum agros egressus audacius eorum equites excurrere vidisset, primo Tlemonidam in eos impetum facere iubet, mox quum hic multis suorum amissis cecidisset, ipse cum omnibus copiis eos ad muros usque persequitur. Sed erumpentes Olynthii eum prosternunt Lacedaemoniosque omnes partim fuga disiiciunt, partim concidunt. Maiorem postea adversus Olynthios exercitum duce Agesipoli mittunt. Interim Phliasii quum exsulibus fidem non praestarent, hi ad Lacedaemonios confugiunt eosque ad bellum excitant. Iam Agesilaus Phliuntem obsidet et callide benignitate necessarios exsulum elicit ex urbe et ad partes suas traducit. Interea Olynthios vexat Agesipolis; sed paullo post morbo mortuus refertur in patriam. Phliunte Delphion quidam cum trecentis diu obsidentes vexat: sed tandem penuria victus agit de deditione. Lacedaemoniorum civitas totam rem commisit Agesilai arbitrio. Hic quanquam debebat esse iratior, tamen magna humanitate adversus Phliasios ea in re usus est. Olynthii in fidem recepti.

---

1 Ἅμα δὲ τῷ ἦρι ὑποφαινομένῳ οἱ μὲν Ὀλύνθιοι ἱπ-
1. a. 381. πεῖς ὄντες ὡς ἑξακόσιοι κατεδεδραμήκεσαν εἰς τὴν
Ἀπολλωνίαν ἅμα μεσημβρίᾳ καὶ διεσπαρμένοι ἐλεηλά-
τουν· ὁ δὲ Δέρδας ἐτύγχανε ταύτῃ τῇ ἡμέρᾳ ἀφιγμέ-
νος μετὰ τῶν ἱππέων τῶν ἑαυτοῦ καὶ ἀριστοποιούμε-
νος ἐν τῇ Ἀπολλωνίᾳ. Ὡς δ' εἶδε τὴν καταδρομήν,
ἡσυχίαν εἶχε τούς θ' ἵππους ἐπεσκευασμένους καὶ τοὺς
ἀναβάτας ἐξωπλισμένους ἔχων. Ἐπειδὴ δὲ καταφρο-
νητικῶς οἱ Ὀλύνθιοι καὶ εἰς τὸ προάστειον καὶ εἰς αὐ-
τὰς τὰς πύλας ἤλαυνον, τότε δὴ συντεταγμένους ἔχων
2 ἐξελαύνει. Οἱ δὲ ὡς εἶδον, εἰς φυγὴν ὥρμησαν. Ὁ δ'

Cap. III. §. 1. κατεδεδραμήκεσαν B. Dind., καταδεδρ. ceteri. — Post ἡσυχίαν omisi τε cum Dind. — εἶχε B. D. E. F. V. mg. Leoncl. Dind., ceteri ἦγε vel ἦχε. — Dind. ἀμβάτας pro ἀναβ. — ἐξωπλισμ. B. C. D. E. F. I. V. Schn. Dind. pro ὡπλισμ. — τότε δὴ συντεταγμ. B. D. F. V. mg. Leoncl. Schn. Dind. pro τότε τοὺς τεταγμ.

Cap. III. §. 1. ὑποφαινομένῳ] V. ad III, 4, 16.
καταδεδραμήκεσαν] V. ad IV, 7, 6. Dubitabam, an retinerem καταδεδρ. V. ad I, 5, 10. III, 5, 23. IV, 1, 3. 5, 4.
ἀναβάτας] Nusquam apud Xenophontem legitur ἀμβάτης.

ὡς ἅπαξ ἐτρέψατο, οὐκ ἀνῆκεν ἐνενήκοντα στάδια διώκων καὶ ἀποκτιννύς, ἕως πρὸς αὐτὸ κατεδίωξε τῶν Ὀλυνθίων τὸ τεῖχος. Καὶ ἐλέγετο ὁ Δέρδας ἀποκτεῖναι ἐν τούτῳ τῷ ἔργῳ περὶ ὀγδοήκοντα ἱππέας. Καὶ ἀπὸ τούτου τειχήρεις τε μᾶλλον ἦσαν οἱ πολέμιοι καὶ τῆς χώρας ὀλίγην παντελῶς εἰργάζοντο. Προϊόντος δὲ 3
τοῦ χρόνου καὶ τοῦ Τελευτίου ἐστρατευμένου πρὸς τὴν τῶν Ὀλυνθίων πόλιν, ὡς εἴ τι δένδρον ὑπόλοιπον ἤ τι εἰργασμένον τοῖς πολεμίοις φθείροι, ἐξελθόντες οἱ Ὀλύνθιοι ἱππεῖς ἥσυχοι πορευόμενοι διέβησαν τὸν παρὰ τὴν πόλιν ῥέοντα ποταμὸν καὶ ἐπορεύοντο ἡσυχῇ πρὸς τὸ ἐναντίον στράτευμα. Ὡς δ' εἶδεν ὁ Τελευτίας, ἀγανακτήσας τῇ τόλμῃ αὐτῶν εὐθὺς Τλημονίδαν τὸν τῶν πελταστῶν ἄρχοντα δρόμῳ φέρεσθαι εἰς αὐτοὺς ἐκέλευσεν. Οἱ δὲ Ὀλύνθιοι ὡς εἶδον προθέον- 4
τας τοὺς πελταστάς, ἀναστρέψαντες ἀπεχώρουν ἥσυχοι καὶ διέβησαν πάλιν τὸν ποταμόν. Οἱ δ' ἠκολούθουν μάλα θρασέως καὶ ὡς φεύγουσι διώξοντες ἐπιδιέβαινον. Ἔνθα δὴ οἱ Ὀλύνθιοι ἱππεῖς, ἡνίκα ἔτι εὐχείρωτοὶ αὐτοῖς ἐδόκουν εἶναι οἱ διαβεβηκότες, ἀναστρέψαντες ἐμ-

§. 2. *ἐνενήκοντα* B. Dind. pro *ἐννεν.* — *ὀλίγην* Wyttenb. Dind., *ὀλίγην τι* B. F. I., *ὀλίγον τι* E. D., *ὀλίγον τινὰ* V., *ὀλίγην γῆν* ceteri.
§. 3. *ἤ τι* D. V. Dind., *εἴ τι* B. Steph., *εἴη τι* A. C. E., *εἴη ἤ τι* Schn., *εἴη* ceteri. — *ἐναντίον* B. C. D. E. F. V. Dind. pro *τῶν ἐναντίων.*
§. 4. *διώξοντες* mg. Leoncl., ceteri *διώξαντες.*

*ἔτι εὐχείρωτοι*] fluminis scilicet transitu adhuc fatigati et parum ordinati.

§. 2. *ἐτρέψατο*] in fugam illos vertisset, ut I, 2, 9., sed *τραπέσθαι* est se ad fugam vertere. Kuehn. ad Anab. V, 4, 23.

*τῷ ἔργῳ*] Cf. ad VII, 2, 19.

*τῆς χώρας ὀλίγην*] V. ad Oecon. IV, 8: *ὁπόσην — τῆς χώρας*, ad Cyrop. III, 2, 2: *πολλὴν τῆς χώρας*. Supra ad IV, 1, 22. Buttm. gr. §. 132. ann. 3.

*παντελῶς*] De collocatione adverbii v. ad II, 4, 34. IV, 2, 18.

§. 3. *εἴ τι — ὑπόλοιπον*] scil. *εἴη*. V. ad IV, 2, 21. 8, 33.

*ἡσυχῇ*] Noli superfluum putare *ἡσυχῇ*, quanquam antecessit *ἥσυχοι*. Vertas: *ruhig auch*, vel: *ebenso ruhig*. Eadem vi erat *ἐλήφθησαν*, antecedente *ἐλήφθη*, III, 4, 24. Neque offensio est in variata forma. V. ad III, 3, 3.

*τὸ ἐναντίον στράτευμα*] i. e. *τὸ τῶν ἐναντίων στρ.* Cf. *τῆς ἐναντίας φάλαγγος* VII, 5, 25.

§. 4. *ὡς φεύγουσι*] Fugere Olynthios putabant Lacedaemonii: sed simulata erat fuga.

*διώξοντες*] Vulgata lectio nullo pacto potest ferri. Olynthii iam transgressi erant flumen, quum Lacedaemonii persecuturi Olynthios et ipsi transeunt. Cf. locum similem Herod. IV, 122: *διαβάντων δὲ τούτων τὸν — ποταμὸν οἱ Πέρσαι ἐπιδιαβάντες ἐδίωκον.*

βάλλουσιν αὐτοῖς καὶ αὐτόν τε ἀπέκτειναν τὸν Τλημο-
5 νίδαν καὶ τῶν ἄλλων πλείους ἢ ἑκατόν. Ὁ δὲ Τελευ-
τίας ὡς εἶδε τὸ γιγνόμενον, ὀργισθείς, ἀναλαβὼν τὰ
ὅπλα ἦγε μὲν ταχὺ τοὺς ὁπλίτας, διώκειν δὲ καὶ τοὺς
πελταστὰς ἐκέλευε καὶ τοὺς ἱππέας καὶ μὴ ἀνιέναι.
Πολλοὶ μὲν οὖν δὴ καὶ ἄλλοι τοῦ καιροῦ ἐγγυτέρω τοῦ
τείχους διώξαντες κακῶς ἀπεχώρησαν, καὶ ἐκεῖνοι δ'
ἐπεὶ ἀπὸ τῶν πύργων ἐβάλλοντο, ἀποχωρεῖν τε ἠναγκά-
ζοντο τεθορυβημένως καὶ προφυλάττεσθαι τὰ βέλη.
6 Ἐν τούτῳ δὴ οἱ Ὀλύνθιοι ἐπεξελαύνουσι μὲν τοὺς ἱπ-
πεῖς, ἐβοήθουν δὲ καὶ οἱ πελτασταί· τέλος δὲ καὶ οἱ
ὁπλῖται ἐπεξέθεον καὶ τεταραγμένῃ τῇ φάλαγγι προς-
πίπτουσι. Καὶ ὁ μὲν Τελευτίας ἐνταῦθα μαχόμενος
ἀποθνήσκει. Τούτου δὲ γενομένου, εὐθὺς καὶ οἱ ἀμφ'
αὐτὸν ἐνέκλιναν καὶ οὐδεὶς ἔτι ἵστατο, ἀλλὰ πάντες
ἔφευγον, οἱ μὲν ἐπὶ Σπαρτώλου, οἱ δὲ ἐπὶ Ἀκάνθου, οἱ
δὲ εἰς Ἀπολλωνίαν, οἱ πλεῖστοι δὲ εἰς Ποτίδαιαν. Ὡς
δ' ἄλλος ἄλλῃ ἔφευγον, οὕτω καὶ οἱ πολέμιοι ἄλλος ἄλ-
λοσε διώκοντες παμπληθεῖς ἀπέκτειναν ἀνθρώπους
καὶ ὅτιπερ ὄφελος ἦν τοῦ στρατεύματος.

§. 5. πελταστὰς ἐκέλευε B. D. F. Dind., ceteri ponunt ἐκέλευε post διώκειν δὲ. — A. C. E. edd. vett. ἰέναι, V. ἀφιέναι pro ἀνιέναι. — V. Dind. om. τοῦ ante τείχους.

§. 6. C. E. F. ἐν τούτῳ δὲ. — Koeppen. Weisk. delent τοὺς ante ἱππεῖς, quod Dind. mutat in ἱππέας. — Ald. Iunt. Bryl. τεταραγμένοι. — ἄλλος ἄλλῃ B. D. F. V. Schneid. Dind. pro ἄλλῃ ἄλλος. — τοῦ στρατεύματος B. D. E. F. V. Dind., τοιούτου τοῦ στρ. C., τούτου τοῦ στρ. Hemsterh. Schneid., τοῦ τοιούτου στρ. ceteri.

§. 5. *καὶ ἄλλοι — καὶ ἐκεῖνοι δέ*] quum — tum. V. ad III, 4, 24. ἐκεῖνοι sunt milites Teleutiae.

*τοῦ καιροῦ ἐγγυτέρω τοῦ τείχους*] Quanquam sententiam in universum dictam habemus, articulus tamen ante τείχους nihil habet offensionis. Cogita quae quisque eorum, qui dicuntur πολλοὶ ἄλλοι, oppugnat moenia. Ceterum tali in re codicis V. auctoritas nulla est, quippe qui innumeris locis pro lubitu verba Xenophontis vel mutet vel omittat. De verbis τοῦ καιροῦ ἐγγυτέρω v. ad II, 3, 24.

§. 6. *τοὺς ἱππεῖς*] De hac forma v. ad III, 4, 10. Omnes copiae Olynthiorum (et equites et pedites) §. 5. fugatae se recepisse in urbem videntur, nisi forte e verbo ἐβοήθουν coniectandum est, peltastas mansisse extra muros.

*Σπαρτώλου*] Ab Olyntho versus occidentem in paeninsula Chalcidica situm erat oppidum. V. tabulam a Kieperto a. 1858. descriptam.

*ὅτιπερ ὄφελος ἦν*] flos exercitus. Leoncl. Cf. Aristoph. Eccl. 53: ὁρῶ — γυναῖκας, ὅτιπέρ ἐστ' ὄφελος ἐν τῇ

7 Ἐκ μέντοι γε τῶν τοιούτων παθῶν ἐγώ φημι ἀνθρώπους παιδεύεσθαι μάλιστα μὲν οὖν, ὡς οὐδ' οἰκέτας χρὴ ὀργῇ κολάζειν· πολλάκις γὰρ καὶ δεσπόται ὀργιζόμενοι μείζω κακὰ ἔπαθον ἢ ἐποίησαν· ἀτὰρ ἀντιπάλοις τὸ μετ' ὀργῆς, ἀλλὰ μὴ γνώμῃ προςφέρεσθαι ὅλον ἁμάρτημα. Ἡ μὲν γὰρ ὀργὴ ἀπρονόητον, ἡ δὲ γνώμη σκοπεῖ οὐδὲν ἧττον, μή τι πάθῃ ἢ ὅπως βλάψῃ τι τοὺς πολεμίους.

8 Τοῖς δ' οὖν Λακεδαιμονίοις, ἐπεὶ ἤκουσαν τὸ πρᾶγμα, βουλευομένοις ἐδόκει οὐ φαύλην πεμπτέον δύναμιν εἶναι, ὅπως τό τε φρόνημα τῶν νενικηκότων κατασβεσθείη καὶ μὴ μάτην τὰ πεποιημένα γένοιτο. Οὕτω δὲ γνόντες ἡγεμόνα μὲν Ἀγησίπολιν τὸν βασιλέα ἐκπέμπουσι, μετ' αὐτοῦ δὲ ὥςπερ Ἀγησιλάου εἰς τὴν Ἀσίαν τριάκοντα Σπαρτιατῶν. Πολλοὶ δὲ αὐτῷ καὶ 9 τῶν περιοίκων ἐθελονταὶ καλοὶ κἀγαθοὶ ἠκολούθουν καὶ ξένοι τῶν τροφίμων καλουμένων καὶ νόθοι τῶν

§. 7. *μὲν οὖν* B. D. I. V. Schneid. Dind. pro *οὖν*. — *ὡς* ante *οὐδ'* cum Porto ponunt Leoncl. edd. sqq.; ante *μάλιστα* mg. Leoncl., ante *ἐγώ φημι* libri ponunt *ὡς*. — *ὀργῇ κολάζειν* B. Schneid. Dind. pro *κολ. ὀργῇ*.

§. 8. *Ἀγησιλάου* Leoncl. Schneid. edd. sqq. pro *Ἀγησιλάῳ*.

*πόλει*, ibique interpretes. Lucian. Tim. 55: *ὅτιπερ λιχνείας καὶ ἀπληστίας ὄφελος*. Cf. etiam infra VI, 2, 23.

§. 7. *μάλιστα μὲν οὖν, ὡς οὐδ' οἰκέτας*] His opposita sunt *ἀτὰρ ἀντιπάλοις* —. De *μάλιστα μὲν οὖν* comparant V, 4, 55. De re equ. VI, 14. Thuc. IV, 104. extr.

*ὅλον*] *ganz und gar, durchaus*. Demosth. adv. Steph. 29: *ὄψεσθε, ὅτι πλάσμα ὅλον ἐστὶν ἡ διαθήκη*.

*ὀργὴ ἀπρονόητον*] In qualibus sententiis abesse solet *ἐστίν*. V. ad Hier. VI, 9: *ὁ γὰρ πόλεμος φοβερόν*. De re equ. VI, 13: *ἀπρονόητον γὰρ ἡ ὀργή*. De neutro praedicati genere v. Buttm. §. 129. 8. Rost. §. 148. 2. G. C. Kuehn. §. 241. 2. Cf. supra ad IV, 8, 4.

*βλάψῃ*] Dindorf. et Cobet. malunt futurum *βλάψει*. Satis habeo relegare tirones ad Bornem. ad Symp. VIII, 25. Kuehn. ad Anab. I, 3, 11. Bernh. Synt. p. 262.

§. 8. *ὥςπερ Ἀγησιλάου*] h. e. *ὥςπερ μετ' Ἀγησιλάου*. Cf. ad IV, 1, 15. De re v. III, 4, 2.

§. 9. *ξένοι τῶν τροφίμων*] genitivus partitivus: hospites e numero eorum, qui *τρόφιμοι* appellantur. Schneider. eosdem esse dicit, qui *μόθακες* aut *μόθωνες* vocantur, de quibus Phylarchus apud Athen. VI, p. 271: *οἱ μόθακες σύντροφοι τῶν Λακεδαιμονίων —· εἰσὶν οὖν οἱ μόθακες ἐλεύθεροι μέν, οὐ μὴν Λακεδαιμόνιοι, μετέχουσι δὲ τῆς παιδείας πάσης*. Sed rectius a mothonibus discernit *τοὺς τροφίμους* O. Mueller. Dor. II, 45, qui mothones eadem ait fuisse conditione, qua Helotes, sed

Σπαρτιατῶν, μάλα εὐειδεῖς τε καὶ τῶν ἐν τῇ πόλει καλῶν οὐκ ἄπειροι. Συνεστρατεύοντο δὲ καὶ ἐκ τῶν συμμαχίδων πόλεων ἐθελονταί, καὶ Θετταλῶν γε ἱππεῖς γνωσθῆναι τῷ Ἀγησιπόλιδι βουλόμενοι, καὶ Ἀμύντας δὲ καὶ Δέρδας ἔτι προθυμότερον ἢ πρόσθεν. Ἀγησίπολις μὲν δὴ ταῦτα πράττων ἐπορεύετο ἐπὶ τὴν Ὄλυνθον.

10 Ἡ δὲ τῶν Φλιασίων πόλις ἐπαινεθεῖσα μὲν ὑπὸ τοῦ Ἀγησιπόλιδος, ὅτι πολλὰ καὶ ταχέως αὐτῷ χρήματα εἰς τὴν στρατιὰν ἔδοσαν, νομίζουσα δ' ἔξω ὄντος Ἀγησιπόλιδος οὐκ ἂν ἐξελθεῖν ἐπ' αὐτοὺς Ἀγησίλαον, οὐδ' ἂν γενέσθαι, ὥςτε ἅμα ἀμφοτέρους τοὺς βασιλέας ἔξω Σπάρτης εἶναι, θρασέως οὐδὲν τῶν δικαίων ἐποίουν τοῖς κατεληλυθόσιν. Οἱ μὲν γὰρ δὴ φυγάδες ἠξίουν τὰ ἀμφίλογα ἐν ἴσῳ δικαστηρίῳ κρίνεσθαι· οἱ δὲ ἠνάγκαζον ἐν αὐτῇ τῇ πόλει διαδικάζεσθαι. Λεγόντων δὲ τῶν κατεληλυθότων, καὶ τίς αὕτη δίκη εἴη, ὅπου αὐτοὶ
11 οἱ ἀδικοῦντες δικάζοιεν, οὐδὲν εἰςήκουον. Ἐκ τούτου

§. 10. Post *οἱ μὲν γὰρ* om. *δὴ* A. C. E. F. edd. vett. — *οὐδὲν εἰςήκουον* coni. Hertlin. (observ. crit. 1836. p. 24) recepit Dind. pro vulg. *οὐδένες ἤκουον*.

communi cum iuventute Spartana educatione nactos libertatem sine civitate; *τροφίμους* autem fuisse peregrinos, qui Spartana disciplina facti sint Spartani. Sic Xenophon et Phocion filios suos Lacedaemoniis tradiderunt educandos. Diog. Laert. II, 54. Plut. Phoc. XX.

*νόθοι*] Non e stupro, sed e coniugio diversorum ordinum natos, qui eadem ac Spartiatarum filii usi sint disciplina, intelligit Mueller. Dor. II, p. 285.

*τῶν ἐν τῇ πόλει καλῶν*] V. ad I, 1, 23.

*ταῦτα πράττων*] hac fortuna utens. V. Hertlin. ad Cyrop. I, 6, 3. IV, 2, 39. 4, 5: *οὐκ εἰδώς, ὅ τι πράττομεν.* Isocr. Nicocl. 61: *τοιαῦτα προςδοκᾶτε πράξειν οἷ' ἂν περὶ ἡμῶν διανοῆσθε.*

§. 10. *εἰς τὴν στρατιάν*] Cf. Anab. I, 2, 27: *Συέννεσις ἔδωκε Κύρῳ χρήματα πολλὰ εἰς τὴν στρατιάν.*

*τοῖς κατεληλυθόσιν*] exsulibus, qui redierant. His continuantur V, 2, 10 narrata.

*ἐν ἴσῳ δικαστηρίῳ*] Ex sequentibus verbis apparet postulasse exsules, ne penes solos Phliasios, a quibus eiecti fuissent, esset de suis rebus iudicium.

*καὶ τίς αὕτη δίκη εἴη*] et quodnam hoc esset ius. *καί* habet vim oppositionis, ut infra §. 15: *καὶ τί τοῦτ' ἂν εἴη*, h. e. et quid hoc esse posset? Utroque loco obliquam habemus interrogationem neque ulla potest causa excogitari, cur illud *καί* pronomini interrogativo praepositum obliquae minus quam rectae conveniat interrogationi, quod contendens Hertlin. post *τίς* inserendum *ἂν* putat. Cf. ad III, 3, 11.

*οὐδὲν εἰςήκουον*] Sic recte Hertlin., qui *οὐδένες* et *μηδέ-*

μέντοι ἔρχονται εἰς Λακεδαίμονα οἱ κατελθόντες κατη-
γορήσοντες τῆς πόλεως, καὶ ἄλλοι δὲ τῶν οἴκοθεν συνη-
κολούθουν λέγοντες, ὅτι πολλοῖς καὶ τῶν πολιτῶν οὐ
δοκοῖεν δίκαια πάσχειν. Ἀγανακτήσασα δὲ τούτοις τῶν
Φλιασίων ἡ πόλις ἐζημίωσε πάντας, ὅσοι μὴ πεμπούσης
τῆς πόλεως ἦλθον εἰς Λακεδαίμονα. Οἱ δὲ ζημιωθέν- 12
τες οἴκαδε μὲν ὤκνουν ἀπιέναι, μένοντες δ' ἐδίδασκον,
ὡς οὗτοι μὲν εἴησαν οἱ βιαζόμενοι ταῦτα, οἵπερ σφᾶς
τε ἐξέβαλον καὶ Λακεδαιμονίους ἀπέκλεισαν, οὗτοι δὲ
οἱ πριάμενοί τε τὰ σφέτερα καὶ βιαζόμενοι μὴ ἀποδιδό-
ναι, οὗτοι δὲ καὶ νῦν διαπεπραγμένοι εἰσὶ ζημιωθῆναι
σφᾶς αὐτοὺς εἰς Λακεδαίμονα ἐλθόντας, ὅπως τοῦ λοι-
ποῦ μηδεὶς τολμῴη ἰέναι δηλώσων τὰ ἐν τῇ πόλει γι-
γνόμενα. Τῷ δ' ὄντι ὑβρίζειν δοκούντων τῶν Φλια- 13
σίων, φρουρὰν φαίνουσιν ἐπ' αὐτοὺς οἱ ἔφοροι. Ἦν
δὲ οὐ τῷ Ἀγησιλάῳ ἀχθομένῳ ταῦτα· καὶ γὰρ τῷ μὲν
πατρὶ αὐτοῦ Ἀρχιδάμῳ ξένοι ἦσαν οἱ περὶ Ποδάνεμον,
καὶ τότε τῶν κατεληλυθότων ἦσαν· αὐτῷ δὲ οἱ ἀμφὶ
Προκλέα τὸν Ἱππονίκου. Ὡς δὲ τῶν διαβατηρίων γε- 14

§. 12. οἴκαδε μὲν addunt B. D. I. V. Schneid. Dind. — C. ἐξέβαλλον. — οὗτοι δὲ καὶ B. C. D. E. Dind. pro οὗτοι δὴ καί.

§. 13. αὐτῷ dedi pro ἑαυτῷ. — V. Πατροκλέα pro Προκλέα.

νες non dici docet, nisi ubi latissime extendatur negatio, et esse nostrum *Niemand in der Welt*, ut infra VII, 1, 23. 4, 28. Cyrop. I, 1, 2. VII, 5, 64. al. Cum h. l. comparat Hellen. V, 2, 13. Thuc. I, 126: ἤν μή τι ἐςακούσωσι. I, 82: ἢν μὲν ἐςακούσωσί τι. — De forma ἐς, quam hic et III, 4, 13. omnes libri firmant, v. Kuehn. ad Anab. II, 4, 4. — Ceterum de collocatione pronominis αὕτη v. ad V, 2, 17.

§. 11. τῶν οἴκοθεν] De attractione v. ad III, 1, 18.

τῶν πολιτῶν] civium suorum, popularium.

§. 12. οἱ βιαζόμενοι ταῦτα] a quibus haec violenter agerentur. De Venat. XI, 3: βιασθεῖσαι δὲ τοῦτο. V. ad Oecon. XVI, 6.

Λακεδαιμονίους ἀπέκλεισαν] De re v. IV, 4, 15. V, 2, 8.

βιαζόμενοι μὴ ἀποδιδόναι] cum violentia retinentes.

οὗτοι εἰσί] Antea erat οὗτοι — εἴησαν. V. ad III, 5, 23. Quo autem iure Schneider., cuius verba repetit Dindorf., ad orationem rectam hic redire Xenophontem dicat, equidem nescio. In recta oratione dicendum erat ἡμᾶς αὐτούς, non σφᾶς αὐτους.

σφᾶς αὐτούς] se ipsos, qui Lacedaemoniis faverent. V. ad V, 2, 8.

§. 13. ἦν — οὐ — ἀχθομένῳ] V. ad βουλομένῳ IV, 1, 11.

τῶν κατεληλυθότων ἦσαν] erant in numero exsulum.

αὐτῷ δέ] Utcunque torques sententiam, nullo pacto haec verba ex mente Agesilai dici possunt, Ergo ἑαυτῷ ferri nequit.

§. 14. τῶν διαβατηρίων] V. ad III, 4, 3.

νομένων οὐκ ἔμελλεν, ἀλλ' ἐπορεύετο, πολλαὶ πρεσβεῖαι
ἀπήντων καὶ χρήματα ἐδίδοσαν, ὥςτε μὴ ἐμβάλλειν.
Ὁ δὲ ἀπεκρίνατο, ὅτι οὐχ ἵνα ἀδικοίη, στρατεύοιτο, ἀλλ'
15 ὅπως τοῖς ἀδικουμένοις βοηθήσειεν. Οἱ δὲ τελευτῶν-
τες πάντα ἔφασκον ποιήσειν, ἐδέοντό τε μὴ ἐμβάλλειν.
Ὁ δὲ πάλιν ἔλεγεν, ὡς οὐκ ἂν πιστεύσειε λόγοις, καὶ
γὰρ τὸ πρότερον ψεύσασθαι αὐτούς, ἀλλ' ἔργου τινὸς
πιστοῦ δεῖν ἔφη. Ἐρωτώμενος δέ, καὶ τί τοῦτ' ἂν εἴη;
πάλιν ἀπεκρίνατο, Ὅπερ καὶ πρόσθεν, ἔφη, ποιήσαντες
οὐδὲν ὑφ' ἡμῶν ἠδικήθητε. Τοῦτο δὲ ἦν τὴν ἀκρόπο-
16 λιν παραδοῦναι. Οὐκ ἐθελόντων δὲ αὐτῶν τοῦτο ποι-
εῖν, ἐνέβαλέ τε εἰς τὴν χώραν καὶ ταχὺ περιτειχίσας
Ch. a. 380. ἐπολιόρκει αὐτούς. Πολλῶν δὲ λεγόντων Λακεδαιμο-
νίων, ὡς ὀλίγων ἕνεκεν ἀνθρώπων πόλει ἀπεχθάνοιντο
πλέον πεντακιςχιλίων ἀνδρῶν· καὶ γὰρ δὴ ὅπως τοῦτ'
ἔνδηλον εἴη, οἱ Φλιάσιοι ἐν τῷ φανερῷ τοῖς ἔξω ἐξεκλη-

§. 14. ἔμελλε A. D. F. I. mgg. Steph. et Leoncl. Schneid. edd. sqq. pro ἔμενε; B. E. ἔμελε.

§. 15. Post ἔφασκον om. τε B. D. F. I. V. Leoncl. Steph. Wells. Dind.

§. 16. Edd. ante Schneid. praeter Cast. omnes ἐνέβαλέ τε καὶ εἰς. — ἔνδηλον B. D. I. Dind. pro εὔδηλον. — ἐξεκλησίαζον D. E. Dind., ἐκκλησίαζον B., ἐξεκκλησίαζον ceteri.

γενομένων] V. ad III, 1, 17.

ἐδίδοσαν] V. ad III, 5, 18.

ὥςτε μὴ ἐμβάλλειν] ea conditione, ut non incursionem faceret. Cyrop. III, 1, 35: ὥςτε δὲ τὴν γυναῖκα ἀπολαβεῖν — πόσα ἄν μοι χρήματα δοίης; ibid. III, 2, 16: ἐγὼ ὥςτε ἀπελάσαι Χαλδαίους πολλαπλάσια ἂν ἔδωκα χρήματα, ubi v. adn. meam. Infra VI, 1, 10. Kuehner. ad Comment. II, 7, 6. Buttm. §. 149. 1, 2. Rost. §. 185. 2. Kuehn. §. 341. 3 d.

§. 15. τελευτῶντες] postremo. V. Buttm. §. 150. 32. Kuehn. §. 312. ann. 3.

ἐδέοντό τε] De particula τὲ semel posita v. ad Oecon. XIII, 10. Ages. II, 31. Kuehner. ad Comment. I, 4, 6.

πιστοῦ] quod fidem facere posset. Cf. ad III, 2, 18.

καὶ τί — εἴη] V. ad §. 10.

ἀπεκρίνατο — ἔφη] V. ad εἶπε — ἔφη III, 3, 5.

Ὅπερ — ποιήσαντες] V. IV, 4, 15. extr.

§. 16. πολλῶν δὲ λεγόντων] Haec pertinere imprimis videntur ad Agesipolis, alterius regis, factionem. Nam discidium fuisse inter duos reges auctor est Diod. XV, 19: κατὰ τοῦτον τὸν χρόνον οἱ βασιλεῖς διεφέροντο πρὸς ἀλλήλους ταῖς αἱρέσεσιν. Ἀγησίπολις γὰρ ἔφη δεῖν ἐμμένειν τοῖς ὅρκοις καὶ παρὰ τὰς κοινὰς συνθήκας μὴ καταδουλοῦσθαι τοὺς Ἕλληνας κ. τ. λ. V. infra §. 20: ἀντιπάλῳ. Supra IV, 7, 5.

ὀλίγων] φυγάδων.

πλέον] De structura v. ad III, 2, 19.

ἐν τῷ φανερῷ τοῖς ἔξω] in loco, quo concionantes conspici possent ab obsidentibus.

σίαζον· ὁ μέντοι Ἀγησίλαος πρὸς τοῦτο ἀντεμηχανήσατο. Ὁπότε γὰρ ἐξίοιεν ἢ διὰ φιλίαν ἢ διὰ συγγένειαν 17
τῶν φυγάδων, ἐδίδασκε συσσίτιά τε αὐτῶν κατασκευάζειν καὶ εἰς τὰ ἐπιτήδεια ἱκανὸν διδόναι, ὁπόσοι γυμνάζεσθαι ἐθέλοιεν· καὶ ὅπλα δὲ ἐκπορίζειν ἅπασι τούτοις διεκελεύετο καὶ μὴ ὀκνεῖν εἰς ταῦτα χρήματα δανείζεσθαι. Οἱ δὲ ταῦτα ὑπηρετοῦντες ἀπέδειξαν πλείους χιλίων ἀνδρῶν ἄριστα μὲν τὰ σώματα ἔχοντας, εὐτάκτους δὲ καὶ εὐοπλοτάτους· ὥςτε τελευτῶντες οἱ Λακεδαιμόνιοι ἔλεγον, ὡς τοιούτων δέοιντο συστρατιωτῶν.

Καὶ Ἀγησίλαος μὲν δὴ περὶ ταῦτα ἦν. Ὁ δὲ Ἀγη- 18
σίπολις εὐθὺς ἐκ τῆς Μακεδονίας προσιὼν ἔθετο πρὸς τῇ πόλει τῶν Ὀλυνθίων τὰ ὅπλα. Ἐπεὶ δὲ οὐδεὶς ἀντεξῄει αὐτῷ, τότε τῆς Ὀλυνθίας εἴ τι ὑπόλοιπον ἦν ἐδῄου καὶ εἰς τὰς συμμαχίδας ἰὼν αὐτῶν ἔφθειρε τὸν σῖτον· Τορώνην δὲ καὶ προςβαλὼν εἷλε κατὰ κράτος.
Ἐν δὲ τούτοις ὄντα κατὰ θέρους ἀκμὴν καῦμα πυρι- 19

§. 17. ἐξίοιεν B. D. V. mg. Leoncl. Schneid. Dind. pro ἐξέλθοιεν. — ἢ διὰ φιλίαν ἢ διὰ συγγ. B. C. D. E. F. V. Schneid. Dind. pro ἢ διὰ συγγ. ἢ διὰ φιλ. — B. D. αὐτῶν pro αὑτῶν. — Leoncl. καὶ ὅσον εἰς τὰ, Port. Steph. καὶ ἀργύριον εἰς τὰ.

§. 18. Edd. vett. εὐθύς τε, Steph. εὐθύς γε. — C. om. τῶν Ὀλυνθ. — αὐτῷ B. V. Dind. pro αὐτῶν. — Verba τότε τῆς Ὀλυνθίας usque ad αὐτῶν addunt B. D. I. V. Steph. Leoncl. Schneid. Dind., sed Steph. et Leoncl. habent ἐδῄουν et ille om. ὑπόλοιπον, cuius loco hic edidit ἀδῄωτον. — Leoncl. καὶ Τορώνην δὲ, V. Τορώνην δὲ καὶ Θέρμην.

ἐξεκλησίαζον] De forma v. Buttm. §. 86. ann. 3. Rost. gr. mai. §. 68. ann. 1. Usitatior forma est ἐκκλησίαζον.

ὁ μέντοι Ἀγησίλαος] Propter sententias modo interpositas per μέντοι pergitur, quasi haec non apodosin efficiant verborum πολλῶν δὲ λεγόντων κ. τ. λ. V. ad V, 1, 28.

§. 17. ἐξίοιεν] ex urbe perfugae.

ἐδίδασκε — διδόναι] Monuit suos, ut convivia sodalitia inter se instituerent et ad res necessarias darent quod satis esset. Arma quum paullo post commemorentur, τὰ ἐπιτήδεια vestimenta esse et alia, quae ad corporis cultum pertinent, coniectari licet. Cf. ad Oecon. VIII, 12. Ita ne Dindorfius quidem audiendus est, qui τὰ ἐπιτήδεια εἰς ἱκανόν commendat.

ὁπόσοι γυμνάζεσθαι ἐθέλοιεν] omnibus qui exerceri, h. e. qui in numerum militum recipi, vellent, ut sequentia ostendunt.

ἄριστα] adverbium est, ut ἄμεινον VI, 2, 27, et σώματα accusativus graecus, quem vocant. V. ad Oecon. XXI, 7. Cyrop. I, 6, 18. Supra ad III, 4, 16.

τελευτῶντες] V. ad §. 15.

§. 18. Ὁ δὲ Ἀγησίπολις] V. ad §. 9. extr.

Τορώνην] in Sithonia paeninsula sitam.

φλεγὲς λαμβάνει αὐτόν. Ὡς δὲ πρόσθεν ἑωρακότα τὸ ἐν Ἀφύτει τοῦ Διονύσου ἱερὸν ἔρως αὐτὸν τότ᾽ ἔσχε τῶν τε σκιερῶν σκηνημάτων καὶ τῶν λαμπρῶν καὶ ψυχρῶν ὑδάτων. Ἐκομίσθη μὲν οὖν ἐκεῖσε ἔτι ζῶν, ὅμως μέντοι ἑβδομαῖος ἀφ᾽ οὗ ἔκαμεν ἔξω τοῦ ἱεροῦ ἐτελεύτησε. Καὶ ἐκεῖνος μὲν ἐν μέλιτι τεθεὶς καὶ κομισθεὶς οἴκαδε ἔτυχε τῆς βασιλικῆς ταφῆς,

20 Ἀγησίλαος δὲ τοῦτο ἀκούσας οὐχ ᾗ τις ἂν ᾤετο ἐφήσθη ὡς ἀντιπάλῳ, ἀλλὰ καὶ ἐδάκρυσε καὶ ἐπόθησε τὴν συνουσίαν. Συσκηνοῦσι μὲν γὰρ δὴ βασιλεῖς ἐν τῷ αὐτῷ, ὅταν οἴκοι ὦσιν· ὁ δὲ Ἀγησίπολις τῷ Ἀγησιλάῳ ἱκανὸς μὲν ἦν καὶ ἡβητικῶν καὶ θηρευτικῶν καὶ ἱππικῶν καὶ παιδικῶν λόγων μετέχειν· πρὸς δὲ τούτοις καὶ ὑπῃδεῖτο αὐτὸν ἐν τῇ συσκηνίᾳ, ὥςπερ εἰκός, πρεσβύτερον. Καὶ οἱ μὲν Λακεδαιμόνιοι ἀντ᾽ ἐκείνου Πολυβιάδην ἁρμοστὴν ἐπὶ τὴν Ὄλυνθον ἐκπέμπουσιν.

21 Ὁ δ᾽ Ἀγησίλαος ἤδη μὲν ὑπερέβαλε τὸν χρόνον,
Ch. a.379. ὅσον ἐλέγετο ἐν τῷ Φλιοῦντι σῖτος εἶναι· τοσοῦτον γὰρ

§. 19. F. V. περιφλεγὲς. — πρόσθεν B. D. F. V. marg. Leoncl. Dind. pro πρώην. — Dind. ἑορακότα. — D. om. τε post τῶν. — F. Dind. σκηνωμάτων.

§. 20. καὶ post ἀλλὰ addunt B. Steph. edd. sqq. — A. C. E. edd. vett. ἐπένθησε pro ἐπόθησε.

§. 21. A. B. C. D. E. ὑπερέβαλλε. — B., ut videtur, et edd. vett. ὅσον pro ὅσου. — ψηφισάμενοι Dind. pro συμψηφ.

§. 19. Ἀφύτει] in Pallene paeninsula sita.

σκηνημάτων] vox rarior. Infra VII, 4, 32. Anab. II, 2, 17. VII, 4, 16. legitur σκηνώματα. Nec tamen vulgatam mutare ausus sum, quia verba σκηνεῖν et σκηνοῦν a Xenophonte promiscue usurpantur non minus quam ἐκπολεμεῖν et ἐκπολεμοῦν V, 4, 20.

ἐν μέλιτι τεθείς] Cf. Corn. Nep. Ages. VIII, extr.: quod mel non habebant, cera circumfuderunt.

τῆς βασιλικῆς ταφῆς] V. ad III, 3, 1.

§. 20. ὡς ἀντιπάλῳ] V. ad §. 16.

συσκηνοῦσι — ἐν τῷ αὐτῷ] De hac re cf. De rep. Lac. XV, 4.

ἡβητικῶν — καὶ παιδικῶν λόγων] „Sermones, quales ab amantibus habebantur, interdum sine dubio festivi etiam et ioculares, sunt παιδικοὶ λόγοι," de quibus accuratius disserui ad Ages. VIII, 2. ἡβητικοὶ λόγοι sunt qui omnino ad res iuveniles pertinent.

πρεσβύτερον] scil. ὄντα. V. ad Ages. III, 11. XI, 6. Agesipolis mortem narrat Diod. XV, 23.

§. 21. ὅσον — σῖτος] Hertlin. comparat Thuc. II, 30: χρόνον ἐμμείναντες, ὅσον εἶχον τὰ ἐπιτήδεια. III, 1: ἐμμείναντες χρόνον οὗ εἶχον τὰ σιτία.

ἐγκράτεια γαστρὸς διαφέρει, ὥστε οἱ Φλιάσιοι τὸν ἥμισυν ψηφισάμενοι σῖτον τελεῖν ἢ πρόσθεν καὶ ποιοῦντες τοῦτο τὸν διπλάσιον τοῦ εἰκότος χρόνον πολιορκούμενοι διήρκεσαν. Καὶ τόλμα δὲ ἀτολμίας ἔσθ' ὅτε 22
τοσοῦτον διαφέρει, ὥστε Δελφίων τις, λαμπρὸς δοκῶν εἶναι, λαβὼν πρὸς αὑτὸν τριακοσίους ἄνδρας Φλιασίων ἱκανὸς μὲν ἦν κωλύειν τοὺς βουλομένους εἰρήνην ποιεῖσθαι, ἱκανὸς δὲ οἷς ἠπίστει εἵρξας φυλάττειν, ἠδύνατο δὲ εἴς τε τὰς φυλακὰς ἀναγκάζειν τὸ πλῆθος ἰέναι καὶ τούτους ἐφοδεύων πιστοὺς παρέχεσθαι. Πολλάκις δὲ μεθ' ὧν εἶχε περὶ αὑτὸν καὶ ἐκθέων ἀπέκρουε φύλακας ἄλλοτ' ἄλλῃ τοῦ περιτετειχισμένου κύκλου. Ἐπεὶ 23
μέντοι οἱ ἐπίλεκτοι οὗτοι πάντα τρόπον ζητοῦντες οὐχ εὕρισκον σῖτον ἐν τῇ πόλει, ἐκ τούτου δὴ πέμψαντες πρὸς τὸν Ἀγησίλαον ἐδέοντο σπείσασθαι πρεσβείᾳ εἰς Λακεδαίμονα ἰούσῃ· δεδόχθαι γὰρ σφίσιν ἔφασαν ἐπιτρέπειν τοῖς τέλεσι τῶν Λακεδαιμονίων χρήσασθαι τῇ πόλει ὅ τι βούλοιντο. Ὁ δὲ ὀργισθείς, ὅτι ἄκυρον αὐ- 24
τὸν ἐποίουν, πέμψας μὲν πρὸς τοὺς οἴκοι φίλους διεπράξατο ἑαυτῷ ἐπιτραπῆναι τὰ περὶ Φλιοῦντος, ἐσπείσατο δὲ τῇ πρεσβείᾳ. Φυλακῇ δὲ ἔτι ἰσχυροτέρᾳ ἢ

§. 22. πρὸς αὑτὸν Dind., πρὸς αὐτὸν C. F., πρὸς αὐτοὺς B. D. E. I. V., μεθ' ἑαυτοῦ ceteri. — εἵρξας Dind. pro εἴρξας. — E. Dind. ἐδύνατο. — Schneid. ἀπέκρουε (τοὺς) φύλ.

§. 23. ζητοῦντες B, D. F. I. V. Dind. pro ἐπιζητοῦντες. — Edd. vett. ἐπὶ τῇ πόλει pro ἐν τ. π. — πρεσβείᾳ — ἰούσῃ Port. Leoncl. edd. sqq. pro πρεσβείαν — ἰοῦσι.

§. 24. φυλακῇ — ἰσχυροτέρᾳ B. D. V. Dind. pro φυλακὴ — ἰσχυ-

τελεῖν] est dare quod debetur, ut in μισθὸν τελεῖν, φόρον τελεῖν. Recte igitur Portus: metiri, pendere. Cobetus emendat. ἁλεῖν.

τοῦ εἰκότος] quam erat credibile.

§. 22. εἵρξας] Includere est εἵργειν, arcere, prohibere εἴργειν. Illud solum accomodatum est huic loco.

τούτους] ad πλῆθος refertur per synesin. V. ad II, 3, 55. V, 2, 37.

καὶ ἐκθέων] vel erumpens: adeo audaciae progressus est. Male igitur Morus seclusit, Schneider. ad verba πολλάκις δὲ retrahendum censebat καί.

φύλακας] excubitores hostium.

τοῦ — κύκλου] V. ad IV, 4, 11.

§. 23. οἱ ἐπίλεκτοι] trecenti illi Delphionis.

σπείσασθαι πρεσβείᾳ — ἰούσῃ] inducias concedere legationi, quae ire — vellet. Cf. §. 24.

ὅ τι βούλοιντο] V. ad II, 4, 37.

*πρότερον ἐφύλαττεν, ἵνα μηδεὶς τῶν ἐκ τῆς πόλεως ἐξίοι. Ὅμως μέντοι ὅ γε Δελφίων καὶ στιγματίας τις μετ᾽ αὐτοῦ, ὃς πολλὰ ὑφείλετο ὅπλα τῶν πολιορκούντων, ἀπέδρασαν νύκτωρ.*

25 *Ἐπεὶ δὲ ἧκον ἐκ τῆς Λακεδαίμονος ἀπαγγέλλοντες, ὅτι ἡ πόλις ἐπιτρέποι Ἀγησιλάῳ διαγνῶναι τὰ ἐν Φλιοῦντι ὅπως αὐτῷ δοκοίη, Ἀγησίλαος δὴ οὕτως ἔγνω πεντήκοντα μὲν ἄνδρας τῶν κατεληλυθότων, πεντήκοντα δὲ τῶν οἴκοθεν πρῶτον μὲν ἀνακρῖναι, ὅντινά τε ζῆν ἐν τῇ πόλει καὶ ὅντινα ἀποθανεῖν δίκαιον εἴη· ἔπειτα δὲ νόμους θεῖναι, καθ᾽ οὓς πολιτεύσοιντο· ἕως δ᾽ ἂν ταῦτα διαπράξωνται, φυλακὴν καὶ μισθὸν τοῖς φρουροῖς ἓξ μηνῶν κατέλιπε. Ταῦτα δὲ ποιήσας τοὺς μὲν συμμάχους ἀφῆκε, τὸ δὲ πολιτικὸν οἴκαδε ἀπήγαγε. Καὶ τὰ μὲν περὶ Φλιοῦντα οὕτως αὖ ἐπετετέλεστο ἐν ὀκτὼ μησὶ καὶ ἐνιαυτῷ.*

26 *Καὶ ὁ Πολυβιάδης δὲ δὴ παντάπασι κακῶς ἔχοντας λιμῷ τοὺς Ὀλυνθίους διὰ τὸ μήτ᾽ ἐκ τῆς γῆς λαμβάνειν μήτε κατὰ θάλατταν εἰςάγεσθαι σῖτον αὐτοῖς, ἠνάγκασε πέμψαι εἰς Λακεδαίμονα περὶ εἰρήνης. Οἱ δ᾽ ἐλθόντες πρέσβεις αὐτοκράτορες συνθήκας ἐποιήσαντο τὸν αὐτὸν μὲν ἐχθρὸν καὶ φίλον Λακεδαιμονίοις νομίζειν, ἀκολουθεῖν δὲ ὅποι ἂν ἡγῶνται καὶ σύμμαχοι εἶ-*

*ροτέρα.* — *ἐξίοι* B. C. D. E. F. V. Schneid. Dind. pro *ἐξίῃ.* — V. *μέντοι γε ὁ Δ.*

§. 25. A. C. E. F. V. edd. vett. *ἦσαν* pro *ἧκον.* — *ἐπιτρέποι* B. D. F. V. Dind. pro *ἐπιτρέπει.* — B. C. D. E. V. *δὲ οὕτως.* — *τε* ante *ζῆν* addunt B. C. D. E. I. Steph. Leoncl. Schneid. Dind.

§. 26. *δὴ* addunt B. I. — *ὅποι* B. D. F. V. Dind. pro *ὅπῃ.* —

§. 24. *τῶν ἐκ τῆς πόλεως*] De attractione v. ad III, 1, 18.

*ὃς — ὑφείλετο*] Haec verba causam addere videntur, cur maxime ille servus supplicium metuens aufugerit. Quodsi Schneider. arma militum ante castra Agesilai posita auferentem evasisse putat, eum sensum *ὑφελόμενος* potius quam *ὃς ὑφείλετο* exprimeret.

§. 25. *ἧκον—ἀπαγγέλλοντες*] *πρέσβεις*, qui missi erant §. 24. V. etiam ad *ἔχων* II, 1, 8.

*τῶν οἴκοθεν*] qui opponuntur exsulibus. Dicitur autem *οἴκοθεν* pro *οἴκοι* per eandem attractionem, quae ad §. 24 commemorata est: nam eligendi erant ex civium, qui in urbe erant, numero.

*ἐν ὀκτὼ μησὶ καὶ ἐνιαυτῷ*] Tantum igitur praeterlapsum est temporis, dum fiebant §. 16—25 narrata.

§. 26. *Πολυβιάδης*] V. §. 20. Plura ab eo gesta narrat Diod. XV, 23.

*αὐτοκράτορες*] Cf. II, 2, 19.

*τὸν αὐτὸν — νομίζειν*] Cf. II, 2, 20.

ναι. Καὶ ὀμόσαντες ταύταις ἐμμένειν οὕτως ἀπῆλθον οἴκαδε.

Προκεχωρηκότων δὲ τοῖς Λακεδαιμονίοις, ὥςτε Θη- 27
βαίους μὲν καὶ τοὺς ἄλλους Βοιωτοὺς παντάπασιν ἐπ' ἐκείνοις εἶναι, Κορινθίους δὲ πιστοτάτους γεγενῆσθαι, Ἀργείους δὲ τεταπεινῶσθαι διὰ τὸ μηδὲν ἔτι ὠφελεῖν αὐτοὺς τῶν μηνῶν τὴν ὑποφοράν, Ἀθηναίους δὲ ἠρημῶσθαι, τῶν δ' αὖ συμμάχων κεκολασμένων οἳ δυςμενῶς εἶχον αὐτοῖς, παντάπασιν ἤδη καλῶς καὶ ἀσφαλῶς ἡ ἀρχὴ ἐδόκει αὐτοῖς κατεσκευάσθαι.

*ταύταις* Leoncl. edd. sqq. pro *ταῦτα*. — Schneid. Dind. *ἐμμενεῖν*.

*ταύταις*] *ταῖς συνθήκαις*.
*ἐμμένειν*] V. ad V, 1, 35.
§. 27. *Προκεχωρηκότων*] V. ad II, 2, 16. 4, 29. Huius loci sententia quod momentum habeat ad rationem et consilium posterioris Hellenicorum partis recte perspiciendum, exposui in Praefat. pr. fasc. p. XIV. Cf. Diod. XV, 23: *διὸ καὶ κατὰ τούτους τοὺς καιροὺς πλεῖστον ἴσχυσαν Λακεδαιμόνιοι καὶ τῆς Ἑλλάδος ἔσχον τὴν ἡγεμονίαν κατὰ γῆν ἅμα καὶ κατὰ θάλατταν. Θηβαῖοι μὲν γὰρ ὑπῆρχον ἔμφρουροι, Κορίνθιοι δὲ καὶ Ἀργεῖοι διὰ τοὺς προγεγονότας πολέμους ὑπῆρχον τεταπεινωμένοι, Ἀθηναῖοι δὲ διὰ τὰς τῶν πολεμουμένων κληρουχίας ἠδόξουν ἐν τοῖς Ἕλλησιν.*
*τῶν μηνῶν τὴν ὑποφοράν*] V. ad IV, 7, 2.
*ἠρημῶσθαι*] a sociis esse desertos.

---

# CAPUT IV.

## ARGUMENTUM.

Thebanis vero poenam dederunt Lacedaemonii. Nam pauci quidam Thebani clam facta conspiratione occisis tyrannis Cadmeam cum Atheniensibus accitis invadunt et Lacedaemoniorum praesidium ad deditionem cogunt. Morte multant Lacedaemonii harmostam, qui Cadmeam Thebanis reddiderat. Iam vero quum Agesilaus aetatem excusaret, adversus hos bellum Cleombroto mandant. Qui quum fere nihil egisset, reliquit Thespiis cum tertia sociorum parte Sphodriam harmostam domumque rediit. Inusitata procella in eius reditu. Thebani ne soli bellum haberent cum Lacedaemoniis, Sphodriam corruperunt, ut in Atticam irrumperet. Hoc ille facit insciis Lacedaemoniis, atque arcessitus, quum in iudicio capitali non comparuisset, tamen ob virtutes et merita in patriam, vel potius deprecante apud Agesilaum Archidamo, absolutus est. Commovit hoc Athenienses, ut iam Boeotos omni ope iuvarent. Lacedaemonii autem rursus Agesilao duce bellum iisdem inferunt. Sed hic non multis rebus gestis do-

mum redit, Thespiis relicto Phoebida harmosta. Hic primo multum agri vastabat Thebanorum. Sed ad pugnam Thebani profecti eum prosternunt eiusque exercitum caedunt et fugant. Agesilaus suscepta adversus Thebas expeditione simularat se primo Thespias venturum. Hoc falso nuntio decepit Thebanos et alia loca atque ipsi putarant ingressus multa depopulatus est, priusquam illi rebus suis subsidio venire possent. Deinde quum accessissent, ipsas Thebas versus deflectens eos permovit, ut cursu ad urbem magno anfractu contenderent. Sciritae eos usque ad moenia persecuti, revertentibus inde Thebanis, celeriter se recipiunt. Tropaeum igitur statuunt Thebani. Postero die Agesilaus abiit Thespias. Ibi discordias civiles sedavit et inde cum suis domum est profectus. Thebani duas triremes frumenta emptum emittunt Pagasas. Has cum frumento et trecentis hominibus capit Aletas Lacedaemonius Oreum Euboeae tenens captosque in arce includit. Sed commodam nacti occasionem ipsi arcem occupant: quo facto civitas defecit a Lacedaemoniis, neque amplius Thebani frumento caruerunt. Morbus Agesilai. Cleombrotus adversus Thebas profectus quum Cithaerone ab hostibus deiectus esset, reversus est exercitumque dimisit. Iam suasu sociorum Lacedaemonii magnam classem parant, qua maxime re frumentaria intercluderent Athenienses. Sed hi Chabria duce victores navibus annonariis tutum Athenas cursum praestiterunt. Mox et Boeotorum rogatu classem sexaginta navium Timotheo duce adversus eos miserunt. Timotheus civitates circa Corcyram aequitate sibi adiunxit. Contra eum Lacedaemonii mittunt Nicolochum, hominem valde audacem, qui a navibus nondum satis instructus infeliciter pugnavit.

---

1 *Πολλὰ μὲν οὖν ἄν τις ἔχοι καὶ ἄλλα λέγειν καὶ Ἑλληνικὰ καὶ βαρβαρικά, ὡς θεοὶ οὔτε τῶν ἀσεβούντων οὔτε τῶν ἀνόσια ποιούντων ἀμελοῦσι· νῦν γε μὴν λέξω τὰ προκείμενα. Λακεδαιμόνιοί τε γὰρ οἱ ὀμόσαντες αὐτονόμους ἐάσειν τὰς πόλεις τὴν ἐν Θήβαις ἀκρόπολιν κατασχόντες ὑπ' αὐτῶν μόνων τῶν ἀδικηθέντων ἐκολάσθησαν, πρότερον οὐδ' ὑφ' ἑνὸς τῶν πώποτε ἀν-*

Cap. IV. §. 1. *αὐτῶν μόνων* Dind. pro *αὐτῶν μόνον*. — *πρότε-*

Cap. IV. §. 1. *ἄλλα λέγειν —, ὡς — ἀμελοῦσι*] De hac dicendi brevitate v. ann. ad similem locum II, 3, 27: *Ὡς δὲ ταῦτα ἀληθῆ —, εὑρήσετε.*

*γε μήν*] opponitur antecedenti *μέν*. V. ad III, 1, 7. VI, 3, 14.

*αὐτῶν μόνων*] Ita recte scribi apparet ex iis, quae Heindorf. docet ad Plat. Charm. p. 156 B: *οὐχ οἷόν τε αὐτοὺς μόνους ἐπιχειρεῖν τοὺς ὀφθαλμοὺς ἰᾶσθαι.* Cf. Saupp. ad Comment. III, 2, 2.

*πρότερον*] Servari posse *πρῶτον* contendit Dindorf. comparans Hier. IV, 2: *καὶ τούτων πρὶν ἀπάρχεσθαι τοῖς θεοῖς, τοὺς δια-*

θρώπων κρατηθέντες, τούς τε τῶν πολιτῶν εἰςαγαγόντας εἰς τὴν ἀκρόπολιν αὐτοὺς καὶ βουληθέντας Λακεδαιμονίοις δουλεύειν τὴν πόλιν, ὥςτε αὐτοὶ τυραννεῖν, τὴν τούτων ἀρχὴν ἑπτὰ μόνον τῶν φυγόντων ἤρκεσαν καταλῦσαι. Ὡς δὲ τοῦτ' ἐγένετο, διηγήσομαι.

Ἦν τις Φυλλίδας, ὃς ἐγραμμάτευε τοῖς περὶ Ἀρ- 2
χίαν πολεμάρχοις καὶ τἄλλα ὑπηρέτει, ὡς ἐδόκει, ἄριστα. Τούτῳ δ' ἀφιγμένῳ Ἀθήναζε κατὰ πρᾶξίν τινα καὶ πρόσθεν γνώριμος ὢν Μέλων τῶν Ἀθήναζε πεφευγότων Θηβαίων συγγίγνεται, καὶ διαπυθόμενος μὲν τὴν περὶ Ἀρχίαν τε τὸν πολεμαρχοῦντα καὶ τὴν περὶ Φίλιπ-

ρον Wolf., πρῶτον ceteri. — δουλεύειν τὴν πόλιν B. C. D. E. F. V. Dind. pro τὴν π. δουλ.

§. 2. ὑπηρέτει B. D. E. I. V, mg. Steph. Leoncl. Dind. pro ὑπηρετήκει. — Μέλων B. D. Dind. pro Μέλλων. — μισοῦντα αὐτὸν ἔτι

κόνους πρῶτον κελεύουσιν ἀπογεύσασθαι. Aristoph. Vesp. 55: Φέρε νυν κατείπω τοῖς θεαταῖς τὸν λόγον ὀλίγ' ἄττ' ὑπειπὼν πρῶτον αὐτοῖσιν ταδί, Sed his locis nullo fere temporis discrimine primum aliquid faciendum esse dicitur, nostro loco praesenti praeteritum opponitur tempus. Differt illud πρῶτον ab hoc πρότερον item ac nostrum *zuerst* ab adverbiis *früher, vor dem.* Quapropter non dubitavi recipere πρότερον, probatum etiam Hertlinio et H. Sauppio ad Demosth. Olynth. III, 30. V. Addenda ad I, 7, 28.

κρατηθέντες] in ditionem alienam redacti.

τῶν πολιτῶν] Thebanorum.

ὥςτε αὐτοὶ τυραννεῖν] liberior constructio. Ponitur αὐτοί, non αὐτούς, quasi antea dictum sit οἳ ἐβούλοντο pro καὶ βουληθέντας.

τὴν τούτων ἀρχήν] De hoc rariore epanalepsis genere dixi ad II, 3, 48.

§. 2. τοῖς περὶ Ἀρχίαν πολεμάρχοις] Errant qui his verbis praeter Archiam Philippum tantum putant denotari, si quidem οἱ περί τινα nunquam duo tantum sunt homines. Dicitur autem praeter Archiam et Philippum etiam Leontiades πολέμαρχος Plut. Ages. XXIV, 1, et Hypates πολεμάρχων nomine comprehenditur Plut. Pelop. XI et Hellen. VII, 3, 7. Adde quod qui illo tempore Thebis dominabantur Plut. Pelop. VII οἱ περὶ Ἀρχίαν καὶ Φίλιππον, Hellen. VII, 3, 7 autem οἱ περὶ Ἀρχίαν καὶ Ὑπάτην, V, 4, 19 οἱ περὶ Λεοντιάδην dicuntur, quum infra ex §. 7, ubi a polemarchis aliquid nuntiari ad Leontiadem simulatur a coniuratis, hunc non e numero polemarchorum fuisse concludendum videatur. Unde coniicere licet, quamvis duo tantum legitimi fuerint polemarchi, Archias et Philippus, id quod e verbis sequentibus τὴν περὶ Ἀρχίαν τε τὸν πολεμαρχοῦντα καὶ τὴν περὶ Φίλιππον τυραννίδα cognoscitur, tamen et a Xenophonte et a Plutarcho alios quoque factionis Spartanis amicae principes ut Leontiadem et Hypatem appellari πολεμάρχους. Quam sententiam firmat etiam Plut. Pelop. VII: Φυλλίδας — τῶν περὶ Ἀρχίαν καὶ Φίλιππον γραμματεὺς πολεμαρχούντων.

τὴν περὶ Ἀρχίαν τε — καὶ τὴν περὶ Φίλ.] Ad Φίλιππον

πον τυραννίδα, γνοὺς δὲ μισοῦντα αὐτὸν ἔτι μᾶλλον αὐτοῦ τὰ οἴκοι, πιστὰ δοὺς καὶ λαβὼν συνέθετο, ὡς δεῖ
3 ἕκαστα γίγνεσθαι. Ἐκ δὲ τούτου προςλαβὼν ὁ Μέλων ἓξ τοὺς ἐπιτηδειοτάτους τῶν φευγόντων ξιφίδια ἔχοντας καὶ ἄλλο ὅπλον οὐδέν, ἔρχεται πρῶτον μὲν εἰς τὴν χώραν νυκτός· ἔπειτα δὲ ἡμερεύσαντες ἔν τινι τόπῳ ἐρήμῳ πρὸς τὰς πύλας ἦλθον, ὡς δὴ ἐξ ἀγροῦ ἀπιόντες, ἡνίκαπερ οἱ ἀπὸ τῶν ἔργων ὀψιαίτατοι. Ἐπεὶ δ' εἰςῆλθον εἰς τὴν πόλιν διενυκτέρευσαν μὲν ἐκείνην τὴν νύκτα παρὰ Χάρωνί τινι καὶ τὴν ἐπιοῦσαν δ' ἡμέραν
4 διημέρευσαν. Ὁ μὲν οὖν Φυλλίδας τά τε ἄλλα ἐπεμελεῖτο τοῖς πολεμάρχοις, ὡς Ἀφροδίσια ἄγουσιν ἐπ' ἐξόδῳ τῆς ἀρχῆς, καὶ δὴ καὶ γυναῖκας πάλαι ὑπισχνούμενος ἄξειν αὐτοῖς τὰς σεμνοτάτας καὶ καλλίστας τῶν ἐν Θήβαις, τότ' ἔφη ἄξειν. Οἱ δέ, ἦσαν γὰρ τοιοῦτοι,
5 μάλα ἡδέως προςεδέχοντο νυκτερεύειν. Ἐπεὶ δὲ ἐδείπνησάν τε καὶ συμπροθυμουμένου ἐκείνου ταχὺ ἐμεθύσθησαν, πάλαι κελευόντων ἄγειν τὰς ἑταίρας, ἐξελθὼν ἤγαγε τοὺς περὶ Μέλωνα, τρεῖς μὲν στείλας ὡς
6 δεσποίνας, τοὺς δ' ἄλλους ὡς θεραπαίνας. Κἀκείνους

μᾶλλον B. D. F. V. Dind. pro ἔτι μᾶλλον μισ. αὐτὸν. — D. F. B. V. om. αὐτοῦ, quod ceteri post τὰ οἴκοι ponunt.

§. 5. Μέλωνα B. D. E. V. Dind. pro Μέλλωνα. — V. τρεῖς δὲ τοὺς ἄλλους pro τοὺς δ' ἄλλους.

repetas τὸν πολεμαρχοῦντα. Sic magis effertur Archiae auctoritas ac potentia, quam si dictum esset τὴν περὶ Ἀρχίαν τε καὶ Φίλιππον πολεμαρχοῦντας τυραννίδα. De repetito articulo v. ad III, 5, 5.

§. 3. ἓξ τοὺς ἐπιτηδειοτάτους] Plut. Pelop. VIII et Corn. Nep. Pelop. II commemorant duodecim.

ἔν τινι τόπῳ ἐρήμῳ] in Cithaerone. Plut. de gen. Socr. p. 587 F. 594 E.

οἱ ἀπὸ τῶν ἔργων] scil. ἦλθον. De attractione v. ad III, 1, 18. 22.

§. 4. τὰ — ἄλλα ἐπεμελεῖτο] De accusativo v. ad IV, 1, 40.

Ἀφροδίσια] metaphorice dicta esse monet Schneider. Ἀφροδίσια enim agere solebant nautae ex longo itinere reduces. Plut. Mor. p. 795. 1095. 1097. Inde bellorum aliorumque conatorum felices exitus, h. l. commissatio a polemarchis, antequam magistratu se abdicant, instituta, appellantur Ἀφροδίσια. Cf. Plut. Comp. Cim. et Luc. I: ἤδη λοιπὸν Ἀφροδίσια τῶν πολέμων καὶ στρατηγιῶν ἄγοντα παίζειν καὶ τρυφᾶν. De re cf. Corn. Nep. Pelop. II, 2: diem delegerunt ad inimicos opprimendos — eum, quo maximi magistratus simul consuerunt epulari.

τε — καὶ δὴ καί] quum — tum.

§. 5. πάλαι] dudum.

μὲν εἰςήγαγεν εἰς τὸ ταμιεῖον τοῦ πολεμαρχείου, αὐτὸς δ' εἰςελθὼν εἶπε τοῖς περὶ Ἀρχίαν, ὅτι οὐκ ἂν φασιν εἰςελθεῖν αἱ γυναῖκες, εἴ τις τῶν διακόνων ἔνδον ἔσοιτο. Ἔνθεν οἱ μὲν ταχὺ ἐκέλευον πάντας ἐξιέναι, ὁ δὲ Φυλλίδας δοὺς οἶνον εἰς ἑνὸς τῶν διακόνων, ἐξέπεμψεν αὐτούς. Ἐκ δὲ τούτου εἰςήγαγε τὰς ἑταίρας δὴ καὶ ἐκάθιζε παρ' ἑκάστῳ. Ἦν δὲ σύνθημα, ἐπεὶ καθίζοιντο, παίειν εὐθὺς ἀνακαλυψαμένους. Οἱ μὲν δὴ οὕτως λέ- 7
γουσιν αὐτοὺς ἀποθανεῖν, οἱ δὲ καὶ ὡς κωμαστὰς εἰςελθόντας τοὺς ἀμφὶ Μέλωνα ἀποκτεῖναι τοὺς πολεμάρχους. Λαβὼν δὲ ὁ Φυλλίδας τρεῖς αὐτῶν ἐπορεύετο ἐπὶ τὴν τοῦ Λεοντιάδου οἰκίαν· κόψας δὲ τὴν θύραν εἶπεν, ὅτι παρὰ τῶν πολεμάρχων ἀπαγγεῖλαί τι βούλοιτο. Ὁ δὲ ἐτύγχανε μὲν χωρὶς κατακείμενος ἔτι μετὰ δεῖπνον, καὶ ἡ γυνὴ ἐριουργοῦσα παρεκάθητο. Ἐκέλευσε δὲ τὸν Φυλλίδαν πιστὸν νομίζων εἰςιέναι. Οἱ δ' ἐπεὶ εἰςῆλθον, τὸν μὲν ἀποκτείναντες, τὴν δὲ γυναῖκα φοβήσαντες κατεσιώπησαν. Ἐξιόντες δὲ εἶπον

§. 6. *ταμιεῖον* nonnulli Stephani codd. et Dind., ceteri *προταμιεῖον* vel *προταμιείου*. — *πολεμαρχείου* B. F. Dind., *πολεμαρχεῖν* C. D. E. edd. vett., *πολεμάρχου* ceteri. — *ταχὺ ἐκέλ.* B. C. D. E. F. V. Schneid. Dind. pro *ἐκελ. ταχύ*. — C. edd. vett. *ἤγαγε* pro *εἰςήγαγε*. — *ἑταίρας* B. D. I. Dind. pro *ἑταιρίδας*. — *ἦν δὲ* B. D. I. V. Dind. pro *ἦν γάρ*. — V. *καθέζοιντο*.

§. 7. *οὕτως* B. D., *οὕτω* ceteri. — C. *ἔτι* ponit ante *χωρίς*. — *λήψονται* B. D. F. V. Dind., *λήψοιντο* ceteri.

§. 6. *ταχὺ ἐκέλευον*] V. ad IV, 5, 15. Saepe hoc verbum omninoque verba dicendi in imperfecto poni, ubi exspectes aoristum, observat Kuehner. ad Anab. II, 5, 2. Cf. supra III, 1, 22.

*εἰς ἑνός*] scil. *οἶκον*. Buttm. §. 132. adn. 30. Rost. §. 156. extr. Kuehn. §. 346. 1.

*τὰς ἑταίρας δή*] meretrices supra dictas. Haec est vis particulae *δή*, quae inservit ironiae: qui scilicet erant meretricum loco. Cf. Thuc. III, 10, 6: *ἡμεῖς δὲ αὐτόνομοι δὴ ὄντες καὶ ἐλεύθεροι τῷ ὀνόματι*, ubi v. Poppo. De re cf. Herod. V, 20.

*παρ' ἑκάστῳ*] singulas singulis.

§. 7. *οὕτως*] V. ad III, 5, 14.

*οἱ δὲ καί*] Plut. de gen. Socr. p. 596 D: *ἡμιθωράκια ἐνδεδυμένοι καὶ στεφάνους δασεῖς ἔχοντες, οἱ μὲν ἐλάτης, οἱ δὲ πεύκης, ἔνιοι δὲ καὶ χιτώνια τῶν γυναικῶν ἀμπεχόμενοι μεθύοντας ἀπομιμούμενοι κώμῳ χρωμένους μετὰ γυναικῶν*. Cf. Pelop. XI.

*τρεῖς αὐτῶν*] tres illorum, quibuscum polemarchos occiderat.

*χωρὶς κατακείμενος*] solus decumbebat. Oppositum est: Archias cum sociis occidebatur.

*τὴν δέ*] Ita per anacoluthiam pergitur, quasi praecesserit *ἀπέκτειναν*, quod Cobetus temere recipiendum censet. Cf. VII, 2, 3.

*κατεσιώπησαν*] Usitatius esset sane *κατεσιωπήσαντο*, quod postulat Hertlinius. Sed interest aliquid inter activam et mediam formam. H. l. *κατεσιώπη-*

τὴν θύραν κεκλεῖσθαι· εἰ δὲ λήψονται ἀνεῳγμένην,
8 ἠπείλησαν ἀποκτεῖναι ἅπαντας τοὺς ἐν τῇ οἰκίᾳ. Ἐπεὶ δὲ ταῦτ' ἐπέπρακτο, λαβὼν δύο ὁ Φυλλίδας τῶν ἀνδρῶν ἦλθε πρὸς τὸ ἀναγκαῖον καὶ εἶπε τῷ εἱργμοφύλακι, ὅτι ἄνδρα ἄγοι παρὰ πολεμάρχων, ὃν εἷρξαι δέοι. Ὡς δὲ ἀνέῳξε, τοῦτον μὲν εὐθὺς ἀπέκτειναν, τοὺς δὲ δεσμώτας ἔλυσαν. Καὶ τούτους μὲν ταχὺ τῶν ἐκ τῆς στοᾶς ὅπλων καθελόντες ὥπλισαν καὶ ἀγαγόντες ἐπὶ τὸ
9 Ἀμφεῖον θέσθαι ἐκέλευον τὰ ὅπλα. Ἐκ δὲ τούτου εὐθὺς ἐκήρυττον ἐξιέναι πάντας Θηβαίους, ἱππέας τε καὶ ὁπλίτας, ὡς τῶν τυράννων τεθνεώτων. Οἱ δὲ πολῖται, ἕως μὲν νὺξ ἦν, ἀπιστοῦντες ἡσυχίαν εἶχον· ἐπεὶ δ' ἡμέρα τ' ἦν καὶ φανερὸν ἦν τὸ γεγενημένον, ταχὺ δὴ καὶ οἱ ὁπλῖται καὶ οἱ ἱππεῖς σὺν τοῖς ὅπλοις ἐξεβοήθουν. Ἔπεμψαν δ' ἱππέας οἱ κατεληλυθότες καὶ ἐπὶ τοὺς πρὸς τοῖς ὁρίοις Ἀθηναίων δύο τῶν στρατηγῶν.
10 Οἱ δ' εἰδότες τὸ πρᾶγμα, ἐφ' ὃ ἀπεστάλκεσαν * ὁ μέν-

§. 8. ἄγοι B. C. D. F. V. Schneid. Dind. pro ἄγει. — πολεμάρχων B. C. E. F. Schneid. pro πολεμάρχου, Dind. τῶν πολεμάρχων. — εὐθὺς ἀπεκτ. B. C. D. E. V. Schneid. Dind. pro ἀπεκτ. εὐθύς. — E. ἀπέλυσαν pro ἔλυσαν; edd. vett. ἀπέλυσε et antea ἀπέκτεινε.

§. 9. D. F. Ald. ἔπεμψαν δ' ἱππέα. — καὶ ante ἐπὶ τοὺς addunt B. D. E. F. V. Dind. — Ante δύο om. τοὺς Dobr. et Dind. una cum καί, quod ante τοὺς δύο cum Leoncl. addiderant edd. sqq. — ἀπεστάλκεσαν B. D. F. V. Dind. pro ἀπεστάλκεισαν.

σαν sine dubio est: vi tacitam reddiderunt feminam. At II, 4, 20. κατασιωπησάμενος qui tacere iubet concionem. Cf. Lucian. Iup. Trag. 13, ubi Dindorf. κατασιώπησον αὐτούς scripsit pro κατασίγησον αὐτούς.

εἶπον — κεκλεῖσθαι] iubebant — occlusam tenere. Cf. ad VI, 4, 25. Subiectum infinitivi intelligitur ex sequentibus: τοὺς ἐν τῇ οἰκίᾳ.

§. 8. τὸ ἀναγκαῖον] Plut. de gen. Socr. p. 598 A: ἐχωροῦμεν ἐπὶ τὸ δεσμωτήριον κ. τ. λ. Grammatici ἀνακαῖον Boeotorum esse dicunt pro carcere, quam vocem Suidas ἀνάκαιον scribit, sed idem s. v. ἀναγκαῖον: Ἰσαῖος, inquit, ἀναγκαῖον τὸ δεσμωτήριον καλεῖ.

τῶν — ὅπλων καθελόντες] De genitivo v. ad III, 1, 4. Cf. Plut. de gen. Socr. p. 598 D: ὅπλα παρεῖχον αἵθ' ἑστίαι πλήρεις οὖσαι παντοδαπῶν λαφύρων καὶ τὰ τῶν ἐγγὺς οἰκούντων ἐργαστήρια μαχαιροποιῶν.

τὸ Ἀμφεῖον] Amphionis aut templum aut monumentum sepulcrale intra moenia non longe a porta Proetide et Cadmea arce fuisse situm monstrat Schneider.

§. 9. ὡς — τεθνεώτων] V. ad III, 4, 1. 23.

τοὺς — δύο τῶν στρατηγῶν] qui duo exsulum duces Athenienses commemorantur §. 19.

οἱ δ' εἰδότες τὸ πρᾶγμα, ἐφ' ὃ ἀπεστάλκεσαν] Illi duces Athenienses quum resciissent, quamobrem isti (οἱ κατεληλυθότες) misissent, advenerunt. Ita accipiunt haec verba interpretes, post ἀπεστάλκεσαν excidisse pu-

τοι ἐν τῇ ἀκροπόλει ἁρμοστὴς ἐπεὶ ᾔσθετο τὸ νυκτερινὸν κήρυγμα, εὐθὺς ἔπεμψεν εἰς Πλαταιὰς καὶ Θεσπιὰς ἐπὶ βοήθειαν. Καὶ τοὺς μὲν Πλαταιέας αἰσθόμενοι προσιόντας οἱ τῶν Θηβαίων ἱππεῖς, ἀπαντήσαντες ἀπέκτειναν αὐτῶν πλέον ἢ εἴκοσιν· ἐπεὶ δὲ εἰςῆλθον ταῦτα πράξαντες καὶ οἱ Ἀθηναῖοι ἀπὸ τῶν ὁρίων ἤδη παρῆσαν, προςέβαλον πρὸς τὴν ἀκρόπολιν. Ὡς δὲ ἔγνωσαν 11
οἱ ἐν τῇ ἀκροπόλει ὀλίγοι ὄντες τήν τε προθυμίαν τῶν προσιόντων ἁπάντων ἑώρων, καὶ τῶν κηρυγμάτων μεγάλων γιγνομένων τοῖς πρώτοις ἀναβᾶσιν, ἐκ τούτων φοβηθέντες εἶπον, ὅτι ἀπίοιεν ἄν, εἰ σφίσιν ἀσφάλειαν μετὰ τῶν ὅπλων ἀπιοῦσι διδοῖεν. Οἱ δὲ ἄσμενοί τε ἔδοσαν ἃ ᾔτουν καὶ σπεισάμενοι καὶ ὅρκους ὀμόσαντες ἐπὶ τούτοις ἐξέπεμπον. Ἐξιόντων μέντοι, ὅσους ἐπέ- 12
γνωσαν τῶν ἐχθρῶν ὄντας, συλλαμβάνοντες ἀπέκτειναν. Ἦσαν δέ τινες οἳ καὶ ὑπὸ Ἀθηναίων τῶν ἀπὸ τῶν

§. 11. F. om. τῶν ante προσιόντων. — ἐκ τούτων B. D. F. I. mg. Steph. Leoncl. Dind. pro ἐκ τούτου.

§. 12. ὑπὸ Ἀθ. A. B. D. E. F. V. mg. Leoncl. edd. sqq. pro ἀπὸ

tantes ἐβοήθουν cum Dobraeo, ᾖεσαν cum Schaefero. Mihi autem cum verbi ἀπεστάλκεσαν subiecto una obiectum omitti paullo durius videtur, quod vitium tolleretur scribendo ἐπεστάλησαν (scil. οἱ ἱππεῖς). At si comparamus III, 2, 4: ἐπεὶ — ᾔσθοντο τὸ πρᾶγμα, V, 3, 8: ἐπεὶ ἤκουσαν τὸ πρᾶγμα, Cyrop. V, 4, 7: ὡς — ἔγνω τὸ πρᾶγμα, verba ἐφ' ὃ ἀπεστάλκεσαν pro incommodo habenda sunt additamento. In his ipsis verbis latere opinor id quod ad supplendam sententiam desideramus: ἐπεβοήθησαν (v. §. 12) vel simile verbum.

§. 10. Πλαταιὰς καὶ Θεσπιάς] ubi praesidia habebant Lacedaemonii. V. §. 15.

Πλαταιέας] De hac forma v. ad III, 5, 6. Adde Herbst. de Cobeti in Thuc. emend. p. 62.

§. 11. ὀλίγοι ὄντες] se esse paucos, scil. ad hostes. Secundum Diod. XV, 25 Lacedaemonii cum sociis tenebant Cadmeam mille quingenti, sed ἐξ αὐτῆς τῆς Σπάρτης ὄντες ὀλίγοι addit idem c. 27. Oppugnabant autem Cadmeam ex urbibus Boeotiis non minus quam μύριοι καὶ δισχίλιοι ὁπλῖται, ἱππεῖς δὲ πλείους τῶν δισχιλίων auctore eodem c. 26. Quae autem Diod. de magno exercitu Thebanis ab Atheniensibus Demophonte duce auxilio misso narrat, fide parum esse digna diligenter demonstrat Grot. p. 380.

τοῖς πρώτοις ἀναβᾶσι] qui primi ascendissent arcem Cadmeam.

§. 12. ἐξιόντων] De omisso subiecto v. ad I, 1, 26. 29.

τῶν ἐχθρῶν] Thebanorum scil., qui Spartanis faverant, quod cognoscitur e Plut. de gen. Socr. p. 598 E: οἱ μὲν λακωνίζοντες εἰς τὴν Καδμείαν ἔφευγον ἐπισπασάμενοι καὶ τοὺς κρείττους λεγομένους.

ὁρίων ἐπιβοηθησάντων ἐξεκλάπησαν καὶ διεσώθησαν. Οἱ μέντοι Θηβαῖοι καὶ τοὺς παῖδας τῶν ἀποθανόντων, ὅσοις ἦσαν, λαβόντες ἀπέσφαξαν.

13 Ἐπεὶ δὲ ταῦτα ἐπύθοντο οἱ Λακεδαιμόνιοι, τὸν μὲν
Ch. a. 378. ἁρμοστὴν τὸν ἐγκαταλιπόντα τὴν ἀκρόπολιν καὶ οὐκ ἀναμείναντα τὴν βοήθειαν ἀπέκτειναν, φρουρὰν δὲ φαίνουσιν ἐπὶ τοὺς Θηβαίους. Καὶ Ἀγησίλαος μὲν λέγων, ὅτι ὑπὲρ τετταράκοντα ἀφ' ἥβης εἴη καί, ωςπερ τοῖς ἄλλοις τοῖς τηλικούτοις οὐκέτι ἀνάγκη εἴη τῆς ἑαυτῶν ἔξω στρατεύεσθαι, οὕτω δὴ καὶ βασιλεῦσι τὸν αὐτὸν νόμον ὄντα ἀπεδείκνυε. Κἀκεῖνος μὲν δὴ λέγων ταῦτα οὐκ ἐστρατεύετο. Οὐ μέντοι τούτου γ' ἕνεκεν κατέμεινεν, ἀλλ' εὖ εἰδώς, ὅτι, εἰ στρατηγοίη, λέξοιεν οἱ πολῖται, ὡς Ἀγησίλαος, ὅπως βοηθήσειε τοῖς τυράννοις, πράγματα τῇ πόλει παρέχοι. Εἴα οὖν αὐτοὺς βουλεύε-

Ἀθ. — ἐξεκλάπησαν B. D. I. V. mgg. Leoncl. et Steph. Dind. pro ἐκλάπησαν.

§. 13. Post τετταράκοντα inclusit ἔτη Schneid., om. Dind. cum B. C. D. E. F. I. V. — B. V. οὕτω δέ. — νόμον ὄντα B. D. E. F. V. Dind. pro ὄντα νόμον. — F. κατέμενε. — λέξοιεν Schaef. Dind., λέξειαν ἄν Matth. gr. §. 501, λέξειαν ceteri. — παρέχοι B. C. D. Dind.

ἐξεκλάπησαν] clam surrepti et servati sunt. Aegre igitur ferebant Athenienses Thebanorum adversus cives suos saevitiam.

§. 13. τὸν — ἁρμοστὴν — ἀπέκτειναν] Nescio quid sibi velit Schneider. dicens, teste Diodoro tres harmostas fuisse, quorum duos occiderint Spartani, tertium pecunia multarint ingenti. Etenim τρεῖς φρουρᾶς ἡγεμόνες, quos in iudicium vocatos esse narrat Diod. XV, 27, non erant Cadmeae harmostae sed duces exercitus, qui Lacedaemoniis in Cadmea obsessis auxilio missi βραχὺ τῶν καιρῶν ὑστερήσαντες ἄπρακτον ἔσχον τὴν ἐπιβολήν ideoque infecta re domum redierunt. Ergo damnati sunt illi tres, quod non prohibuissent, quin Cadmea traderetur nec quidquam ad ulciscendos hostes conati essent. In urbes subiectas vel occupatas Spartani singulos, non plures mittebant harmostas. Etiam §. 10. legitur ὁ — ἐν τῇ ἀκροπόλει ἁρμοστής, non οἱ — ἁρμοσταί. Itaque quae de tribus Cadmeae harmostis refert Plut. Pelop. XIII. de gen. Socr. p. 586 E ducta videntur esse ex eodem errore, in quem Schneider. et cum eo Dindorf. Grot. p. 379 alii inciderunt.

Ἀγησίλαος μέν] His respondent §. 14: οἱ δ' ἔφοροι.

τετταράκοντα] scil. ἔτη. V. ad II, 4, 32.

καί, ὥςπερ] καί est etiam, quod propter interposita verba post οὕτω δή repetitur. Hertlin. vult ὥςπερ καί.

τοῖς τυράννοις] Cf. Plut. Ages. XXIV, 2: ἔφυγε τὴν στρατηγίαν ἐκείνην, αἰσχυνόμενος, εἰ Φλιασίοις ὀλίγον ἔμπροσθεν ὑπὲρ φυγάδων πεπολεμηκώς, αὖθις ὀφθήσεται Θηβαίους κακῶς ποιῶν διὰ τοὺς τυράννους. Cf. supra V, 3, 16.

σθαι ὁποῖόν τι βούλοιντο περὶ τούτων. Οἱ δ' ἔφοροι 14
διδασκόμενοι ὑπὸ τῶν μετὰ τὰς ἐν Θήβαις σφαγὰς ἐκπεπτωκότων Κλεόμβροτον ἐκπέμπουσι, πρῶτον τότε ἡγούμενον, μάλα χειμῶνος ὄντος. Τὴν μὲν οὖν δι' Ἐλευθερῶν ὁδὸν Χαβρίας ἔχων Ἀθηναίων πελταστὰς ἐφύλαττεν· ὁ δὲ Κλεόμβροτος ἀνέβαινε κατὰ τὴν εἰς Πλαταιὰς φέρουσαν. Προϊόντες δὲ οἱ πελτασταὶ περιτυγχάνουσιν ἐπὶ τῷ ἄκρῳ φυλάττουσι τοῖς ἐκ τοῦ ἀναγκαίου λελυμένοις, ὡς περὶ ἑκατὸν καὶ πεντήκοντα οὖσι. Καὶ τούτους μὲν ἅπαντας, εἰ μή τις ἐξέφυγεν, οἱ πελτασταὶ ἀπέκτειναν· αὐτὸς δὲ κατέβαινε πρὸς τὰς Πλαταιὰς
ἔτι φιλίας οὔσας. Ἐπεὶ δὲ εἰς Θεσπιὰς ἀφίκετο, 15
ἐκεῖθεν ὁρμηθεὶς εἰς Κυνὸς κεφαλὰς οὔσας Θηβαίων ἐστρατοπεδεύσατο. Μείνας δὲ ἐκεῖ περὶ ἑκκαίδεκα ἡμέρας ἀπεχώρησε πάλιν εἰς Θεσπιάς. Κἀκεῖ μὲν ἁρμοστὴν κατέλιπε Σφοδρίαν καὶ ἀπὸ τῶν συμμάχων τὸ τρίτον μέρος ἑκάστων· παρέδωκε δὲ αὐτῷ καὶ χρήματα ὅσα ἐτύγχανεν οἴκοθεν ἔχων καὶ ἐκέλευε ξενικὸν προς-
μισθοῦσθαι. Καὶ ὁ μὲν Σφοδρίας ταῦτ' ἔπραττεν. 16
Ὁ δὲ Κλεόμβροτος ἀπῆγεν ἐπ' οἴκου τὴν διὰ Κρεύσιος τοὺς μεθ' αὐτοῦ στρατιώτας καὶ μάλα ἀποροῦντας, πότερά ποτε πόλεμος πρὸς Θηβαίους ἢ εἰρήνη εἴη· ἠγα-

pro *παρέχει*. — *βουλεύεσθαι* B. C. D. E. F. V. Leoncl. edd. sqq. pro *βούλεσθαι*. — *ὁποῖόν τι* B. C. D. E. F. I. V. Steph. Leoncl. Dind. pro *ὅ τι*. — *βούλοιντο* Steph. Mor. edd. sqq. pro *βουλεύοιντο*.

§. 14. *πρῶτον τότε* B. C. D. E. F. V. Dind. pro *τότε πρ.* — *τὴν μὲν οὖν* B. Dind., *τὴν μὲν* D. F. V., ceteri *καὶ τὴν μὲν*, sed *οὖν* addunt etiam mg. Leoncl. Steph. — D. *Ὀρχομενοῦ ὑπὸ μέθης ἐκλελυμένοις* pro *ἀναγκαίου λελυμένοις*; V. om. *ἀναγκαίου*.

§. 15. *ἐκεῖ* post *μείνας δὲ* addunt B. Schneid. Dind. — *ἁρμοστὴν κατελ.* B. D. F. V. Dind. pro *κατ. ἁρμ.* — *ἐκέλευε* B., *ἐκέλευσε* ceteri.

§. 16. *Κρεύσιος* Portus restituit pro *Κράσιος*. — *μεθ' αὐτοῦ* B. D. Dind. pro *μεθ' ἑαυτοῦ*.

§. 14. *Κλεόμβροτον*] regem ac successorem Agesipolis.

*μάλα χειμῶνος*] II, 4, 2: *μάλ' εὐημερίας οὔσης*, VI, 2, 39: *μάλα στρατηγόν*, Cyr. IV, 2, 5: *μάλα συμφοράν*. V. Bernh. Synt. p. 338.

*οἱ πελτασταί*] Cleombroti.

*ἐπὶ τῷ ἄκρῳ*] in parte occidentali Cithaeronis.

*τοῖς — λελυμένοις*] V. §. 8.

*ὡς περί*] Cf. ad *ὡς εἰς* IV, 1, 18.

*φιλίας οὔσας*] V. §. 10.

§. 15. *Κυνὸς κεφαλάς*] haud procul Thebis sitas.

§. 16. *καὶ μάλα*] V. ad IV, 7, 2.

*πότερά ποτε*] Comment. I, 1, 12: *ἐσκόπει, πότερά ποτε νομίσαντες —, ἢ τὰ μὲν ἀνθρώπινα παρέντες* κ. τ. λ. ubi plura confert Dindorf. Cf. supra ad *τί ποτε* V, 1, 4.

γε μὲν γὰρ εἰς τὴν τῶν Θηβαίων τὸ στράτευμα, ἀπῆλθε
17 δὲ ὡς ἐδύνατο ἐλάχιστα κακουργήσας. Ἀπιόντι γε μὴν
ἄνεμος αὐτῷ ἐξαίσιος ἐπεγένετο, ὃν καὶ οἰωνίζοντό τι-
νες σημαίνειν πρὸ τῶν μελλόντων. Πολλὰ μὲν γὰρ καὶ
ἄλλα βίαια ἐποίησεν, ἀτὰρ καὶ ὑπερβάλλοντος αὐτοῦ
μετὰ τῆς στρατιᾶς ἐκ τῆς Κρεύσιος τὸ καθῆκον ἐπὶ θά-
λατταν ὄρος πολλοὺς μὲν ὄνους κατεκρήμνισεν αὐτοῖς
σκεύεσι, πάμπολλα δὲ ὅπλα ἀφαρπασθέντα ἐξέπεσεν
18 εἰς τὴν θάλατταν. Τέλος δὲ πολλοὶ οὐ δυνάμενοι σὺν
τοῖς ὅπλοις πορεύεσθαι, ἔνθεν καὶ ἔνθεν τοῦ ἄκρου
κατέλιπον λίθων ἐμπλήσαντες ὑπτίας τὰς ἀσπίδας.
Καὶ τότε μὲν τῆς Μεγαρικῆς ἐν Αἰγοσθένοις ἐδείπνη-
σαν ὡς ἐδύναντο· τῇ δ' ὑστεραίᾳ ἐλθόντες ἐκομίσαντο
τὰ ὅπλα. Καὶ ἐκ τούτου οἴκαδε ἤδη ἕκαστοι ἀπῄεσαν·
ἀφῆκε γὰρ αὐτοὺς ὁ Κλεόμβροτος.

19 Οἱ μὲν οὖν Ἀθηναῖοι ὁρῶντες τὴν τῶν Λακεδαιμο-
νίων ῥώμην καὶ ὅτι πόλεμος ἐν Κορίνθῳ οὐκέτι ἦν,

§. 17. *βίαια* B. D. I. V. mg. Steph. Leoncl. Dind. pro *γενναῖα*. — *ἀφαρπασθέντα* B. C. D. E. F. V. mg. Leoncl. Schneid. Dind. pro *ἀναρπ.* — B. C. D. E. F. I. V. *ἐξέπλευσε*, unde Dind. *ἐξέπνευσε* pro *ἐξέπεσε*.

§. 18. *τῆς Μεγ. ἐν Αἰγ.* B. C. D. E. F. V. Dind. pro *ἐν Αἰγ. τ. Μ.* — A. edd. omnes praeter Dind. *ἠδύναντο*. — *οἴκαδε ἤδη ἕκ.* B. D. E. F. V. Dind. pro *ἤδη ἕκ. οἴκ.*, sed C. om. *ἤδη*.

§. 19. *ῥώμην* B. D. E. F. I. V. mg. Steph. Leoncl. Schneid. Dind. pro *δύναμιν*. — *δύο* Dind. pro *δύω*. — Dind. *ὧ* pro *οἵ*.

§. 17. *σημαίνειν πρὸ τῶν μελλόντων*] de futuris. Cf. Arrian. Anab. VII, 22, 5: *τοῦτό τε οὖν αὐτῷ πρὸ τῶν μελλόντων σημῆναι* et cap. 24, 1: *καί τι καὶ τοιόνδε πρὸ τῶν μελλόντων λέγει Ἀριστόβουλος*.

*ἐποίησε*] Subiectum est *ἄνεμος*.

*αὐτοῖς σκεύεσι*] una cum impedimentis. Buttm. §. 133. ann. 14. Rost. §. 161. 9. n. bb. Kuehn. §. 283. 2.

*ἐξέπεσε*] Dindorfii *ἐξέπνευσε* reiiciendum est, quia *ἐκπνεῖν* non significat flando auferre. Ne *ἐμπνεῖν* quidem aliter quam metaphorice sensu transitivo usurpatur. Praeterea dicendum fuisset *ἀφαρπάσας ἐξέπνευσε*, quod recte monet Cobetus.

§. 18. *τῇ δ' ὑστεραίᾳ ἐλθόντες*] An potius *τῇ δ' ὑστεραίᾳ ἀνελθόντες* aut *ἐπανελθόντες* scribendum est?

*καὶ ἐκ τούτου*] Gailio teste *καί* est in C., non in reliquis codd., de qua re tacet Dindorf. Abesse posse *καί* ostendunt IV, 1, 15. Cyrop. II, 2, 15. III, 3, 21. IV, 2, 13. al. V. etiam supra ad V, 2, 12.

§. 19. *ὅτι πόλεμος — οὐκέτι ἦν*] Illo enim tempore Corinthus Atheniensibus tanquam propugnaculum fuerat contra Lacedaemonios.

ἀλλ' ἤδη παριόντες τὴν Ἀττικὴν οἱ Λακεδαιμόνιοι εἰς τὰς Θήβας ἐνέβαλλον, οὕτως ἐφοβοῦντο, ὥςτε καὶ τὼ δύο στρατηγώ, οἳ συνηπιστάσθην τὴν τοῦ Μέλωνος ἐπὶ τοὺς περὶ Λεοντιάδην ἐπανάστασιν, κρίναντες τὸν μὲν ἀπέκτειναν, τὸν δέ, ἐπεὶ οὐχ ὑπέμεινεν, ἐφυγάδευσαν.

Οἱ δ' αὖ Θηβαῖοι καὶ αὐτοὶ φοβούμενοι, εἰ μηδένες 20 ἄλλοι ἢ αὐτοὶ πολεμήσοιεν τοῖς Λακεδαιμονίοις, τοιόνδε εὑρίσκουσι μηχάνημα. Πείθουσι τὸν ἐν ταῖς Θεσπιαῖς ἁρμοστὴν Σφοδρίαν χρήματα δόντες, ὡς ὑπωπτεύετο, ἐμβαλεῖν εἰς τὴν Ἀττικήν, ἵν' ἐκπολεμήσειε τοὺς Ἀθηναίους πρὸς τοὺς Λακεδαιμονίους. Κἀκεῖνος πειθόμενος αὐτοῖς, προςποιησάμενος τὸν Πειραιᾶ καταλήψεσθαι, ὅτι δὴ ἀπύλωτος ἦν, ἦγεν ἐκ τῶν Θεσπιῶν πρωῒ δειπνήσαντας τοὺς στρατιώτας, φάσκων πρὸ ἡμέρας κατανύσειν εἰς τὸν Πειραιᾶ. Θριᾶσι δ' 21 αὐτῷ ἡμέρα ἐπεγένετο, καὶ οὐδὲν ἐντεῦθεν ἐποίησεν,

§. 20. Post τοιόνδε om. τι B. D. F. I. V. Dind. — Dind. πρῴ pro πρωΐ.

§. 21. Θριᾶσι B. Dind. pro Θριάσι. — οὐδὲν ἐντεῦθεν Dind. pro

τὼ δύο στρατηγώ] V. §. 9. Merito Grotius p. 385 Athenienses defendit contra Wachsmuthium (Antiq. Gr. doctr. I, 654) et Rehdantzium (Vit. Iphicr. etc. p. 44 sq.) qui punitos esse duces arguunt propterea quod perfecerint id quod a populo decretum fuerit. Nam iussu populi illos duces succurrisse Meloni e Xenophonte (§. 11) colligi non potest. Malam Diodori (XV, 26) fidem memoravi iam supra ad §. 11.

οἳ συνηπιστάσθην] De plurali et duali iunctis cf. Comment. I, 2, 16. 18. 33: καλέσαντες ὅ τε Κριτίας καὶ ὁ Χαρικλῆς — ἐδεικνύτην —. II, 3, 18: τὼ χεῖρε, ἃς ὁ θεὸς — ἐποίησε. Buttm. §. 129. 6. Rost. §. 148. 2. dd. Kuehn. §. 241. adn. 8.

§. 20. φοβούμενοι, εἰ] V. adn. ad Cyrop. VI, 1, 17: ὃ δ' ἴσως ἂν τινες ὑμῶν φοβηθεῖεν, εἰ δεήσει πόῤῥω τῆς ἑαυτῶν, φρουρεῖν μηδὲν τοῦτο ὀκνήσητε.

πείθουσι] De asyndeto cf. Anab. IV, 7, 10: ἔνθα δὴ Καλλίμαχος μηχανᾶταί τι· προέτρεχεν ἀπὸ τοῦ δένδρου κ.τ.λ. V. Kuehn. ad Anab. III, 1, 11.

ὡς ὑπωπτεύετο] uti quidem erat suspicio. Sed Plut. Pelop. XIV: πρὸς τοῦτον ὑποπέμπουσιν οἱ περὶ τὸν Πελοπίδαν ἰδίᾳ ἔμπορόν τινα τῶν φίλων κομίζοντα καὶ λόγους, οἳ τῶν χρημάτων μᾶλλον ἀνέπεισαν αὐτόν. Item Ages. XXIV, 3.

ἐκπολεμήσειε] Usitatius esset ἐκπολεμώσειε. V. Poppo ad Thuc. VIII, 57, 1. Cf. supra ad V, 3, 19.

ὅτι δή] quoniam. Neglecti adhuc iacebant muri Piraei ex quo a Lysandro eversi erant.

κατανύσειν] τὴν ὁδόν.

§. 21. Θριᾶσι] Plut. Pelop. XIV: καὶ μεχρὶ μὲν Ἐλευσῖνος προῆλθεν. Vicinus enim Eleusini erat vicus Θρῖα.

οὐδὲν ἐντεῦθεν] felicissi-

ὥςτε λαθεῖν, ἀλλ' ἐπεὶ ἀπετράπετο, βοσκήματα διήρπασε καὶ οἰκίας ἐπόρθησε. Τῶν δὲ ἐντυχόντων τινὲς τῆς νυκτὸς φεύγοντες εἰς τὸ ἄστυ ἀπήγγελλον τοῖς Ἀθηναίοις, ὅτι στράτευμα πάμπολυ προςίοι. Οἱ μὲν δὴ ταχὺ ὁπλισάμενοι καὶ ἱππεῖς καὶ ὁπλῖται ἐν φυλακῇ
22 τῆς πόλεως ἦσαν. Τῶν δὲ Λακεδαιμονίων καὶ πρέσβεις ἐτύγχανον Ἀθήνησιν ὄντες παρὰ Καλλίᾳ τῷ προξένῳ Ἐτυμοκλῆς τε καὶ Ἀριστόλοχος καὶ Ὤκυλλος· οὓς οἱ Ἀθηναῖοι, ἐπεὶ τὸ πρᾶγμα ἠγγέλθη, συλλαβόντες ἐφύλασσον, ὡς καὶ τούτους συνεπιβουλεύοντας. Οἱ δὲ ἐκπεπληγμένοι τε ἦσαν τῷ πράγματι καὶ ἀπελογοῦντο, ὡς οὐκ ἄν ποτε οὕτω μωροὶ ἦσαν, ὡς, εἰ ᾔδεσαν καταλαμβανόμενον τὸν Πειραιᾶ, ἐν τῷ ἄστει ἂν ὑποχειρίους αὑτοὺς παρεῖχον, καὶ ταῦτα παρὰ τῷ προξένῳ, οὗ τά-
23 χιστ' ἂν εὑρέθησαν. Ἔτι δ' ἔλεγον, ὡς εὔδηλον καὶ τοῖς Ἀθηναίοις ἔσοιτο, ὅτι οὐδ' ἡ πόλις τῶν Λακεδαιμονίων ταῦτα συνῄδει. Σφοδρίαν γὰρ εὖ εἰδέναι ἔφασαν ὅτι ἀπολωλότα πεύσοιντο ὑπὸ τῆς πόλεως. Κά-
24 κεῖνοι μὲν κριθέντες μηδὲν συνειδέναι ἀφείθησαν. Οἱ δ' ἔφοροι ἀνεκάλεσάν τε τὸν Σφοδρίαν καὶ ὑπῆγον θανάτου. Ἐκεῖνος μέντοι φοβούμενος οὐχ ὑπήκουσεν· ὅμως δὲ καίπερ οὐχ ὑπακούων εἰς τὴν κρίσιν ἀπέφυγε.

οὐδὲ ταῦτα. — ἀπετράπετο B. D. I. V. Dind. pro ἀπετέτραπτο. — προςίοι B. C. D. E. V. Schneid. Dind. pro προςῄει.

§. 22. ἐτύγχ. Ἀθήν. B. C. D. E. F. I. V. Dind. pro Ἀθήν. ἐτύγχ. — Ὤκυλλος B. Dind. pro Ὤκελλος. — V. Dind. ἐφύλαττον. — οὕτω μωροὶ B. C. D. F. V. Dind. pro μωροὶ οὕτω; Schneid. οὕτως μωροί. — ᾔδεσαν B. D. V. Schaef. Schneid. Dind. pro ᾔδεισαν, C. E. ᾔδησαν.

§. 23. A. edd. omnes praeter Dind. ἔσοιτο ὡς οὐδ'.

§. 24. A. C. E. edd. vett. ἐκάλεσαν pro ἀνεκάλεσαν. — ὑπῆγον Pierson. Schneid. edd. sqq. pro ἀπῆγον. — V. ὑπήκουεν. — A. C. E.

ma emendatio: neque iam ita se gessit, ut lateret.

§. 22. *Καλλίᾳ τῷ προξένῳ*] Cf. VI, 3, 4.

*Ὤκυλλος*] commemoratur etiam VI, 5, 33.

*ἐφύλασσον*] V. var. lect. ad I, 1, 6. Infra §. 42. 46.

*οὕτω — ὡς*] De ὡς consecutivo v. ad III, 4, 27.

*καὶ ταῦτα*] et quidem. V. ad III, 2, 4.

§. 23. *Σφοδρίαν — εὖ εἰδέναι*] se bene scire aiebant (legati Lacedaemonii) futurum, ut Sphodriam a republica sua morte multatum audirent.

§. 24. *ὑπακούων εἰς τὴν κρίσιν*] Parendi notio transit in comparendi notionem. Est autem quaedam breviloquentia, de qua comparare iuvabit I, 1, 23. IV, 8, 30.

*Καὶ πολλοῖς ἔδοξεν αὕτη δὴ ἀδικώτατα ἐν Λακεδαί-
μονι ἡ δίκη κριθῆναι. Ἐγένετο δὲ τοῦτο τὸ αἴτιον.*

*Ἦν υἱὸς τῷ Σφοδρίᾳ Κλεώνυμος ὄνομα, ἡλικίαν τε* 25
*ἔχων τὴν ἄρτι ἐκ παίδων καὶ ἅμα κάλλιστός τε καὶ εὐ-
δοκιμώτατος τῶν ἡλίκων. Τούτου δὲ ἐρῶν ἐτύγχανεν
Ἀρχίδαμος ὁ Ἀγησιλάου. Οἱ μὲν οὖν τοῦ Κλεομβρό-
του φίλοι, ἅτε ἑταῖροι ὄντες τῷ Σφοδρίᾳ, ἀπολυτικῶς
αὐτοῦ εἶχον, τὸν δέ γε Ἀγησίλαον καὶ τοὺς ἐκείνου φί-
λους ἐφοβοῦντο, καὶ τοὺς διὰ μέσου δέ· δεινὰ γὰρ ἐδό-
κει πεποιηκέναι. Ἐκ τούτου δὲ ὁ μὲν Σφοδρίας εἶπε* 26
*πρὸς τὸν Κλεώνυμον, Ἔξεστί σοι, ὦ υἱέ, σῶσαι τὸν πα-
τέρα, δεηθέντι Ἀρχιδάμου εὐμενῆ Ἀγησίλαον ἐμοὶ εἰς
τὴν κρίσιν παρασχεῖν. Ὁ δὲ ἀκούσας ἐτόλμησεν ἐλθεῖν
πρὸς τὸν Ἀρχίδαμον καὶ ἐδεῖτο σωτῆρα αὐτῷ τοῦ πα-
τρὸς γενέσθαι. Ὁ μέντοι Ἀρχίδαμος ἰδὼν μὲν τὸν Κλε-* 27
*ώνυμον κλαίοντα συνεδάκρυε παρεστηκώς· ἀκούσας δὲ
δεομένου ἀπεκρίνατο, Ἀλλ', ὦ Κλεώνυμε, ἴσθι μέν, ὅτι*

*ἀπέφευγε.* — *ἀδικ. ἐν Λακ.* B. D. F. I. V. Dind. pro *ἐν Λακ. ἀδικ.* — *ἡ* ante *δίκη* addidit Dind. — *Λακεδαίμονι* B. C. D. F. Schneid. Dind. pro *Λακεδαιμονίοις.* — *τὸ* post *τοῦτο* addunt B. C. D. E. F. V. Schneid. Dind.

§. 25. *Σφοδρίᾳ Κλεώνυμος ὄνομα* B. Dind., sed B. om. *ὄνομα*; ceteri *Κλεώνυμος ὄνομα* ponunt post *ἐκ παίδων.* — *τῷ Σφοδρίᾳ* post *ὄντες* om. A. C. D. E. F. V. edd. vett. — A. edd. vett. *ἀπειλητικῶς* pro *ἀπολυτικῶς.* — *γε* post *τὸν δέ* addunt B. D. F. Dind.

§. 26. *εὐμενῆ Ἀγ.* B. C. D. E. F. V. Dind. pro *Ἀγ. εὐμενῆ.* — *σωτῆρα αὐτῷ* B. mg. Leoncl. Schneid. Dind. pro vulg. *αὐτὸν σωτῆρα*; D. F. I. V. *σωτῆρα αὐτὸν.*

§. 27. Dind. *κλάοντα.* — C. *ἐδάκρυσε* pro *συνεδάκρυε.* — *παρεστηκώς* B. D. I. V. Dind. pro *παρεστώς.* — *ἴσθι μέν, ὅτι ἐγὼ* B. C.

*ἀπέφυγε*] absolutus est.

§. 25. *ἡλικίαν — τὴν ἄρτι ἐκ παίδων*] qui recens e pueris excesserat.

*ἀπολυτικῶς αὐτοῦ εἶχον*] propensi erant ad absolvendum eum. De genitivo v. Buttm. §. 132. 13. Rost. §. 162. III, 3. c. bb. Kuehn. §. 273. 5. c. Infra VII, 1, 18: *μάλα πάντων ὑπεροπτικῶς τῶν ἐναντίων.* Notandum autem est, adverbium cum verbo *ἔχειν* coniunctum h. l. volendi, cupiendi adsciscere notionem. Item Plut. Pelop. XV: *τοὺς ἀποστατικῶς τῶν Ἑλλήνων ἔχοντας.*

*καὶ τοὺς διὰ μέσου δέ*] atque eos etiam, qui neutri factioni erant addicti. Hunc locum citat Poppo ad Tuc. VIII, 75, 1: *ὑπὸ τῶν διὰ μέσου κωλυθέντες καὶ διδαχθέντες.* De particulis *καὶ — δὲ* v. ad V, 1, 16. Erat autem Agesilai adversarius Sphodrias secundum Plut. Ages. XXIV, 59.

§. 27. *ἴσθι μέν*] His opposita sunt *ὅμως δ' — νόμιζε.*

ἐγὼ τῷ ἐμῷ πατρὶ οὐδ' ἀντιβλέπειν δύναμαι, ἀλλὰ κἄν
τι βούλωμαι διαπράξασθαι ἐν τῇ πόλει, πάντων μᾶλ-
λον ἢ τοῦ πατρὸς δέομαι· ὅμως δ', ἐπεὶ σὺ κελεύεις,
νόμιζε πᾶσάν με προθυμίαν ἕξειν ταῦτά σοι πραχθῆ-
28 ναι. Καὶ τότε μὲν δὴ ἐκ τοῦ φιλιτίου εἰς τὸν οἶκον ἐλ-
θὼν ἀνεπαύετο· τοῦ δ' ὄρθρου ἀναστὰς ἐφύλαττε, μὴ
λάθοι αὐτὸν ὁ πατὴρ ἐξελθών. Ἐπεὶ δὲ εἶδεν αὐτὸν
ἐξιόντα, πρῶτον μέν, εἴ τις τῶν πολιτῶν παρῆν, παρίει
τούτους διαλέγεσθαι αὐτῷ, ἔπειτα δ', εἴ τις ξένος,
ἔπειτα δὲ καὶ τῶν θεραπόντων τῷ δεομένῳ παρεχώρει.
Τέλος δ', ἐπεὶ ἀπὸ τοῦ Εὐρώτα ἀπιὼν ὁ Ἀγησίλαος
εἰσῆλθεν οἴκαδε, ἀπιὼν ᾤχετο οὐδὲ προσελθών. Καὶ
29 τῇ ὑστεραίᾳ δὲ ταὐτὰ ταῦτα ἐποίησεν. Ὁ δ' Ἀγησί-
λαος ὑπώπτευε μὲν ὧν ἕνεκεν ἐφοίτα, οὐδὲν μέντοι
ἠρώτα, ἀλλ' εἴα αὐτόν. Ὁ δ' αὖ Ἀρχίδαμος ἐπεθύμει
μέν, ὥσπερ εἰκός, ὁρᾶν τὸν Κλεώνυμον· ὅπως μέντοι
ἔλθοι πρὸς αὐτὸν μὴ διειλεγμένος τῷ πατρὶ περὶ ὧν
ἐκεῖνος ἐδεήθη, οὐκ εἶχεν. Οἱ δὲ ἀμφὶ τὸν Σφοδρίαν
οὐχ ὁρῶντες τὸν Ἀρχίδαμον ἰόντα, πρόσθεν δὲ θαμί-
ζοντα, ἐν παντὶ ἦσαν, μὴ λελοιδορημένος ὑπ' Ἀγησι-

D. E. V. Dind. pro ἴσθι, ὅτι ἐγὼ μὲν; F. om. μὲν. — βούλωμαι B. C. D. F. V. Schneid. edd. sqq. pro βούλομαι. — ἕξειν B. D. F. I. V. Dind. pro συνέξειν.

§. 28. Mg. Leoncl. φιδιτίου. — λάθοι B. Dind. pro λάθῃ. — παρίει B. D. E. F. V. mg. Leoncl. Steph. Schneid. edd. sqq. pro παρήνει. — ἔπειτα δὲ καὶ τῶν θεραπόντων τῷ δεομένῳ B. D. I. V. Leoncl. Steph. Schneid. edd. sqq. pro ἔπειτα δ' εἴ τις καὶ τῶν δεομένων παρεχώρει τῶν θεραπόντων; C. E. F. ἔπειτα δὲ εἴ τις καὶ τῶν θεραπόντων τῷ δεομένῳ; mg. Steph. θεραπευόντων.

§. 29. A. edd. vett. Schneid. οὐ pro οὐδὲν. — λελοιδ. ὑπ' Ἀγ. εἴη B. D. F. V. Dind., sed B. mg. Leoncl. post Ἀγησιλάου addunt ἀπεληλαμένος; ceteri λελοιδ. εἴη ὑπ' Ἀγ.

§. 28. φιλιτίου] Eadem forma est de Rep. Lac. III, 6.

παρίει] admittebat; nam timidus adolescentulus cunctabatur alloqui patrem, quem, quoquo se vertebat, alloqui cupiens, sed non audens, subsequebatur.

§. 29. ἰόντα] V. ad IV, 8, 5.

πρόσθεν — θαμίζοντα] V. ad V, 1, 1.

ἐν παντὶ ἦσαν] in summo timore versabantur. Cf. VI, 1, 12: εἰς πᾶν ἀφίκετο. Plura affert Stallb. ad Plat. Symp. p. 194. A. Talia originem videntur duxisse e pervulgatis locutionibus πάντα ποιεῖν, ἐπὶ πᾶν ἐλθεῖν (Anab. III, 1, 18. v. adn. ad Cyrop. V, 4, 87, quae sensum habent: omnia, vel periculosissima tentare. Etenim periculi notio facile transit in notionem timoris, ut κίνδυνός ἐστι, μή vel δεινόν ἐστι, μή et φοβερόν ἐστι, μή quomodo inter se differant saepius dici vix possit.

λάου εἴη. Τέλος μέντοι ὁ Ἀρχίδαμος ἐτόλμησε προς- 30
ελθεῖν καὶ εἰπεῖν, Ὦ πάτερ, Κλεώνυμός με κελεύει σου
δεηθῆναι σῶσαί οἱ τὸν πατέρα· καὶ ἐγὼ ταῦτά σου δέο-
μαι, εἰ δυνατόν. Ὁ δ' ἀπεκρίνατο, Ἀλλὰ σοὶ μὲν ἔγωγε
συγγνώμην ἔχω· αὐτὸς μέντοι ὅπως ἂν συγγνώμης τύ-
χοιμι παρὰ τῆς πόλεως ἄνδρα μὴ καταγιγνώσκων ἀδι-
κεῖν οἷς ἐχρηματίσατο ἐπὶ κακῷ τῆς πόλεως, οὐχ ὁρῶ.
Ὁ δὲ τότε μὲν πρὸς ταῦτα οὐδὲν εἶπεν, ἀλλ' ἡττηθεὶς 31
τοῦ δικαίου ἀπῆλθεν. Ὕστερον δὲ ἢ αὐτὸς νοήσας ἢ
διδαχθεὶς ὑπό του εἶπεν ἐλθών, Ἀλλ' ὅτι μέν, ὦ πά-
τερ, εἰ μηδὲν ἠδίκει Σφοδρίας, ἀπέλυσας ἂν αὐτόν,
οἶδα· νῦν δέ, εἰ ἠδίκηκέ τι, ἡμῶν ἕνεκεν συγγνώμης
ὑπὸ σοῦ τυχέτω. Ὁ δὲ εἶπεν. Οὐκοῦν ἂν μέλλῃ καλὰ
ταῦθ' ἡμῖν εἶναι, οὕτως ἔσται. Ὁ μὲν δὴ ταῦτ' ἀκού-

§. 30. C. δὲ pro μέντοι. — ταῦτά σου δέομαι C. D. E. F. V. Dind., ταῦτά σοι δέομαι B. I., σοι ταῦτα δέομαι ceteri. — ἂν post ὅπως addunt Schaef. Dind.

§. 31. C. E. ἠδίκη, Schaef. ἠδικήκει pro ἠδίκει. — C. vel E. Schneid. ἕνεκα. — A. edd. praeter Dind. omnes παρά σου pro ὑπό σου. — Οὐκοῦν addunt B. I. Dind. — ἔσται B. D. V. Schneid. Dind. pro ἔστω.

§. 30. *εἰ δυνατόν*] dicitur, quasi praecesserit ταῦτα ποιεῖν σου δέομαι.

*ἄνδρα — καταγιγνώσκων*] Cobet. vult ἀνδρός. Sed v. ad IV, 4, 1.

*ἀδικεῖν οἷς*] h. e. ἀδικεῖν ταῦτα, οἷς: iniuste fecisse ea, quibus quaestum fecit cum detrimento reipublicae. Minus recte Morus interpretatur ἀδικεῖν ἐν ἐκείνοις οἷς, quod probat Dindorf. Ceterum notandum est, Agesilaum h. l. pro re confessa habere illud χρήματα δόντες, cui §. 20 additum erat ὡς ὑπωπτεύετο.

§. 31. *ἡττηθεὶς τοῦ δικαίου*] responsi aequitate victus. Cf. Cyrop. VI, 3, 15: αἰσχροῦ ἡττηθεὶς οὐδενός. Buttm. §. 132. 12. Rost. gr. mai. §. 112. 4. ann. Kuehn. §. 275. 1.

*μηδὲν ἠδίκει*] nihil iniqui fecisset. Nam ἀδικῶ est iniquum feci. V. gramm. ad νικῶ εν IV, 3, 1 citatas. Ergo nihil mutandum est, licet sequatur aoristus. Sequens autem εἰ ἠδίκηκέ τι est: si revera quid iniusti commisit, si exploratum habes eius facinus. Sic differunt inter se quae iuxta posita sunt: ἀδικεῖσθαι νομίζει ὑφ' ἡμῶν et νομίζει ὑπ' ἐμοῦ ἠδικῆσθαι Anab. I, 3, 10.

*ὑπὸ σοῦ*] cum συγγνώμης potius quam cum τυχέτω iungendum, aut pendet a συγγνώμης τυχέτω tanquam ab una notione: ignoscatur ei a te. Cf. V, 1, 5. adn. ad Comment. IV, 8, 10: ἐπιμελείας τεύξομαι ὑπ' ἀνθρώπων et ad Cyrop. I, 6, 10: ὑπ' ἄλλων αἰδοῦς τεύξῃ. Infra VI, 5, 43. Kuehner. ad Comment. II, 4, 1: τραύματα ὑπὸ τῶν πολεμίων — ἔχων, et ad Anab. VII, 2, 37.

*καλὰ — εἶναι*] Plut. Ages. XXV, 2: σκέψασθαι δὲ φήσας, ὅτι καλῶς ἔχει καὶ πρεπόντως, ἀπῆλθεν.

32 σας μάλα δύςελπις ὢν ἀπήει. Τῶν δὲ τοῦ Σφοδρίου φίλων τις διαλεγόμενος Ἐτυμοκλεῖ εἶπεν, Ὑμεῖς μέν, οἶμαι, ἔφη, οἱ Ἀγησιλάου φίλοι πάντες ἀποκτενεῖτε τὸν Σφοδρίαν. Καὶ ὁ Ἐτυμοκλῆς, Μὰ Δία, οὐκ ἄρα ταῦτ᾽, ἔφη, ποιήσομεν Ἀγησιλάῳ, ἐπεὶ ἐκεῖνός γε πρὸς πάντας, ὅσοις διείλεκται, ταὐτὰ λέγει, μὴ ἀδικεῖν μὲν Σφοδρίαν ἀδύνατον εἶναι· ὅςτις μέντοι παῖς τε ὢν καὶ παιδίσκος καὶ ἡβῶν πάντα τὰ καλὰ ποιῶν διετέλεσε, χαλεπὸν εἶναι τοιοῦτον ἄνδρα ἀποκτιννύναι· τὴν γὰρ Σπάρ-
33 την τοιούτων δεῖσθαι στρατιωτῶν. Ὁ οὖν ἀκούσας ταῦτα ἀπήγγειλε τῷ Κλεωνύμῳ. Ὁ δ᾽ ἡσθείς, εὐθὺς ἐλθὼν πρὸς τὸν Ἀρχίδαμον εἶπεν, Ὅτι μὲν ἡμῶν ἐπιμελῇ, ἤδη ἴσμεν· εὖ δ᾽ ἐπίστω, Ἀρχίδαμε, ὅτι καὶ ἡμεῖς πειρασόμεθα ἐπιμελεῖσθαι, ὡς μήποτε σὺ ἐπὶ τῇ ἡμετέρᾳ φιλίᾳ αἰσχυνθῇς. Καὶ οὐκ ἐψεύσατο, ἀλλὰ καὶ ζῶν ἅπαντ᾽ ἐποίει, ὅσα καλὰ ἐν τῇ Σπάρτῃ, καὶ ἐν Λεύκτροις πρὸ τοῦ βασιλέως μαχόμενος σὺν Δείνωνι τῷ πολεμάρχῳ τρὶς πεσὼν πρῶτος τῶν πολιτῶν ἐν μέσοις τοῖς πολεμίοις ἀπέθανε. Καὶ ἠνίασε μὲν εἰς τὰ ἔσχατα Ἀρχίδαμον, ὡς δ᾽ ὑπέσχετο, οὐ κατῄσχυνεν, ἀλλὰ μᾶλ-

§. 32. I. V. Dind. *Σφοδρία* pro *Σφοδρίου*. — F. *ἔφη, οἶμαι*. — — *φίλοι πάντες* B., ceteri *πάντες* ponunt ante *οἱ Ἀγησ*. — *ταῦτ᾽, ἔφη* B. Dind., *ταὐτὰ, ἔφη* Schneid. Weisk., ceteri *ταὐτὰ* omisso *ἔφη*, sed C. *ταῦτα*. — *ταὐτὰ λέγει* Dind. pro *ταῦτα λέγει*. — Post *εἶναι* Schneid. edd. sqq. om. *ἔφη*, quod in C. D. E. F. V. legitur ante *εἶναι*.

§. 33. *ὁ οὖν* B. D. F. I. Dind. pro *ὁ δὲ*. — Dind. *ἐπιμελεῖ*. — *τρὶς πεσὼν* B. D. F. I. V. Dind. pro *προςπεσὼν*.

§. 32. *Σφοδρίου*] §. 63: *Σφοδρία*.. V. ad III, 2, 8. IV, 5, 19, ubi deleas v. extr. 32 et „nusquam *Σφοδρίου*.“

*Ἐτυμοκλεῖ*] Commemoratus est §. 20.

*οὐκ ἄρα*] *nicht etwa*. Cf. adn. ad Oecon. VI, 16: *ἀλλ᾽ οὐκ ἄρα εἶχεν οὕτως*. Ponitur autem interdum *ἄρα* in responsione, ubi ante dicta cum alacritate quadam refutantur. Hier. I, 13: *εἴποις οὖν ἂν ἴσως σύ, ἀλλ᾽ ἄρα ἔρχεται αὐτοῖς τὰ τοιαῦτα καὶ οἴκοι μένουσι*. Ceterum huius loci sensus est: Profecto haec non Agesilao faciamus, qui quamvis noxium esse Sphodriam sibi habeat persuasum, tamen tam bene de republica meritum virum condemnandum non iudicat.

*τὰ καλά*] V. ad I, 1, 23.

§. 33. *τρὶς πεσών*] Plut. Ages. XXVIII. extr.: *ἐν οἷς (τοῖς κρατίστοις τῶν Σπαρτιατῶν) καὶ Κλεώνυμόν φασι τὸν Σφοδρίου, τὸν καλὸν τρὶς πεσόντα πρὸ τοῦ βασιλέως καὶ τοσαυτάκις ἐξαναστάντα καὶ μαχόμενον τοῖς Θηβαίοις ἀποθανεῖν*. Inde Tellius post *τρὶς πεσών* addenda censet *καὶ τρὶς ἐξανάστας*.

*ἠνίασε*] scil. morte sua.

*οὐ κατῄσχυνεν*] non dedecori erat Archidamo.

*ἀλλὰ μᾶλλον*] immo vero.

λον ἐκόσμησε. Τοιούτῳ μὲν δὴ τρόπῳ Σφοδρίας ἀπέφυγε.

34 Τῶν μέντοι Ἀθηναίων οἱ βοιωτιάζοντες ἐδίδασκον τὸν δῆμον, ὡς οἱ Λακεδαιμόνιοι οὐχ ὅπως τιμωρήσαιντο, ἀλλὰ καὶ ἐπαινέσειαν τὸν Σφοδρίαν, ὅτι ἐπεβούλευσε ταῖς Ἀθήναις. Καὶ ἐκ τούτου οἱ Ἀθηναῖοι
35 ἐπύλωσάν τε τὸν Πειραιᾶ ναῦς τε ἐναυπηγοῦντο τοῖς τε Βοιωτοῖς πάσῃ προθυμίᾳ ἐβοήθουν. Οἱ δ' αὖ Λακεδαιμόνιοι φρουράν τε ἔφηναν ἐπὶ τοὺς Θηβαίους καὶ τὸν Ἀγησίλαον νομίσαντες φρονιμώτερον ἂν σφίσι τοῦ Κλεομβρότου ἡγεῖσθαι ἐδέοντο αὐτοῦ ἄγειν τὴν στρατιάν. Ὁ δὲ εἰπών, ὅτι οὐδὲν ἄν, ὅ τι τῇ πόλει δοκοίη
36 ἀντειπεῖν, παρεσκευάζετο εἰς τὴν ἔξοδον. Γιγνώσκων δ', ὅτι, εἰ μή τις προκαταλήψοιτο τὸν Κιθαιρῶνα, οὐ ῥάδιον ἔσται εἰς τὰς Θήβας ἐμβαλεῖν, μαθὼν πολεμοῦντας τοὺς Κλειτορίους τοῖς Ὀρχομενίοις καὶ ξενικὸν τρέφοντας, ἐκοινολογήσατο αὐτοῖς, ὅπως προσγέ-

§. 34. ἐπαινέσειαν B. Dind. pro ἐπαινέσαιεν. — πάσῃ πρ. ἐβοήθουν B. D. F. V. Dind. pro ἐβοήθουν π. πρ.

§. 35. ἡγεῖσθαι B. C. D. E. F. I. Leoncl. Steph. Schneid. Dind. pro ἡγήσεσθαι. — Dind. inclusit ὅτι post εἰπὼν. — ὅ τι τῇ B., ὃ τῇ ceteri. — Cast. ἀντείπειεν, Leoncl. ἀντείποι vult pro ἀντειπεῖν.

§. 36. E. προκαταλήψετο. — Κλειτορίους Schneid. edd. sqq., ceteri Κλητ. vel Κλιτ. — προςγένοιτο coni. Rinkes. pro γένοιτο.

Cf. Cyrop. V, 4, 49: οὐκ ἂν ἀπαράσκευοι λαμβανοίμεθα· μᾶλλον δὲ — οὐδ' ἐπιχειρήσουσιν. Comment. III, 16, 6: κακῶς νὴ Δία —· μᾶλλον δὲ οὐδ' ἂν ἐδυνήθην κομίσαι, ubi v. Kuehner.

§. 34. οὐχ ὅπως — ἀλλὰ καί] tantum abesse, ut punivissent, ut collaudassent. Rost. §. 171. 6. c. Buttm. §. 150. init. Kuehn. §. 321. 3. b.

ναῦς τε ἐναυπηγοῦντο] ut maritimum non solum, sed Graeciae imperium contra Spartanos obtinerent. De nova hoc consilio cum multis Asiae et Graeciae civitatibus, imprimis cum Thebanis societate ab Atheniensibus illo tempore inita uberius narrat Diod. XV, 28. Cf. Plut. Pelop. XV. Grot. p. 389 sqq.

§. 35. εἰπών, ὅ τι — ἀντειπεῖν] De infinitivo v. ad II, 2, 2. VI, 5, 42. adn. ad Cyrop. I, 6, 18.

§. 36. προκαταλήψοιτο — ἔσται] Codicis E. scriptura ducere videtur ad προκαταλήψεται. Sed v. ad IV, 8, 6.

μαθών] De participiis pluribus ἀσυνδέτως positis v. adn. ad Oecon. XIX, 15. Ages. II, 12. Kuehner. ad Comment. I, 1, 18. H. l. μαθών non eadem ratione refertur ad verbum finitum qua antecedens participium. Hoc causam, cur omnino socios quaesierit Agesilaus, illud, cur Clitoriorum potissimum petierit societatem, indicat.

Κλειτορίους τοῖς Ὀρχομενίοις] Utrique sunt Arcades.

ὅπως προσγένοιτο] Hoc requirit sensus: ut adiungeretur

37 νοιτο τὸ ξενικὸν αὐτῷ, εἴ τι δεηθείη. Ἐπεὶ δὲ τὰ δια-
βατήρια ἐγένετο, πέμψας, πρὶν ἐν Τεγέᾳ αὐτὸς εἶναι,
πρὸς τὸν ἄρχοντα τῶν παρὰ τοῖς Κλειτορίοις ξένων καὶ
μισθὸν δοὺς μηνὸς ἐκέλευε προκαταλαβεῖν αὐτοὺς τὸν
Κιθαιρῶνα. Τοῖς δ' Ὀρχομενίοις εἶπεν, ἕως στρατεία
εἴη, παύσασθαι τοῦ πολέμου· εἰ δέ τις πόλις στρατιᾶς
οὔσης ἔξω ἐπὶ πόλιν στρατεύσοι, ἐπὶ ταύτην ἔφη πρῶ-
38 τον ἰέναι κατὰ τὸ δόγμα τῶν συμμάχων. Ἐπεὶ δὲ ὑπερέ-
βαλε τὸν Κιθαιρῶνα, ἐλθὼν εἰς Θεσπιὰς ἐκεῖθεν ὁρμη-
θεὶς ᾔει ἐπὶ τὴν τῶν Θηβαίων χώραν. Εὑρὼν δὲ ἀπο-
τεταφρευμένον τε καὶ ἀπεσταυρωμένον κύκλῳ τὸ πε-
δίον καὶ τὰ πλείστου ἄξια τῆς χώρας, στρατοπεδευόμε-
νος ἄλλοτ' ἄλλῃ καὶ μετ' ἄριστον ἐξάγων ἐδῄου τῆς
χώρας τὰ πρὸς ἑαυτοῦ τῶν σταυρωμάτων καὶ τῆς τά-
φρου. Οἱ γὰρ πολέμιοι, ὅπου ἐπιφαίνοιτο ὁ Ἀγησί-
λαος, ἀντιπαρῄεσαν αὐτῷ ἐντὸς τοῦ χαρακώματος ὡς
39 ἀμυνούμενοι. Καί ποτε ἀποχωροῦντος αὐτοῦ ἤδη τὴν
ἐπὶ τὸ στρατόπεδον, οἱ τῶν Θηβαίων ἱππεῖς τέως ἀφα-
νεῖς ὄντες ἐξαίφνης διὰ τῶν ὡδοποιημένων τοῦ χαρα-

§. 37. *αὐτὸς*, suadente Moro, Schneid. edd. sqq. pro *αὐτούς*. — Post *μηνὸς* om. *αὐτοῖς* B. D. F. I. V. Dind. — *ἐκέλευε* B. D. F. V. Dind. pro *ἐκέλευσε*. — *στρατεία* Port. Steph. edd. sqq. pro *στρατιά*.

§. 38. C. *ὑπερέβαλλε*. Post hoc verbum om. *εἰς* B. D. I. Steph. Schneid. edd. sqq. — A. om. *τε*, C. om. *τε καὶ ἀπεστ.* — Schneid. post *πρὸς ἑαυτοῦ*, suadente Leoncl., inserit *ἔξω*.

§. 39. C. F. om. *τὸ* ante *στρατόπ.* — *τέως* B. D. Steph. Courrier. ad Hipparch. p. 62. Schneid. Dind. pro *τε ὡς*. — B. *ὁδοποιουμένων*,

sibi. Post *ὅπως* excidere facile potuit *πρός*.

*εἴ τι δεηθείη*] si ad quam rem eo indigeret. V. ad II, 1, 2. III, 1, 1.

§. 37. *διαβατήρια ἐγένετο*] V. ad III, 1, 17. 4, 3.

§. 38. *εὑρών*] Ages. II, 22: *εὑρὼν δὲ ἀποτεταφρευμένα καὶ ἀπεσταυρωμένα ἅπαντα, ὑπερβὰς τὰς Κυνὸς κεφαλὰς ἐδῄου τὴν χώραν μέχρι τοῦ ἄστεος.* Copiosius et partim aliter haec narrat Diod. XV, 31. 32.

*τῶν σταυρωμάτων καὶ τῆς τάφρου*] Genitivi pendent non ab articulo *τὰ*, ut quidam interpretes existimant, sed a *πρὸς ἑαυτοῦ*, quae verba quodam modo vim praepositionis habent. Vertas: vastavit ea agri loca, quae (ab ipsius parte) citra vallum fossamque sita erant. Apposite Dindorf. comparat. Herod. II, 32: *νέμεται δὲ τὴν Σύρτιν τε καὶ τὴν πρὸς ἠῶ χώρην τῆς Σύρτιος οὐκ ἐπὶ πολλόν*, ubi genitivus *τῆς Σύρτιος* a *πρὸς ἠῶ*, non a *τὴν πρὸς ἠῶ χώρην* suspensus est: eam terram, quae ab oriente tangit Syrtim. Item infra §. 49. genitivus *τῆς πόλεως* pendet a *πρὸς ἕω* et VI, 5, 15. *τῆς Μαντινείας* a *πρὸς ἑσπέραν*. Similis est ratio genitivorum VI, 2, 9: *ἐν καλῷ τοῦ κόλπου καὶ τῶν πόλεων*.

§. 39. *ὡδοποιημένων*] For-

κώματος ἐξόδων ἐξελαύνουσι καί, οἷα δὴ ἀπιόντων
πρὸς δεῖπνον καὶ συσκευαζομένων τῶν πελταστῶν, τῶν
δὲ ἱππέων τῶν μὲν ἔτι καταβεβηκότων, τῶν δ' ἀναβαι-
νόντων, ἐπελαύνουσι· καὶ τῶν τε πελταστῶν συχνοὺς
κατέβαλον καὶ τῶν ἱππέων Κλέαν καὶ Ἐπικυδίδαν
Σπαρτιάτας καὶ τῶν περιοίκων ἕνα, Εὔδικον, καὶ τῶν
Ἀθηναίων τινὰς φυγάδας, οὔπω ἀναβεβηκότας ἐπὶ τοὺς
ἵππους. Ὡς δὲ ἀναστρέψας σὺν τοῖς ὁπλίταις ἐβοή- 40
θησεν ὁ Ἀγησίλαος, οἵ τε ἱππεῖς ἤλαυνον ἐναντίον τοῖς
ἱππεῦσι καὶ τὰ δέκα ἀφ' ἥβης ἐκ τῶν ὁπλιτῶν ἔθει σὺν
αὐτοῖς. Οἱ μέντοι τῶν Θηβαίων ἱππεῖς ἐῴκεσαν ὑπο-
πεπωκόσι που ἐν μεσημβρίᾳ· ὑπέμενον μὲν γὰρ τοῖς
ἐπελαύνουσιν, ὥςτ' ἐξακοντίζειν τὰ δόρατα, ἐξικνοῦντο

D. ὡδοπεποιημένων, V. ἐνδοπεποιημένων. — Cast. edd. sqq. usque ad Weisk. οὐκέτι pro ἔτι, quod retinuit Mor., restituit Schneid., sed post τῶν δ' transposuit. — Edd. vett. ἀναβεβηκότων pro ἀναβαινόντων. — B. V. καὶ τῶν πελτ. — C. κατέβαλλον. — Κλέαν B. D. I. V. Dind. pro Κλέωνα. — Ἐπικυδίδαν Dind. pro Ἐπιλυτίδαν. — Dind. Θηβαίων pro Ἀθηναίων.

§. 40. Edd. vett. ὅπλοις pro ὁπλίταις. — ἐναντίον B. D. I. V. mg. Leoncl. Dind. pro ἐναντίοι. — ὑποπεπωκόσι Camerar. Schneid. edd. sqq., ὑποπεμπτωκόσι edd. vett. Mor., ὑποπεπτωκόσι reliqui. — Edd. vett. om. μὲν ante γὰρ. — Ante ἀναστρεφ. om. καὶ libri (praeter A. V.) Schneid. Dind. — ἐκ τοσούτου B. C. D. E. V. Schneid. Dind. pro ἐκ τούτου.

mam ὡδοπεποιημένων, quam praebet cod. D. receperunt Anab. V, 3, 1. Poppo et Kuehner., quibus obloquitur Hertlin. in Annal. Lips. a. 1857. p. 711.

οἷα] De οἷα rarius dicto pro ἅτε v. Buttm. §. 144. ann. 14. Rost. §. 182. ann. 9. Kuehner. §. 312. ann. 13. Cf. infra VI, 4, 26.

συσκευαζομένων] scil. τὸ δεῖπνον.

ἔτι καταβεβληκότων] qui nondum rursus conscenderant equos, ut mox dicitur οὔπω ἀναβεβηκότας. Courrier. ad Hipparch. p. 62 maluit ἄρτι pro ἔτι.

Κλέαν] quod nomen alibi etiam repertum (v. Pap. lex. nom. propr.) ex Κλέανδρος vel Κλεανδρίδας decurtatum putat Dindorf.

Ἀθηναίων] Probabilius sane esset Θηβαίων, nec tamen est prorsus necessarium. Nam postquam foedus Athenienses cum Thebanis contra Spartanos icerunt (v. ad §. 34), Athenienses quosdam ab hoc foedere aversos et Spartanis amicos Lacedaemonem confugisse aut sua sponte aut a civibus suis expulsos, veri non est absimile.

§. 40. τὰ δέκα ἀφ' ἥβης] V. ad II, 4, 32.

ὑποπεπωκόσι που ἐν μεσημβρίᾳ] Post coenam fecerant eruptionem ut colligere licet ex §. 41: ἀεὶ μετ' ἄριστον. Cf. VI, 4. 8. Anab. VII, 3, 29. Symp. IX, 2. Cyrop. VIII, 4, 9, ubi v. adn. Latine subbibere.

ὑπέμενον — τοῖς ἐπελαύνουσιν] constructio insolentior et, ut videtur, poetica. Certe simplex μένειν et στῆναι cum

41 δ' οὔ. Ἀναστρέφοντες δὲ ἐκ τοσούτου ἀπέθανον αὐτῶν δώδεκα. Ὡς δὲ κατέγνω ὁ Ἀγησίλαος, ὅτι ἀεὶ μετ' ἄριστον καὶ οἱ πολέμιοι ἐφαίνοντο, θυσάμενος ἅμα τῇ ἡμέρᾳ ἦγεν ὡς οἷόν τε τάχιστα καὶ παρῆλθε δι' ἐρημίας εἴσω τῶν χαρακωμάτων. Ἐκ δὲ τούτου τὰ ἐντὸς ἔτεμνε καὶ ἔκαε μέχρι τοῦ ἄστεος. Ταῦτα δὲ ποιήσας καὶ πάλιν ἀποχωρήσας εἰς Θεσπιάς, ἐτείχισε τὸ ἄστυ αὐτοῖς· καὶ ἐκεῖ μὲν Φοιβίδαν κατέλιπεν ἁρμοστήν, αὐτὸς δ' ὑπερβαλὼν πάλιν εἰς τὰ Μέγαρα τοὺς μὲν συμμάχους διῆκε, τὸ δὲ πολιτικὸν στράτευμα ἐπ' οἴκου ἀπήγαγεν.

42 Ἐκ δὲ τούτου ὁ Φοιβίδας ἐκπέμπων μὲν ληστήρια ἔφερε καὶ ἦγε τοὺς Θηβαίους, καταδρομὰς δὲ ποιούμενος ἐκακούργει τὴν χώραν. Οἱ δ' αὖ Θηβαῖοι ἀντιτιμωρεῖσθαι βουλόμενοι στρατεύουσι πανδημεὶ ἐπὶ τὴν Θεσπιέων χώραν. Ἐπεὶ δ' ἦσαν ἐν τῇ χώρᾳ, ὁ Φοιβίδας σὺν τοῖς πελτασταῖς προςκείμενος οὐδαμοῦ εἴα αὐτοὺς ἀποσκεδάννυσθαι τῆς φάλαγγος· ὥςτε οἱ Θηβαῖοι μάλα ἀχθόμενοι τῇ ἐμβολῇ θάσσονα τὴν ἀποχώρησιν ἐποιοῦντο, καὶ οἱ ὀρεοκόμοι δὲ ἀποῤῥιπτοῦντες ὃν εἰλήφεσαν καρπὸν ἀπήλαυνον οἴκαδε· οὕτω δεινὸς

§. 41. *καὶ* ante *οἱ πολέμιοι* om. Steph. revocavit cum Moro Dind. — B. D. V. *ἔσω* pro *εἴσω*. — *ἐτείχισε* B. D. V. Dind. pro *ἐτείχιζε*.

§. 42. Ante *Θεσπιέων* om. *τῶν* B. — *θάσσονα* B. D. F. I. pro *θᾶσσον*, Dind. *θάττονα*. — *ὀρεοκόμοι* B., ceteri *ὀρεωκόμοι*. — C. D. E. V. edd. vett. *τοῖς στρατεύμασι* pro *τῷ στρατεύματι*.

dativo apud poetas iunguntur. Atque *ὑποστῆναί τινι* habet Xen. infra VII, 5, 12. Anab. III, 2, 11. V. quae Bernh. Synt. p. 98. et Dindorf. ad h. l. collegerunt.

§. 41. *ἀναστρέφοντες — αὐτῶν δώδεκα*] V. ad IV, 4, 1.

*ἐκ τοσούτου*] ex tam longinquo spatio. V. ad IV, 4, 16.

*καὶ οἱ πολέμιοι*] ut ipse *μετ' ἄριστον* fecerat Agesilaus. V. §. 38.

*δι' ἐρημίας*] V. ad III, 4, 21.

*αὐτοῖς*] Thespiensibus. De synesi v. ad I, 4, 12. IV, 3, 2.

*ὑπερβαλὼν εἰς τὰ Μέγ.*] Ad *ὑπερβαλών* intelligas *τὸν Κιθαιρῶνα* (cf. §. 38), ut §. 59: *ὑπερβῆναι εἰς τὴν τῶν Θηβ.* Cf. VI, 4, 21: *διεπορεύθη εἰς τὴν Βοιωτίαν.* Item ex antecedentibus III, 2, 11. ad *διέβαινε* intelligitur *τὸν Ἑλλήςποντον* ante *εἰς τὴν Ἀσίαν.* Atque IV, 4, 19, montibus, qui superantur, non antea commemoratis, dicitur: *ἐκεῖθεν ὑπερβαλὼν κατὰ Τενέαν εἰς Κόρινθον.*

§. 42. *Φοιβίδας*] Eius in Boeotia res gestas et obitum paullo aliter narrat Diod. XV, 33.

*θάσσονα*] De *σσ* v. ad *ἐφύλασσον* §. 22.

*ὀρεοκόμοι*] Sic Hesych. et Pollux VII, 183. Sed ubique fere inter *ὀρεοκόμος* et *ὀρεωκόμος* fluctuant libri. V. Steph. thes. gr.

φόβος τῷ στρατεύματι ἐνέπεσεν. Ὁ δὲ ἐν τούτῳ Θρα- 43
σέως ἐπέκειτο, περὶ ἑαυτὸν μὲν ἔχων τὸ πελταστικόν,
τὸ δ' ὁπλιτικὸν ἐν τάξει ἕπεσθαι κελεύσας. Καὶ ἐν ἐλ-
πίδι ἐγένετο τροπὴν τῶν ἀνδρῶν ποιήσασθαι· αὐτός τε
γὰρ ἐῤῥωμένως ἡγεῖτο καὶ τοῖς ἄλλοις ἅπτεσθαι τῶν
ἀνδρῶν παρεκελεύετο καὶ τοὺς τῶν Θεσπιέων ὁπλίτας
ἀκολουθεῖν ἐκέλευεν. Ὡς δὲ ἀποχωροῦντες οἱ τῶν 44
Θηβαίων ἱππεῖς ἐπὶ νάπῃ ἀδιαβάτῳ ἐγίγνοντο, πρῶτον
μὲν ἠθροίσθησαν, ἔπειτα δὲ ἀνέστρεφον διὰ τὸ ἀπο-
ρεῖν, ὅπῃ διαβαῖεν. Οἱ μὲν οὖν πελτασταὶ ὀλίγοι ὄντες
οἱ πρῶτοι φοβηθέντες αὐτοὺς ἔφυγον· οἱ δὲ ἱππεῖς αὖ
τοῦτο ὡς εἶδον, ἐδιδάχθησαν ὑπὸ τῶν φευγόντων ἐπι-
θέσθαι αὐτοῖς. Καὶ ὁ μὲν δὴ Φοιβίδας καὶ δύο ἢ τρεῖς 45
μετ' αὐτοῦ μαχόμενοι ἀπέθανον, οἱ δὲ μισθοφόροι τού-
του γενομένου πάντες ἔφυγον. Ἐπεὶ δὲ φεύγοντες
ἀφίκοντο πρὸς τοὺς ὁπλίτας τῶν Θεσπιέων, κἀκεῖνοι,
μάλα πρόσθεν μέγα φρονοῦντες μὴ ὑπείξειν τοῖς Θη-
βαίοις, ἔφυγον, οὐδέν τι πάνυ διωκόμενοι· καὶ γὰρ ἦν
ἤδη ὀψέ. Καὶ ἀπέθνησκον μὲν οὐ πολλοί, ὅμως δὲ οὐ
πρόσθεν ἔστησαν οἱ Θεσπιεῖς, πρὶν ἐν τῷ τείχει ἐγέ-
νοντο. Ἐκ δὲ τούτου πάλιν αὖ τὰ τῶν Θηβαίων ἀνε- 46
ζωπυρεῖτο, καὶ ἐστρατεύοντο εἰς Θεσπιὰς καὶ εἰς τὰς

§. 43. *ἑαυτὸν* B. D. V. Dind. pro *αὐτὸν*. — *ἐν ἐλπίδι ἐγ.* B. pro *ἐγ. ἐν ἐλπίδι*. — *τροπὴν* Port. edd. sqq. pro *πρὸς τὴν*. A. *πρὸ τὴν*.
§. 44. *νάπῃ* B. C. D. F. Dind. pro *νάπει*. — F. *τὸ πρῶτον μὲν*. — *ὅπῃ* B. Dind. pro *ὅποι*. — Ante *ὀλίγοι* A. Ald. Iunt. et edd. post Steph. praebent *καί*, quod om. Dind. — *τοῦτο ὡς* B. D. V. Dind. pro *ὡς τοῦτο*.
§. 45. A. edd. ante Schneid. *μηδέν τι* pro *οὐδέν τι*. — F. I. V. *ἀπέθανον* pro *ἀπέθνησκον*.
§. 46. *αὖ* post *πάλιν* addunt B. D. E. F. I. V. Y. Schneid. Dind.

§. 43. *τροπὴν — ποιήσασθαι*] Hostes, qui se recipiebant, ad pugnandum se esse coacturum et mox fugaturum sperabat, quam rem in animo Phoebidae quasi iam perpetratam esse aoristo exprimitur. Cf. ad III, 5, 10.

§. 44. *νάπῃ*] Eadem forma est Anab. IV, 5, 15. V, 2, 31, sed *νάπει*, *νάπος* VI, 5, 12. 13.

*ὅπῃ*] Etiam *ὅποι* ferri posse intelligitur ex ann. ad II. 4, 6.

*ἐδιδάχθησαν*] edocti sunt, i. e. intellexerunt ex fuga eorum, ipsos esse adoriendos. Sic II, 3, 45 *διδασκόμενος* est intelligens.

§. 45. *πρόσθεν μέγα φρονοῦντες μὴ ὑπείξειν*] V. ad IV, 5, 12. De participio praesentis cum *πρόσθεν* iuncto v. ad V, 1, 1.

§. 46. *πάλιν αὖ*] V. ad IV, 8, 35.

ἄλλας τὰς περιοικίδας πόλεις. Ὁ μέντοι δῆμος ἐξ αὐ-
τῶν εἰς τὰς Θήβας ἀπεχώρει· ἐν πάσαις γὰρ ταῖς πόλεσι
δυναστεῖαι καθεστήκεσαν, ὥςπερ ἐν Θήβαις· ὥςτε καὶ
οἱ ἐν ταύταις ταῖς πόλεσι φίλοι τῶν Λακεδαιμονίων
βοηθείας ἐδέοντο. Μετὰ δὲ τὸν Φοιβίδα θάνατον πο-
λέμαρχον μὲν καὶ μόραν οἱ Λακεδαιμόνιοι κατὰ θάλασ-
σαν πέμψαντες τὰς Θεσπιὰς ἐφύλαττον.

47 Ἐπεὶ δὲ τὸ ἔαρ ἐπέστη, πάλιν ἔφαινον φρουρὰν οἱ
A.Ch. a.377. ἔφοροι εἰς τὰς Θήβας καὶ τοῦ Ἀγησιλάου, ἧπερ τὸ πρό-
σθεν, ἐδέοντο ἡγεῖσθαι. Ὁ δ' ὑπὲρ τῆς ἐμβολῆς ταὐτὰ
γιγνώσκων, πρὶν καὶ τὰ διαβατήρια θύεσθαι, πέμψας
πρὸς τὸν ἐν Θεσπιαῖς πολέμαρχον ἐκέλευε προκαταλα-
βεῖν τὸ ὑπὲρ τῆς κατὰ τὸν Κιθαιρῶνα ὁδοῦ ἄκρον καὶ
48 φυλάττειν, ἕως ἂν αὐτὸς ἔλθῃ. Ἐπεὶ δὲ τοῦτο ὑπερ-
βαλὼν ἐν ταῖς Πλαταιαῖς ἐγένετο, πάλιν προςεποιήσατο
εἰς τὰς Θεσπιὰς πρῶτον ἰέναι καὶ πέμπων ἀγοράν τε
ἐκέλευε παρασκευάζειν καὶ τὰς πρεσβείας ἐκεῖ περιμέ-
νειν· ὥςτε οἱ Θηβαῖοι ἰσχυρῶς τὴν πρὸς Θεσπιῶν ἐμ-
49 βολὴν ἐφύλασσον. Ὁ δὲ Ἀγησίλαος τῇ ὑστεραίᾳ ἅμα
τῇ ἡμέρᾳ θυσάμενος ἐπορεύετο τὴν ἐπ' Ἐρυθράς· καὶ
[ὡς στρατεύματι] δυοῖν ἡμέραιν ὁδὸν ἐν μιᾷ κατανύ-

— C. ἀνεξ. τὰ τῶν Θηβ. — καθεστήκεσαν B. V. pro καθειστ. — θάλασσαν B. D. pro θάλατταν.

§. 47. ἔφοροι B. D. F. I. V. marg. Leoncl. Steph. Dind. pro Λακεδαιμόνιοι. — B. D. edd. vett. ταῦτα pro ταὐτὰ. — ἔλθῃ B. D. V. Dind. pro ἔλθοι.

§. 48. πρῶτον ἰέναι B., ceteri ἰέναι πρῶτον. — Θεσπιῶν ἐμβολὴν Dind., Θεσπιέων ἐμβολὴν B. D. F. I. V. marg. Leoncl., Θεσπιὰς εἰςβολὴν ceteri. — ἐφύλασσον B. C. D. E. pro ἐφύλαττον.

§. 49. τῇ ὑστεραίᾳ addunt B. D. F. I. V. Leoncl. Schneid. Dind.

ὥςπερ ἐν Θήβαις] qualis (dominatio) Thebis fuerat constituta (V, 2, 25. sqq.) sed eversa erat (V, 4, 2. sqq.).

θάλασσαν] V. ad §. 22.

§. 47. ἧπερ τὸ πρόσθεν] V. §. 35.

ταὐτὰ γιγνώσκων] V. §.36.

§. 48. πάλιν — ἰέναι] ut §. 38.

τὰς πρεσβείας — περιμένειν] Polyaen. II, 1, 11: Ἀγησίλαος πυθόμενος Θηβαίους τὴν κατὰ Σκῶλον φυλάττειν πάροδον, πάσας τὰς ἀπὸ τῶν Ἑλλήνων πρεσβείας ἐν Θεσπιαῖς ἀναμένειν συνέταξεν. Θηβαῖοι ταῦτα πυθόμενοι μετῆλθον ἐπὶ τὴν κατὰ Θεσπιὰς πάροδον καὶ ταύτῃ παρεφύλαττον. Ἀγησίλαος δυοῖν ἡμερῶν ὁδὸν ἀνύσας ἡμέρᾳ μιᾷ τὴν κατὰ Σκῶλον πάροδον ἐρήμην εὑρὼν ἄνευ μάχης διῆλθε.

τὴν — ἐμβολήν] V. ad IV, 3, 10. 7, 7.

§. 49. [ὡς στρατεύματι]] Vertunt: itinere, ad quod confi-

*σας, ἔφθασεν ὑπερβὰς τὸ κατὰ Σκῶλον σταύρωμα,*
*πρὶν ἐλθεῖν τοὺς Θηβαίους ἀπὸ τῆς φυλακῆς, καθ' ἣν*
*τὸ πρόσθεν εἰςῆλθεν. Τοῦτο δὲ ποιήσας τὰ πρὸς ἕω*
*τῆς τῶν Θηβαίων πόλεως ἐδῄου μέχρι τῆς Ταναγραίων·*
*ἔτι γὰρ τότε καὶ τὴν Τάναγραν οἱ περὶ Ὑπατόδωρον,*
*φίλοι ὄντες τῶν Λακεδαιμονίων, εἶχον· καὶ ἐκ τούτου*
*δὴ ἀπῄει ἐν ἀριστερᾷ ἔχων τὸ τεῖχος. Οἱ δὲ Θηβαῖοι* 50
*ὑπελθόντες ἀντετάξαντο ἐπὶ Γραὸς στήθει, ὄπισθεν*
*ἔχοντες τήν τε τάφρον καὶ τὸ σταύρωμα, νομίζοντες*
*καλὸν εἶναι ἐνταῦθα διακινδυνεύειν· καὶ γὰρ στενὸν*
*ἦν ταύτῃ ἐπιεικῶς καὶ δύςβατον τὸ χωρίον. Ὁ δ' Ἀγη-*
*σίλαος ἰδὼν ταῦτα πρὸς ἐκείνους μὲν οὐκ ἦγεν, ἐπισι-*

— *Ἐρυθρὰς* B. D. Dind. pro *Ἐρυθρᾶς*. — A. C. E. F. edd. vett. *στράτευμα* pro *σταύρωμα*. — *εἰςῆλθεν* B. pro *εἰςῆλθε*.

§. 50. *ὑπελθόντες* B. C. D. E. V. marg. Leoncl. Dind. pro *ἐπελθόντες*. — *τε* ante *τάφρον* om. A. edd. vett. — F. *στράτευμα* pro *σταύρωμα*. — *στενὸν ἦν* B., ceteri *ἦν στενόν*.

ciendum exercitui quidem biduo opus esse credideris, uno die confecto. Quem usum particulae *ὡς* cum dativo iunctae docet Math. gr. §. 388 a., qui praeter alia affert Soph. Oed. Col. 20: *μακρὰν γὰρ ὡς γέροντι προὐστάλης ὁδόν*. Plat. Resp. III, p. 389 D: *σωφροσύνης δὲ ὡς πλήθει οὐ τὰ τοιάδε μέγιστα*. Huius dicendi usus gnarum hominem ista verba obtrusisse Xenophonti persuasum habeo. Ineptum est dicere, quod plane per se intelligitur. Eandem ob causam Schaeferi emendatio *τῷ στρατεύματι* reiicienda est.

*τὸ κατὰ Σκῶλον σταύρωμα*] quae loca deseruerant Thebani, audito, Lacedaemonios per Thespias petere velle Thebas. V. Polyaen. ad §. 48. citatum.

*ἀπὸ τῆς φυλακῆς*] ab eo loco, quem custodiendi causa inter Thespias et Thebas obtinuerant.

*τὰ πρὸς ἕω τῆς — πόλεως*] ea loca, quae, si ab urbe spectantur, ad orientem sita sunt. V. ad §. 38 et VI, 2, 9.

*τὸ τεῖχος*] Tanagrae; nam Thebas ad dextram habebat, qui inter Thebas et Tanagram proficiscens iam pedem referret ad meridiem.

§. 50. *Γραὸς στήθει*] Steph. Byz. v. *Τανάγρα*: *τὴν δὲ Γραῖαν ἔνιοι λέγουσι τὸ νῦν τῆς Θηβαϊκῆς καλούμενον ἕδος*. Quibus comparatis cum Polyaen. II, 1: *οἱ δὲ κατέλαβον τὸν λόφον ὑπὲρ τῆς ὁδοῦ δύςβατον, καλούμενον Ῥέας* (h. e. *Γραίας*) *ἕδος* Wesselingio ad Antonini itin. p. 327 scribendum videtur *Γραὸς ἕδει*, quibus verbis significari Schneider. putat statuam uxoris Poemandri Tanagrae conditoris in colle inter Thebas et Tanagram sito constitutam. Strabo IX, p. 404. *Γραῖαν τὴν Ταναγρικὴν* memorat et ipsam urbem Tanagram *Γραῖαν* appellatam fuisse auctor est Paus. IX, 20, 2.

*ἐπισιμώσας*] Haec explicat Polyaen. II, 1, 12: *προςποιεῖται δὴ λοξώσας τὴν στρατιὰν ἄγειν ἐπὶ τὸ ἄστυ τῶν Θηβῶν· καὶ γὰρ ἦν ἔρημον, ἐξεστρατευκότων ἁπάντων. Θηβαῖοι περὶ τῇ πόλει δείσαντες τὸν λόφον καταλιπόντες ἠπείγοντο ἐς τὸ ἄστυ.*

51 μώσας δὲ πρὸς τὴν πόλιν ᾔει. Οἱ δ' αὖ Θηβαῖοι δείσαντες περὶ τῆς πόλεως, ὅτι ἐρήμη ἦν, ἀπολιπόντες ἔνθα παρατεταγμένοι ἦσαν δρόμῳ ἔθεον εἰς τὴν πόλιν τὴν ἐπὶ Ποτνιὰς ὁδόν· ἦν γὰρ αὕτη ἀσφαλεστέρα. Καὶ μέντοι ἐδόκει καλὸν γενέσθαι τὸ ἐνθύμημα τοῦ Ἀγησιλάου, ὅτι πόῤῥω ἀπαγαγὼν ἀπὸ τῶν πολεμίων ἀποχωρεῖν δρόμῳ αὐτοὺς ἐποίησεν· ὅμως μέντοι ἐπὶ παραθέοντας αὐτοὺς τῶν πολεμάρχων τινὲς ἐπέδραμον σὺν
52 ταῖς μόραις. Οἱ μέντοι Θηβαῖοι ἀπὸ τῶν λόφων τὰ δόρατα ἐξηκόντιζον, ὥςτε καὶ ἀπέθανεν Ἀλύπητος, εἷς τῶν πολεμάρχων, ἀκοντισθεὶς δόρατι· ὅμως δὲ καὶ ἀπὸ τούτου τοῦ λόφου ἐτράπησαν οἱ Θηβαῖοι· ὥςτε ἀναβάντες οἱ Σκιρῖται καὶ τῶν ἱππέων τινὲς ἔπαιον τοὺς τελευταίους τῶν Θηβαίων παρελαύνοντας εἰς τὴν πόλιν.
53 Ὡς μέντοι ἐγγὺς τοῦ τείχους ἐγένοντο, ὑποστρέφουσιν οἱ Θηβαῖοι· οἱ δὲ Σκιρῖται ἰδόντες αὐτοὺς θᾶττον ἢ βάδην ἀπῆλθον. Καὶ ἀπέθανε μὲν οὐδεὶς αὐτῶν· ὅμως δὲ οἱ Θηβαῖοι τρόπαιον ἐστήσαντο, ὅτι ἀπεχώρησαν οἱ
54 ἀναβάντες. Ὁ μέντοι Ἀγησίλαος, ἐπεὶ ὥρα ἦν, ἀπελθὼν ἐστρατοπεδεύσατο ἔνθαπερ τοὺς πολεμίους εἶδε παρατεταγμένους· τῇ δ' ὑστεραίᾳ ἀπήγαγε τὴν ἐπὶ Θεσπιάς. Θρασέως δὲ παρακολουθούντων τῶν πελταστῶν, οἳ ἦσαν μισθοφόροι τοῖς Θηβαίοις, καὶ τὸν Χαβρίαν ἀνακαλούντων, ὅτι οὐκ ἠκολούθει, ὑποστραφέντες οἱ τῶν Ὀλυνθίων ἱππεῖς, ἤδη γὰρ κατὰ τοὺς ὅρκους συνεστρατεύοντο, ἐδίωξάν τε αὐτοὺς πρὸς ὄρθιον, καθά-

§. 51. ἔνθα B. D. F. I. V. Leoncl. Steph. Schneid. Dind. pro ᾗ ἐνταῦθα, E. ἐνταῦθα (om. ᾗ). — εἰς τὴν B. D. F. I. V. Dind. pro πρὸς τὴν. — Ante Dind. edebatur ἐπιπαραθέοντας.

§. 52. A. C. E. F. I. edd. vett. om. τὰ ante δόρατα. — τελευταίους τ. Θηβ. B. F. V. Dind. pro τ. Θηβ. τελευτ. — εἰς ante τὴν πόλιν addunt Steph. edd. sqq., E. om. τὴν.

§. 53. Post τρόπαιον, iubentibus Steph. et Moro, delevit τε Dind.

§. 51. ἔνθα] i. e. τὸ χωρίον, ἔνθα. Cf. IV, 2, 23: ἐπαναχωρήσαντες ἔνθα —. Anab. IV, 1, 2: ἀφίκοντο ἔνθα.

καὶ μέντοι] et profecto. Cf. Ages. II, 9: καὶ μέντοι οὐκ ἐψεύσθη. Disiunctum est μέντοι a καί §. 63, ut Cyrop. V, 4, 27: καὶ ὁ Ἀσσύριος μέντοι — συνήνεσε ταῦτα.

§. 52. ἀναβάντες] eundem scil. collem, quem relinquebant Thebani.

§. 54. εἶδε παρατεταγμένους] antea viderat instructos §. 50.

τὸν Χαβρίαν] V. §. 14. Diod. XV, 32. sq.

κατὰ τοὺς ὅρκους] V. V. 3, 26.

καθάπερ ἠκολούθουν] *wie sie einmal im Verfolgen*

περ ἠκολούθουν, καὶ ἀπέκτειναν αὐτῶν μάλα πολλούς·
ταχὺ γὰρ πρὸς ἄναντες εὐήλατον ἁλίσκονται πεζοὶ ὑφ'
ἱππέων. Ἐπεὶ δ' ἐγένετο ὁ Ἀγησίλαος ἐν ταῖς Θεσπιαῖς, 55
εὑρὼν στασιάζοντας τοὺς πολίτας, καὶ βουλομένων τῶν
φασκόντων λακωνίζειν ἀποκτεῖναι τοὺς ἐναντίους, ὧν
καὶ Μέλων ἦν, τοῦτο μὲν οὖν οὐκ ἐπέτρεψε· διαλλάξας
δὲ αὐτοὺς καὶ ὅρκους ὀμόσαι ἀλλήλοις ἀναγκάσας, οὕ-
τως ἀπῆλθε πάλιν διὰ τοῦ Κιθαιρῶνος τὴν ἐπὶ Μέγαρα.
Καὶ ἐκεῖθεν τοὺς μὲν συμμάχους ἀφῆκε, τὸ δὲ πολιτι-
κὸν στράτευμα οἴκαδε ἀπήγαγε.

Μάλα δὲ πιεζόμενοι οἱ Θηβαῖοι σπάνει σίτου διὰ τὸ 56
δυοῖν ἐτοῖν μὴ εἰληφέναι καρπὸν ἐκ τῆς γῆς, πέμπου-
σιν ἐπὶ δυοῖν τριήροιν ἄνδρας εἰς Παγασὰς ἐπὶ σῖτον
δέκα τάλαντα δόντες. Ἀλκέτας δὲ ὁ Λακεδαιμόνιος φυ-
λάττων Ὠρεόν, ἐν ᾧ ἐκεῖνοι τὸν σῖτον συνεωνοῦντο,
ἐπληρώσατο τρεῖς τριήρεις, ἐπιμεληθείς, ὅπως μὴ ἐξ-
αγγελθείη. Ἐπεὶ δὲ ἀπήγετο ὁ σῖτος, λαμβάνει ὁ Ἀλ-
κέτας τόν τε σῖτον καὶ τὰς τριήρεις, καὶ τοὺς ἄνδρας
ἐζώγρησεν οὐκ ἐλάττους ὄντας ἢ τριακοσίους. Τού-
τους δὲ εἷρξεν ἐν τῇ ἀκροπόλει, οὗπερ αὐτὸς ἐσκήνου.
Ἀκολουθοῦντος δέ τινος τῶν Ὠρειτῶν παιδός, ὡς ἔφα- 57
σαν, μάλα καλοῦ τε κἀγαθοῦ, καταβαίνων ἐκ τῆς ἀκρο-
πόλεως περὶ τοῦτον ἦν. Καταγνόντες δὲ οἱ αἰχμάλω-
τοι τὴν ἀμέλειαν καταλαμβάνουσι τὴν ἀκρόπολιν, καὶ ἡ

§. 54. *ὑφ' ἱππέων* B. D. V. Dind. pro *ὑπὸ ἱππέων*.

§. 55. *μὲν οὖν οὐκ* B. F. I. V. Dind. pro *μὲν οὐκ*.

§. 56. *τὸν σῖτον συν.* B., ceteri *συν. τ. σῖτον.* — F. *ἐζώγρησαν.* - F. I. V. om. *ὄντας*.

*waren*: ut sequebantur, ita etiam in locum acclivem hostes persecuti sunt.

*εὐήλατον*] quod quidem equitibus accessu est facile.

§. 55. *τοῦτο μὲν οὖν*] V. ad V, 3, 7.

*οὕτως*] V. ad III, 2, 9.

§. 56. *δυοῖν ἐτοῖν*] Cf. Anab. I, 9, 25: *πολλοῦ χρόνου*, longo ex tempore.

*Παγασάς*] Thessaliae urbem maritimam.

*Ὠρεόν*] Euboeae septentrionalis oppidum.

*ἐν ᾧ*] eo tempore, quo.

§. 57. *ἀκολουθοῦντος*] quum eum comitari soleret.

*περὶ τοῦτον ἦν*] totum animum ad eum transtulerat. Cf. Anab. III, 5, 7: *περὶ τὰ ἐπιτήδεια ἦσαν*. De re equ. VI, 3: *τὸν περὶ τὸν ἵππον*. Rarius hoc sensu *περί*, ut hic, ad homines refertur.

πόλις ἀφίσταται· ὥστ' εὐπόρως ἤδη οἱ Θηβαῖοι σῖτον παρεκομίζοντο.

58 Ὑποφαίνοντος δὲ πάλιν τοῦ ἦρος ὁ μὲν Ἀγησίλαος
Ol. 101, a. 376. κλινοπετὴς ἦν. Ὅτε γὰρ ἀπῆγε τὸ στράτευμα ἐκ τῶν Θηβῶν, ἐν τοῖς Μεγάροις ἀναβαίνοντος αὐτοῦ ἐκ τοῦ Ἀφροδισίου εἰς τὸ ἀρχεῖον ῥήγνυται ὁποία δὴ φλέψ, καὶ ἐῤῥύη τὸ ἐκ τοῦ σώματος αἷμα εἰς τὸ ὑγιὲς σκέλος. Γενομένης δὲ τῆς κνήμης ὑπερόγκου καὶ ὀδυνῶν ἀφορήτων, Συρακόσιός τις ἰατρὸς σχάζει τὴν παρὰ τῷ σφυρῷ φλέβα αὐτοῦ. Ὡς δὲ ἅπαξ ἤρξατο, ἔῤῥει αὐτῷ νύκτα τε καὶ ἡμέραν τὸ αἷμα, καὶ πάντα ποιοῦντες οὐκ ἐδύναντο σχεῖν τὸ ῥεῦμα πρὶν ἐλειποψύχησε· τότε μέντοι ἐπαύσατο. Καὶ οὕτως ἐκεῖνος μὲν ἀποκομισθεὶς εἰς Λακεδαίμονα ἠῤῥώστει τό τε λοιπὸν θέρος καὶ διὰ χειμῶνος.

59 Οἱ δὲ Λακεδαιμόνιοι, ἐπεὶ ἔαρ ὑπέφαινε, πάλιν φρουράν τε ἔφαινον καὶ Κλεόμβροτον ἡγεῖσθαι ἐκέλευον. Ἐπεὶ δ' ἔχων τὸ στράτευμα πρὸς τῷ Κιθαιρῶνι ἐγένετο, προῄεσάν αὐτῷ οἱ πελτασταὶ ὡς προκαταληψόμενοι τὰ ὑπὲρ τῆς ὁδοῦ. Θηβαίων δὲ καὶ Ἀθηναίων προκατέχοντές τινες τὸ ἄκρον τέως μὲν εἴων αὐτοὺς ἀναβαίνειν· ἐπεὶ δ' ἐπ' αὐτοῖς ἦσαν, ἐξαναστάντες ἐδίωκον καὶ ἀπέκτειναν περὶ τετταράκοντα. Τούτου δὲ γενομένου, ὁ Κλεόμβροτος ἀδύνατον νομίσας τὸ

§. 58. τὸ ante ἐκ τοῦ σώμ. addunt B. V. Schneid. Dind. — Συρακόσιος B. Dind. pro Συρακούσιος. — V. νύκτωρ pro νύκτα. — ῥεῦμα B. D. F. I. V. Steph. Leoncl. Dind. pro αἷμα. — Dind. ἐλιποψύχησε. — Post μέντοι cum codd. praeter A. om. γε Dind.

§. 59. Post ἔφαινον om. τοῖς Θηβαίοις B. C. D. E. F. I. Dind. — προῄεσαν A. B. C. D. I. V. marg. Leoncl. Steph. Mor. edd. sqq. pro προσῄεσαν. — C. om. αὐτῷ. — V. τὴν ἄκραν pro τὸ ἄκρον.

§. 58. Ὑποφαίνοντος] V. ad III, 4, 16.

ἀρχεῖον] curiam. Plut. Ages. XVII, 1: πρὸς τὸ ἀρχεῖον εἰς τὴν ἀκρόπολιν.

ὁποία δή] quaecunque erat, i. e. incertum quae —.

εἰς τὸ ὑγιὲς σκέλος] in pedem non claudum. Cf. III, 3, 3. Plut. Ages. l. c.: σπάσμα καὶ πόνος ἰσχυρὸς ἔλαβε τὸ ὑγιὲς σκέλος.

παρὰ τῷ σφυρῷ] Plut. Ages. l. c.: ὑπὸ τῷ σφυρῷ.

πάντα ποιοῦντες] quanquam omnia tentabant.

ἐλειποψύχησε] Veteres grammatici magis attice dici λιποψυχεῖν, λιποθυμεῖν etc. tradunt. In tanto librorum consensu nihil novandum censui.

ὑπερβῆναι εἰς τὴν τῶν Θηβαίων ἀπῆγέ τε καὶ διῆκε τὸ
στράτευμα.

Συλλεγέντων δὲ τῶν συμμάχων εἰς Λακεδαίμονα, 60
λόγοι ἐγίγνοντο ἀπὸ τῶν συμμάχων, ὅτι διὰ μαλακίαν
κατατριβήσοιντο ὑπὸ τοῦ πολέμου· ἐξεῖναι γὰρ σφίσι
ναῦς πληρώσαντας πολὺ πλείονας τῶν Ἀθηναίων ἑλεῖν
λιμῷ τὴν πόλιν αὐτῶν· ἐξεῖναι δὲ ἐν ταῖς αὐταῖς ταύταις
ναυσὶ καὶ εἰς Θήβας στράτευμα διαβιβάζειν, εἰ μὲν βού-
λοιντο, ἐπὶ Φωκέων, εἰ δὲ βούλοιντο, ἐπὶ Κρεύσιος.
Ταῦτα δὲ λογισάμενοι ἑξήκοντα μὲν τριήρεις ἐπλήρω- 61
σαν, Πόλλις δ' αὐτῶν ναύαρχος ἐγένετο. Καὶ μέντοι
οὐκ ἐψεύσθησαν οἱ ταῦτα γνόντες, ἀλλ' οἱ Ἀθηναῖοι
ἐπολιορκοῦντο· τὰ γὰρ σιταγωγὰ αὐτοῖς πλοῖα ἐπὶ μὲν
τὸν Γεραστὸν ἀφίκετο, ἐκεῖθεν δ' οὐκέτι ἤθελε παρα-
πλεῖν, τοῦ ναυτικοῦ ὄντος τοῦ Λακεδαιμονίων περί τε
Αἴγιναν καὶ Κέω καὶ Ἄνδρον. Γνόντες δὲ οἱ Ἀθηναῖοι
τὴν ἀνάγκην ἐνέβησαν αὐτοὶ εἰς τὰς ναῦς καὶ ναυμαχή-
σαντες πρὸς τὸν Πόλλιν Χαβρίου ἡγουμένου νικῶσι
τῇ ναυμαχίᾳ. Καὶ ὁ μὲν σῖτος τοῖς Ἀθηναίοις οὕτω

§. 60. *ταῖς αὐταῖς ταύταις ναυσὶ* B. D. Dind. pro *ταύταις ταῖς ναυσὶ*; V. *ταῖς αὐταῖς ναυσὶ.* — Libri et edd. vett. *Κράσιος* pro *Κρεύσιος.*

§. 61. V. *ταῦτα δή.* — *Γεραστὸν* B. *Γεραιστὸν* ceteri. — Edd. vett. *ἤθελε οὐκέτι παραπλεῖν.* — *ὄντος τοῦ* B. D. I. Dind. pro *ὄντος τῶν.* — F. *τῇ ναυμαχίᾳ νικῶσι.* — Libri praeter B. et edd. vett. om. *τοῖς* post *σῖτος.*

§. 59. *ὑπερβῆναι εἰς τήν*] V. ad §. 41.

§ 60. *λόγοι ἐγίγνοντο ἀπὸ τῶν*] Cum Wolfio Schneider. mavult *ὑπὸ τῶν.* Cf. autem Thuc. VIII, 93, 3: *ἀπὸ πολλῶν πρὸς πολλοὺς λόγων γιγνομένων.* Ibid. 14, 2: *λεγομένων λόγων ἀπό τε τοῦ Χαλκιδέως καὶ Ἀλκιβιάδου.* Haec et multa alia ad explicandam praepositionum *ὑπό* et *ἀπό* differentiam congessit Herbst. de Cobeti in Thuc. Emend. p. 51. sq. Cf. infra VI, 3, 10. VII, 1, 5. Vertas: a parte sociorum.

*διὰ μαλακίαν*] propter ignaviam, qua gereretur bellum.

*ἐπὶ Φωκέων*] ita, ut per Phocensium terram iter facerent.

§. 61. *ἐπολιορκοῦντο*] V. ad IV, 7, 1.

*τὸν Γεραστόν*] V. ad III, 4, 4.

*ἤθελε*] idem fere valet quod *ἐδύνατο.* Cf. Oecon. IV, 13: *ὅσα ἡ γῆ φύειν θέλει* et adn. ad Hier. I, 29. Koen. ad Gregor. p. 135.

*ἐνέβησαν αὐτοί*] ipsi conscenderunt naves, quum antea socii vel mercenarii hoc fecissent. Schneid. comparat Plat. Menex. p. 243 C: *βοηθήσαντες ἑξήκοντα ναυσὶν αὐτοὶ ἐμβάντες εἰς τὰς ναῦς κ. τ. λ.*

*τῇ ναυμαχίᾳ*] quam pugnam

62 παρεκομίσθη. Παρασκευαζομένων δὲ τῶν Λακεδαιμο-
νίων στράτευμα διαβιβάζειν ἐπὶ τοὺς Βοιωτούς, ἐδεή-
θησαν οἱ Θηβαῖοι τῶν Ἀθηναίων περὶ Πελοπόννησον
στράτευμα πέμψαι, νομίσαντες, ὅτι, εἰ τοῦτο γένοιτο,
οὐ δυνατὸν ἔσοιτο τοῖς Λακεδαιμονίοις ἅμα μὲν τὴν
ἑαυτῶν χώραν φυλάττειν, ἅμα δὲ τὰς περὶ ἐκεῖνα τὰ
χωρία συμμαχίδας πόλεις, ἅμα δὲ στράτευμα διαβιβά-
63 ζειν ἱκανὸν πρὸς ἑαυτούς. Καὶ οἱ Ἀθηναῖοι μέντοι ὀρ-
γιζόμενοι τοῖς Λακεδαιμονίοις διὰ τὸ Σφοδρία ἔργον
προθύμως ἐξέπεμψαν περὶ τὴν Πελοπόννησον ναῦς τε
ἑξήκοντα πληρώσαντες καὶ στρατηγὸν αὐτῶν Τιμόθεον
ἑλόμενοι. Ἅτε δὲ εἰς τὰς Θήβας οὐκ ἐμβεβληκότων τῶν
πολεμίων οὔτ' ἐν ᾧ Κλεόμβροτος ἦγε τὴν στρατιὰν
ἔτει οὔτ' ἐν ᾧ Τιμόθεος περιέπλευσε, θρασέως δὴ
ἐστρατεύοντο οἱ Θηβαῖοι ἐπὶ τὰς περιοικίδας πόλεις
64 καὶ πάλιν αὐτὰς ἀνελάμβανον. Ὁ μέντοι Τιμόθεος
περιπλεύσας Κέρκυραν μὲν εὐθὺς ὑφ' ἑαυτῷ ἐποιή-
σατο· οὐ μέντοι ἠνδραποδίσατο, οὐδὲ ἄνδρας ἐφυγά-
δευσεν, οὐδὲ νόμους μετέστησεν· ἐξ ὧν τὰς περὶ ἐκεῖνα
65 πόλεις πάσας εὐμενεστέρας ἔσχεν. Ἀντεπλήρωσαν δὲ
καὶ οἱ Λακεδαιμόνιοι ναυτικὸν καὶ Νικόλοχον ναύαρ-

§. 62. *τοὺς* ante *Βοιωτοὺς* addunt B. D. V. Steph. Leoncl. Schneid. Dind. — *ὅτι* ante *εἰ τοῦτο* addunt Bryl. Cast. margg. Steph. et Leoncl. Mor. edd. sqq.

§. 63. *τε* post *ναῦς* addunt B. D. I. V. Leoncl. Steph. Dind. — *ἀνελάμβανον* B. D. I. V. (qui *ἀντελ.*) marg. Leoncl. Dind. pro *ἐλάμβανον*.

§. 64. D. V. *πόλεις* post *πάσας* ponunt, E. om. — *πάσας* B. D. E. V., ceteri *ἁπάσας*.

inter Parum et Naxum factam accuratius enarrat Diod. XV, 34. sq. Plut. Phocion. VI.

§. 62. *διαβιβάζειν*] Cf. ad *διέβη* IV, 6, 4.

*ἐκεῖνα τὰ χωρία*] Peloponnesum.

§. 63. *Καὶ—μέντοι*] V. ad §. 51.

*τὸ Σφοδρία ἔργον*] V. §. 20.

*ἀνελάμβανον*] Ad hoc tempus pertinet pugna ad Tegyras facta, qua Thebani, Orchomeno expugnata, duplo maiores Lacedaemoniorum copias vicerunt, de qua Diod. XV, 37 et Plut. Pelop. XVI. sq. Schneider.

§. 64. *ὑφ' ἑαυτῷ ἐποιήσατο*] i. e. *ὥστ' ὑφ' ἑαυτῷ εἶναι*. V. ad V, 2, 17. Thuc. III, 62, 5: *Ἀθηναίων ὕστερον ἐπιόντων τήν τε ἄλλην Ἑλλάδα καὶ τὴν ἡμετέραν χώραν πειρωμένων ὑφ' αὑτοῖς ποιεῖσθαι.*

*περὶ ἐκεῖνα*] V. ad V, 1, 7. De Timothei rebus gestis cf. Corn. Nep. Timoth. II. Diod. XV, 36.

§. 65. *Νικόλοχον*] Eundem nominat Polyaen. III, 10, 12, quo strategema accurate enarrat, quo usus Timotheus vicit hostes. Schneider.

χον, μάλα θρασὺν ἄνδρα, ἐξέπεμψαν· ὃς ἐπειδὴ εἶδε τὰς μετὰ Τιμοθέου ναῦς, οὐκ ἐμέλλησε, καίπερ ἓξ νεῶν αὐτῷ ἀπουσῶν τῶν Ἀμβρακιωτίδων, ἀλλὰ πέντε καὶ πεντήκοντα ἔχων ναῦς ἑξήκοντα οὔσαις ταῖς μετὰ Τιμοθέου ἐναυμάχησε. Καὶ τότε μὲν ἡττήθη, καὶ τρόπαιον ὁ Τιμόθεος ἔστησεν ἐν Ἀλυζίᾳ. Ὁ δὲ ἀνειλκυ- 66
σμένων τῶν Τιμοθέου νεῶν καὶ ἐπισκευαζομένων, ἐπεὶ παρεγένοντο αὐτῷ αἱ Ἀμβρακιώτιδες ἓξ τριήρεις, ἐπὶ τὴν Ἀλυζίαν ἔπλευσεν, ἔνθα ἦν ὁ Τιμόθεος. Ὡς δ' οὐκ ἀντανῆγε, τρόπαιον αὖ κἀκεῖνος ἐστήσατο ἐν ταῖς ἐγγυτάτω νήσοις. Ὁ δὲ Τιμόθεος ἐπεὶ ἅς τε εἶχεν ἐπεσκεύασε καὶ ἐκ Κερκύρας ἄλλας προσεπληρώσατο, γενομένων αὐτῷ τῶν πασῶν πλέον ἑβδομήκοντα, πολὺ δὴ ὑπερεῖχε ναυτικῷ· χρήματα μέντοι μετεπέμπετο Ἀθήνηθεν· πολλῶν γὰρ ἐδεῖτο, ἅτε πολλὰς ναῦς ἔχων.

§. 65. ἐμέλλησε D. Schneid. Dind., ἐμέλησε B., ἠμέλλησε ceteri. — αὐτῷ ἀπουσῶν B. D. V. Dind. pro ἀπουσῶν αὐτῷ. — Ἀλυζίᾳ Leoncl. Schneid. edd. sqq. pro Αἰλυζίᾳ.

§. 66. A. edd. vett. ἀνειλκομένων et ἀντανῆγον. — I. edd. vett. om. τῶν ante πασῶν. — Ante ἑβδομήκοντα omisi ἢ cum B. C. E.

Ἀλυζίᾳ] Acarnaniae urbe maritima, contra Carnum insulam sita. Diod. XV, 36. autem: ἐνίκησε (Τιμόθεος) τοὺς Λακεδαιμονίους περὶ Λευκάδα.

§. 66. Ὁ δέ] Nicolochus.

πλέον ἑβδομήκοντα] V. ad IV, 5, 4: οὐκ ἔλαττον δέκα.

πολλῶν — ἐδεῖτο] Schneider. illustrat haec verba duobus locis Isocr. περὶ ἀντιδόσεως: c. 109: ἀλλ' εἰς μὲν τὸν περίπλουν τὸν περὶ Πελοπόννησον τρία καὶ δέκα μόνον τάλαντα δούσης αὐτῷ τῆς πόλεως καὶ τριήρεις πεντήκοντα Κέρκυραν εἷλε, πόλιν ὀγδοήκοντα τριήρεις κεκτημένην et c. 120: συνίσασι γὰρ αὐτῷ κατὰ μὲν ἀρχὰς τῶν πολέμων διὰ τὸ μηδὲν παρὰ τῆς πόλεως λαμβάνειν εἰς τὰς ἐσχάτας ἐνδείας καθιστάμενον κ. τ. λ.

# LIBER SEXTUS.

## CAPUT I.

### ARGUMENTUM.

Interim ad Phocenses bello petitos a Thebanis proficiscitur Cleombrotus. Eodem fere tempore Lacedaemonem venit Polydamas Pharsalius, civitatis suae princeps, petiturus auxilia adversus Iasonem, hominem potentissimum, qui vel precibus vel armis Pharsalum sibi adiungere vellet. Lacedaemonii quum ei non possent satisfacere, redux cum Iasone rem composuit ita, ut ille, quod cupierat, totius Thessaliae constitueretur imperator.

---

1 Οἱ μὲν οὖν Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι περὶ ταῦτα ἦσαν. Οἱ δὲ Θηβαῖοι ἐπεὶ κατεστρέψαντο τὰς ἐν τῇ Βοιωτίᾳ πόλεις, ἐστράτευον καὶ εἰς τὴν Φωκίδα. Ὡς δ' αὖ καὶ οἱ Φωκεῖς ἐπρέσβευον εἰς τὴν Λακεδαίμονα καὶ ἔλεγον, ὅτι, εἰ μὴ βοηθήσοιεν, οὐ δυνήσοιντο μὴ πείθεσθαι τοῖς Θηβαίοις, ἐκ τούτου οἱ Λακεδαιμόνιοι διαβιβάζουσι κατὰ θάλατταν εἰς Φωκέας Κλεόμβροτόν τε τὸν βασιλέα καὶ μετ' αὐτοῦ τέτταρας μόρας καὶ τῶν συμμάχων τὸ μέρος.

2 Σχεδὸν δὲ περὶ τοῦτον τὸν χρόνον καὶ ἐκ Θετταλίας ἀφικνεῖται πρὸς τὸ κοινὸν τῶν Λακεδαιμονίων Πολυ-

Cap. I. §. 1. ἔλεγον, ὅτι B. C. D. F. H. I. V. Dind. pro ἔλεγον, ὡς. — βοηθήσοιεν B. Dind. pro βοηθήσαιεν. — Wolf. Schneid. τι μέρος pro τὸ μέρος.

Cap. I. §. 1. ἐπεὶ κατεστρέψαντο] V. V, 4, 63. extr.

οὐ δυνήσοιντο μὴ πείθεσθαι] Post locutiones οὐ δύναμαι, οὐχ οἷός τ' εἰμί similesque simplex μή non rarius poni quam μὴ οὐ, docet Kuehner. gr. max. §. 718. adn. 4.

τὸ μέρος] De articulo v. ad IV, 6, 3: δύο μόρας — καὶ τῶν συμμάχων τὸ μέρος.

δάμας Φαρσάλιος. Οὗτος δὲ καὶ ἐν τῇ ἄλλῃ Θετταλίᾳ μάλα εὐδοκίμει καὶ ἐν αὐτῇ δὲ τῇ πόλει οὕτως ἐδόκει καλός τε κἀγαθὸς εἶναι, ὥστε καὶ στασιάσαντες οἱ Φαρσάλιοι παρακατέθεντο αὐτῷ τὴν ἀκρόπολιν καὶ τὰς προσόδους ἐπέτρεψαν λαμβάνοντι, ὅσα ἐγέγραπτο ἐν τοῖς νόμοις, εἴς τε τὰ ἱερὰ ἀναλίσκειν καὶ εἰς τὴν ἄλλην διοίκησιν. Κἀκεῖνος μέντοι ἀπὸ τούτων τῶν χρη- 3
μάτων τήν τε ἄκραν φυλάττων διέσωζεν αὐτοῖς καὶ τἄλλα διοικῶν ἀπελογίζετο κατ' ἐνιαυτόν. Καὶ ὁπότε μὲν ἐνδεὴς εἴη, παρ' ἑαυτοῦ προσετίθει, ὁπότε δὲ περιγένοιτο τῆς προσόδου, ἀπελάμβανεν. Ἦν δὲ καὶ ἄλλως φιλόξενός τε καὶ μεγαλοπρεπὴς τὸν Θετταλικὸν τρόπον. Οὗτος οὖν ἐπεὶ ἀφίκετο εἰς τὴν Λακεδαίμονα, εἶπε τοιάδε.

Ἐγώ, ὦ ἄνδρες Λακεδαιμόνιοι, πρόξενος ὑμῶν ὢν 4
καὶ εὐεργέτης ἐκ πάντων ὧν μεμνήμεθα προγόνων, ἀξιῶ, ἐάν τέ τι ἀπορῶ, πρὸς ὑμᾶς ἰέναι, ἐάν τέ τι χαλεπὸν ὑμῖν ἐν τῇ Θεσσαλίᾳ συνιστῆται, σημαίνειν. Ἀκούετε μὲν οὖν εὖ οἶδ' ὅτι καὶ ὑμεῖς Ἰάσονος ὄνομα· ὁ γὰρ

§. 2. *μάλα* ante *εὐδοκίμει* addunt B. D. H. I. V. Steph. Leoncl. Schneid. Dind. — Edd. vett. *αὐτῷ μὲν ἀκρόπ.* — *λαμβάνοντι* A. B. D. E. I. V. Dind. pro *λαμβάνοντα.*

§. 3. *τῆς προσόδου* addunt B. H. I. Steph. Leoncl. Schneid. Dind. — A. Ald. Iunt. *τάδε* pro *τοιάδε.*

§. 4. Post *Ἐγὼ* om. *μὲν* B. D. H. I. V. Dind. — V. Dind. *Θετταλίᾳ.* — *τάδε* B. C. D. H. I. V. Dind. pro *τοιάδε.*

§. 3. *ἐνδεὴς εἴη*] Polydamas subiectum esse vix potest propter opposita verba *παρ' ἑαυτοῦ προσετίθει.* Sensus enim est: quotiescunque non esset pecunia in aerario, de suo nonnihil adiiciebat. Quare necessario scribendum erit aut quod Dindorf. proponit *ἐνδεήσειε*, impersonaliter accipiendum, aut *ἐνδεεῖς εἶεν*, scil. Pharsalii.

*τῆς προσόδου*] De genitivo partitivo v. ad III, 1, 4.

*ἀπελάμβανε*] recipiebat quod ei debebatur. V. ad V, 2, 10.

*τὸν Θετταλικὸν τρόπον*] Nobilissimi de Thessalorum magnificentia et luxuria loci sunt Athen. XII, 33. XV, 83. Dominabantur autem in singulis Thessalorum urbibus principes opibus et auctoritate praevalentes ut Pharsali Polydamas, Theris Iason. Cf. II, 3, 4.

§. 4. *εὐεργέτης*] V. I, 1, 26. ad *εὐεργεσία.* Adde Vectig. III, 11.

*ἐκ πάντων — προγόνων*] Articuli, qui deest, vices sustinet enuntiatio relativa. V. Kuehn. ad Anab. I, 5, 16: *πάντες οὗτοι οὓς ὁρᾶτε βάρβαροι.*

*ἀξιῶ*] V. ad III, 5, 12.

*εὖ οἶδ' ὅτι*] De hac asseverandi formula mediae orationi inserta v. ad Oecon. XII, 3: *ὥσπερ ὅταν τέκτονος δεηθῆς, καταμαθὼν εὖ οἶδ' ὅτι ἣν που ἴδῃς*

ἀνὴρ καὶ δύναμιν ἔχει μεγάλην καὶ ὀνομαστός ἐστιν.
Οὗτος δὲ σπονδὰς ποιησάμενος συνεγένετό μοι καὶ
5 εἶπε τάδε. Ὅτι μέν, ὦ Πολυδάμα, καὶ ἄκουσαν τὴν
ὑμετέραν πόλιν [Φάρσαλον] δυναίμην ἂν παραστήσα-
σθαι ἔξεστί σοι ἐκ τῶνδε λογίζεσθαι. Ἐγὼ γάρ, ἔφη,
ἔχω μὲν Θεσσαλίας τὰς πλείστας καὶ μεγίστας πόλεις
συμμάχους· κατεστρεψάμην δ' αὐτὰς ὑμῶν σὺν αὐταῖς
τὰ ἐναντία ἐμοὶ στρατευομένων. Καὶ μὴν οἶσθά γε, ὅτι
ξένους ἔχω μισθοφόρους εἰς ἑξακισχιλίους, οἷς, ὡς ἐγὼ
οἶμαι, οὐδεμία πόλις δύναιτ' ἂν ῥᾳδίως μάχεσθαι.
Ἀριθμὸς μὲν γάρ, ἔφη, καὶ ἄλλοθεν οὐκ ἂν ἐλάττων
ἐξέλθοι· ἀλλὰ τὰ μὲν ἐκ τῶν πόλεων στρατεύματα τοὺς
μὲν προεληλυθότας ἤδη ταῖς ἡλικίαις ἔχει, τοὺς δ'
οὔπω ἀκμάζοντας· σωμασκοῦσί γε μὴν μάλα ὀλίγοι τι-
νὲς ἐν ἑκάστῃ πόλει· παρ' ἐμοὶ δὲ οὐδεὶς μισθοφορεῖ,
6 ὅστις μὴ ἱκανός ἐστιν ἐμοὶ ἴσα πονεῖν. Αὐτὸς δ' ἐστί,
λέγειν γὰρ χρὴ πρὸς ὑμᾶς τἀληθῆ, καὶ τὸ σῶμα μάλα
εὔρωστος καὶ ἄλλως φιλόπονος. Καὶ τοίνυν τῶν παρ'
αὐτῷ πεῖραν λαμβάνει καθ' ἑκάστην ἡμέραν· ἡγεῖται
γὰρ σὺν τοῖς ὅπλοις καὶ ἐν τοῖς γυμνασίοις καὶ ὅταν

§. 5. Schaef. Dind. om. *Φάρσαλον*. — Dind. *Θετταλίας*. — *ξένους ἔχω μισθ.* B. D. H. V. Dind., *ἔχω ξέν. μισθ.* F., *μισθ. ἔχω ξένους* ceteri, sed A. edd. vett. *ἔχων*. — *ἐμοὶ ἴσα πονεῖν* B. D. F. H. V. Dind. pro *ἴσα πονεῖν ἐμοί*.

§. 6. *χρὴ πρὸς ὑμᾶς* B. D. F. V. Dind. pro *πρὸς ὑμᾶς χρή*. — Steph. Dind. *παρ' αὐτῷ*. — V. Dind. *ὅταν ποι* pro *ὅταν πῃ*.

*τεκτονικόν, τοῦτον πειρᾶ χρῆσθαι.*

*σπονδάς*] inducias. Ex verbis, quae mox sequuntur *ὑμῶν σὺν αὐταῖς τὰ ἐναντία ἐμοὶ στρατευομένων* intelligitur, bellum fuisse inter utrumque.

§. 5. *παραστήσασθαι*] V. ad III, 2, 11.

*τὰ ἐναντία*] adverbii vel praepositionis loco videtur esse. Sine articulo III, 5, 11: *συνασπιδοῦντες ἐναντία τοῖς Λακεδαιμονίοις.*

*καὶ μήν*] porro. V. III, 5, 10. IV, 1, 9.

*καὶ ἄλλοθεν*] ex urbibus, ut statim sequentia docent. Sensus est: numero quidem, non robore ac fortitudine parem exercitum meis copiis opponere possunt urbes.

*ἐκ τῶν πόλεων*] Alibi (IV, 4, 19. V, 3, 25. 4, 41. 55) *πολιτικὸν στράτευμα* opponitur *τοῖς συμμάχοις*, hic mercenariis.

§. 6. *τῶν παρ' αὐτῷ*] V. ad IV, 3, 4: *τῶν περὶ αὐτόν.*

*ἡγεῖται γὰρ σὺν τοῖς ὅπλοις*] In gymnasiis non minus ducem fuisse Iasonem quam in expeditionibus, dicit Polydamas. Non igitur erat, cur haec verba post *στρατεύηται* collocanda Schneiderus putaret. Absolute positum *ἡγεῖσθαι* belli ducem esse significat III, 5, 6.

πῃ στρατεύηται. Καὶ οὓς μὲν ἂν μαλακοὺς τῶν ξένων αἰσθάνηται, ἐκβάλλει, οὓς δ' ἂν ὁρᾷ φιλοπόνως καὶ φιλοκινδύνως ἔχοντας πρὸς τοὺς πολέμους, τιμᾷ τοὺς μὲν διμοιρίαις, τοὺς δὲ τριμοιρίαις, τοὺς δὲ καὶ τετραμοιρίαις καὶ ἄλλοις δώροις καὶ νόσων γε θεραπείαις καὶ περὶ ταφὰς κόσμῳ· ὥςτε πάντες ἴσασιν οἱ παρ' ἐκείνῳ ξένοι, ὅτι ἡ πολεμικὴ αὐτοῖς ἀρετὴ ἐντιμότατόν τε βίον καὶ ἀφθονώτατον παρέχεται. Ἐπεδείκνυε δέ μοι εἰ- 7
δότι, ὅτι καὶ ὑπήκοοι ἤδη αὐτῷ εἶεν Μαρακοὶ καὶ Δόλοπες καὶ Ἀλκέτας ὁ ἐν τῇ Ἠπείρῳ ὕπαρχος· ὥςτε, ἔφη, τί ἂν ἐγὼ φοβούμενος οὐ ῥᾳδίως ἂν ὑμᾶς οἰοίμην καταστρέψεσθαι; Τάχα οὖν ὑπολάβοι ἄν τις ἐμοῦ ἄπειρος, Τί οὖν μέλλεις καὶ οὐκ ἤδη στρατεύεις ἐπὶ τοὺς Φαρσαλίους; Ὅτι νὴ Δία τῷ παντὶ κρεῖττόν μοι δοκεῖ εἶναι ἑκόντας ὑμᾶς μᾶλλον ἢ ἄκοντας προςαγαγέσθαι. Βιασθέντες μὲν γὰρ ὑμεῖς τ' ἂν βουλεύοισθε ὅ τι δύναισθε κακὸν ἐμοί, ἐγώ τ' ἂν ὑμᾶς ὡς ἀσθενεστάτους βουλοίμην εἶναι· εἰ δὲ πεισθέντες μετ' ἐμοῦ γένοισθε, δῆλον ὅτι αὔξοιμεν ἂν ὅ τι δυναίμεθα ἀλλήλους. Γι- 8
γνώσκω μὲν οὖν, ὦ Πολυδάμα, ὅτι ἡ σὴ πατρὶς εἰς σὲ ἀποβλέπει· ἐὰν δέ μοι φιλικῶς αὐτὴν ἔχειν παρασκευάσῃς, ὑπισχνοῦμαί σοι, ἔφη, ἐγὼ μέγιστόν σε τῶν ἐν τῇ Ἑλλάδι μετ' ἐμὲ καταστήσειν. Οἵων δὲ πραγμάτων τὰ δεύτερά σοι δίδωμι, ἄκουε, καὶ μηδὲν πίστευέ μοι,

§. 7. A. D. edd. vett. Schneid. καταστρέψασθαι. — A. edd. vett. om. εἶναι post δοκεῖ. — F. om. μὲν ante γάρ. — Edd. vett. ὑμεῖς pro ὑμεῖς τ'. — βουλεύοισθε D. V. marg. Leoncl. Schneid. edd. sqq. pro βουλεύησθε; B. βουλεύεσθαι. — δύναισθε Cast. Schneid. edd. sqq. pro δύνασθε.

§. 8. Post πραγμάτων om. ἐγὼ B. D. E. F. H. I. V. Dind. — ἄκουε B. C. D. E. H. I. marg. Leoncl. Dind. pro ἄκουσον.

πῃ] quacunque via, h. e. quamcunque in regionem.

§. 7. *Μαρακοὶ καὶ Δόλοπες*] Aetoliae populi.

*Ἀλκέτας*] Molossorum rex, de quo VI, 2, 10.

*τί ἂν — οἰοίμην καταστρέψεσθαι*] Prius ἂν referas ad φοιβούμενος — οἰοίμην, posterius ad ῥᾳδίως — καταστρέψεσθαι. De ἂν futuri infinitivo adiuncto v. ad III, 2, 12.

*τῷ παντί*] V. ad III, 5, 14.

*μᾶλλον*] potius, pertinet non ad κρεῖττον, sed ad ἑκόντας. Errant qui vim comparativi augeri narrant per μᾶλλον. V. ann. ad Comment. III, 13, 5: χαριέστερον δὲ καὶ προεξορμᾶν ἡμέρᾳ μιᾷ μᾶλλον ἢ ὑστερίζειν. Eadem ratione potius usurpatur post comparativos vel verba malle, praestare, similia.

ὅ τι ἂν μὴ λογιζομένῳ σοι ἀληθὲς φαίνηται. Οὐκοῦν
τοῦτο μὲν εὔδηλον ἡμῖν, ὅτι Φαρσάλου προςγενομένης
καὶ τῶν ἐξ ὑμῶν ἠρτημένων πόλεων εὐπετῶς ἂν ἐγὼ
ταγὸς Θετταλῶν ἁπάντων κατασταίην· ὥς γε μήν, ὅταν
ταγεύηται Θετταλία, εἰς ἑξακιςχιλίους μὲν οἱ ἱππεύον-
τες γίγνονται, ὁπλῖται δὲ πλείους ἢ μύριοι καθίσταν-
9 ται. Ὧν ἐγὼ καὶ τὰ σώματα καὶ τὴν μεγαλοψυχίαν
ὁρῶν οἶμαι ἄν, αὐτῶν εἰ καλῶς τις ἐπιμελοῖτο, οὐκ εἶ-
ναι ἔθνος, ὁποίῳ ἂν ἀξιώσαιεν ὑπήκοοι εἶναι Θετταλοί.
Πλατυτάτης γε μὴν γῆς οὔσης Θετταλίας, πάντα τὰ
κύκλῳ ἔθνη ὑπήκοα μέν ἐστιν, ὅταν ταγὸς ἐνθάδε κα-
ταστῇ· σχεδὸν δὲ πάντες οἱ ταύτῃ ἀκοντισταί εἰσιν·
ὥςτε καὶ πελταστικῷ εἰκὸς ὑπερέχειν τὴν ἡμετέραν δύ-
10 ναμιν. Καὶ μὴν Βοιωτοί γε καὶ οἱ ἄλλοι πάντες, ὅσοι
Λακεδαιμονίοις πολεμοῦντες, ὑπάρχουσί μοι σύμμα-
χοι· καὶ ἀκολουθεῖν τοίνυν ἀξιοῦσιν ἐμοί, ἂν μόνον
ἀπὸ Λακεδαιμονίων ἐλευθερῶ αὐτούς. Καὶ Ἀθηναῖοι
δὲ εὖ οἶδ' ὅτι πάντα ποιήσαιεν ἄν, ὥςτε σύμμαχοι ἡμῖν
γενέσθαι· ἀλλ' ἐγὼ οὐκ ἄν μοι δοκῶ πρὸς αὐτοὺς φι-
λίαν ποιήσασθαι. Νομίζω γὰρ ἔτι ῥᾷον τὴν κατὰ θά-
11 λασσαν ἢ τὴν κατὰ γῆν ἀρχὴν παραλαβεῖν ἄν. Εἰ δὲ εἰ-

§. 9. Steph. Leoncl. οὔσης γῆς Θεττ., Wells. οὔσης τῆς Θεττ.; A. edd. vett. Mor. Weisk. Schneid. om. γῆς. — ἡμετέραν C. V. D. pr. Mor. edd. sqq., ceteri ὑμετέραν.

§. 10. πολεμοῦντες B. C. D. E. F. H. I. V. marg. Leoncl. Dind. pro πολεμοῦσι. — H. φιλίαν ποιήσεσθαι. — θάλασσαν B. D. pro θάλατταν.

§. 8. καὶ — πόλεων] scil. προςγενομένων.

ταγός] Codicis C. margo habet: ὁ ἄρχων, ἡγεμών.

ὥς γε μήν] Haec respondent antecedentibus τοῦτο μέν—, ὅτι.

§. 9. πλατυτάτης — Θετταλίας] Quia porro Thessalia magnae est amplitudinis, si omnium unus exstiterit imperator, finitimae quoque nationes ei omnes parebunt.

οἱ ταύτῃ] referendum ad τὰ κύκλῳ ἔθνη.

§. 10. καὶ μὴν — γε] V. ad III, 5, 10. IV, 1, 9.

ὅσοι — πολεμοῦντες] Sic post ὅσος intelligitur ἐστί vel εἰσί VI, 2, 27. et 30: πάντα ὅσα εἰς ναυμαχίαν. De re equ. XI, 12: πάντες ὅσοι συμπαρεπόμενοι. Dexipp. p. 12, 7. ed. Niebuhr: παρέστησαν δὲ καὶ ἐν τέλει ὅσοι ἀρχάς τινας ἐπιτετραμμένοι, σύμπαντες ἐφ' ἵππων. Quos locos affert Dindorf. Adde Poppo. ad Thuc. VIII, 70: ὅσα πρὸς τοὺς θεούς.

καὶ Ἀθηναῖοι δέ] V. ad V, 1, 16.

ὥςτε — γενέσθαι] V. ad V, 3, 14.

§. 11. εἰ δὲ εἰκότα λογίζο-

κότα λογίζομαι, σκόπει, ἔφη, καὶ ταῦτα. Ἔχοντες μέν γε Μακεδονίαν, ἔνθεν καὶ Ἀθηναῖοι τὰ ξύλα ἄγονται, πολὺ δήπου πλέονας ἐκείνων ἱκανοὶ ἐσόμεθα ναῦς ποιήσασθαι. Ἀνδρῶν γε μὴν ταύτας πληροῦν πότερον Ἀθηναίους ἢ ἡμᾶς εἰκὸς μᾶλλον δύνασθαι, τοσούτους καὶ τοιούτους ἔχοντας πενέστας; Τούς γε μὴν ναύτας τρέφειν πότερον ἡμᾶς ἱκανωτέρους εἰκὸς εἶναι τοὺς δι' ἀφθονίαν καὶ ἄλλοσε σῖτον ἐκπέμποντας ἢ Ἀθηναίους τοὺς μηδ' αὑτοῖς ἱκανὸν ἔχοντας, ἂν μὴ πρίωνται; Καὶ 12
χρήμασί γε εἰκὸς δήπου ἡμᾶς ἀφθονωτέροις χρῆσθαι μὴ εἰς νησύδρια ἀποβλέποντας, ἀλλ' ἠπειρωτικὰ ἔθνη καρπουμένους. Πάντα γὰρ δήπου τὰ κύκλῳ φόρον φέρει, ὅταν ταγεύηται τὰ κατὰ Θετταλίαν. Οἶσθα δὲ δήπου, ὅτι καὶ βασιλεὺς ὁ Περσῶν οὐ νήσους, ἀλλ' ἤπειρον καρπούμενος πλουσιώτατος ἀνθρώπων ἐστίν· ὃν ἐγὼ ὑπήκοον ποιήσασθαι ἔτι εὐκατεργαστότερον ἡγοῦμαι εἶναι ἢ τὴν Ἑλλάδα. Οἶδα γὰρ πάντας τοὺς ἐκεῖ ἀνθρώπους πλὴν ἑνὸς μᾶλλον δουλείαν ἢ ἀλκὴν μεμελετηκότας, οἶδα δέ, ὑφ' οἵας δυνάμεως καὶ τῆς μετὰ Κύρου ἀναβάσης καὶ τῆς μετ' Ἀγησιλάου εἰς πᾶν ἀφίκετο βασιλεύς. Ἐπεὶ δὲ ταῦτ' εἰπόντος αὐτοῦ ἐγὼ 13
ἀπεκρινάμην, ὅτι τὰ μὲν ἄλλα ἀξιόσκεπτα λέγει, τὸ δὲ Λακεδαιμονίοις ὄντας φίλους ἀποστῆναι πρὸς τοὺς ἐναντίους, μηδὲν ἔχοντας ἐγκαλεῖν, τοῦτ' ἔφην ἄπορόν μοι δοκεῖν εἶναι· ὁ δ' ἐπαινέσας με καὶ εἰπών, ὅτι μᾶλ-

§. 11. καὶ τοιούτους om. A. edd. vett. Wells. Mor. Weisk. — εἰκὸς εἶναι Schaef. Schneid. Dind. pro εἰκός ἐστι.
§. 12. εἰκὸς δήπου B. D. F. V. Dind. pro δήπου εικος. — C. om. εἶναι post ἡγοῦμαι.
§. 13. δοκεῖν εἶναι e coni. dedi pro δοκεῖ εἶναι. — ἐκτέον μου B.

μαι, σκόπει — ταῦτα] V. ad II, 3, 27. Adde V, 4, 1. Cobetus scribit ὅτι δὲ εἰκότα.
πενέστας] V. ad II, 3, 36.
§. 12. εἰς νησύδρια ἀποβλέποντας] Deminutivum νησύδρια cum contemptu quodam dicitur. Cf. ad Cyrop. I, 4, 13. Maximam autem partem sumptuum publicorum ex insularum reditibus desumptum fuisse ab Atheniensibus exponit Boeckh. in Oecon. reip. Ath. I, p. 543. 552.

ὃν ἐγὼ ὑπήκοον] Isocr. contr. Philipp. 119: ὁ Ἰάσων ἐποιεῖτο τοὺς λόγους, ὡς εἰς τὴν ἤπειρον διαβησόμενος καὶ βασιλεῖ πολεμήσων. Morus.
εἰς πᾶν ἀφίκετο] V. ad V, 4, 29.
§. 13. μηδὲν — ἐγκαλεῖν] De huius verbi constructione v. ad Ages. IV, 1: qui conquerendi causam non haberent.
δοκεῖν εἶναι· ὁ δ' ἐπαινέσας] Post ἐπεὶ — ἀπεκρινά-

λον ἐκτέον μου εἴη, ὅτι τοιοῦτος εἴην, ἀφῆκέ μοι ἐλθόντι πρὸς ὑμᾶς λέγειν τἀληθῆ, ὅτι διανοοῖτο στρατεύειν ἐπὶ Φαρσαλίους, εἰ μὴ πεισοίμεθα. Αἰτεῖν οὖν ἐκέλευε βοήθειαν παρ' ὑμῶν. Καὶ ἐὰν μέν σοι, ἔφη, διδῶσιν, ὥςτε σε πείθειν ἱκανὴν πέμπειν συμμαχίαν, ὡς ἐμοὶ πολεμεῖν, ἄγ', ἔφη, καὶ τούτῳ χρώμεθα ὅ τι ἂν ἀποβαίνῃ ἐκ τοῦ πολέμου· ἂν δέ σοι μὴ δοκῶσιν ἱκανῶς βοηθεῖν, οὐκ ἤδη ἀνέγκλητος ἂν δικαίως εἴης ἐν τῇ πατρίδι, ἥ σε τιμᾷ, καί οὐ πράττοις τὰ κράτιστα.
14 Περὶ τούτων δὴ ἐγὼ ἥκω πρὸς ὑμᾶς καὶ λέγω πάντα, ὅσα ἐκεῖ αὐτός τε ὁρῶ καὶ ἐκείνου ἀκήκοα. Καὶ νομίζω οὕτως ἔχειν, ὦ ἄνδρες Λακεδαιμόνιοι, ὡς, εἰ μὲν πέμψετε ἐκεῖσε δύναμιν, μὴ ἐμοὶ μόνον, ἀλλὰ καὶ τοῖς ἄλλοις Θετταλοῖς ἱκανὴν δοκοῦσαν εἶναι πρὸς Ἰάσονα πο-

marg. Steph. Leoncl. Schneid. Dind. pro ἑατέον μοι. — ἐλθόντι B. C. D. E. F. H. I. V. marg. Leoncl. Dind. pro ἐλθόντα. — σε post ὥςτε inserunt B. C. D. E. I. Steph. Leoncl. Schneid. Dind. — ἀποβαίνῃ B. F. H. V. Dind. pro ἀποβαίνοι. — ἂν δὲ B. C. D. E. F. H. I. Dind. pro ἐὰν δὲ. — καὶ οὐ dedi pro καὶ σὺ, Dind. καὶ σοὶ. — πράττοις B. D. F. Dind. pro πράττεις.

§. 14. A. C. edd. vett. νομίζων. — A. C. edd. vett. Mor. Weisk. Schneid. πέμψοιτε pro πέμψετε. — δοκοῦσαν Steph. edd. sqq. pro δοκεῖν.

μην, ὅτι τὰ μὲν pergi non potest τοῦτ' ἔφην, ἄπορόν μοι δοκεῖ εἶναι ita, ut ἔφην orationi rectae interpositum ab eodem illo ἐπεί pendeat. Hanc ob causam scripsi τοῦτ' ἔφην ἄπορόν μοι δοκεῖν εἶναι. Per anacoluthiam sequitur ὁ δ' ἐπαινέσας, quasi antecedentia verba τοῦτ' ἔφην — εἶναι apodosin effecerint. Eandem structuram vidimus V, 1, 28.

ἐκτέον μου] Cf. Anab. VII, 6, 41: ἢν οὖν σωφρονῶμεν, ἑξόμεθα αὐτοῦ, h. e. retinebimus eum, nequaquam discedemus ab eo. Aristoph. Plut. 101: πολλῷ μᾶλλον ἑξόμεσθά σου.

ἀφῆκε] Cobet. ἐφῆκε. Sed cf. Cyrop. I, 2, 2: πόλεις ἀφεῖσαι παιδεύειν ὅπως τις ἐθέλει τοὺς ἑαυτῶν παῖδας et sequente accus. c. infinitivo I, 4, 14: ἀφὲς τοὺς κατ' ἐμὲ πάντας διώκειν, cum dativo personae et accusativo rei Herod. IX, 106: Ἰωνίην ἀπεῖναι τοῖσι βαρβάροισι. Inde non dubium est quin dicere etiam liceat ἀφιέναι τινὶ ποιεῖν τι. Cf. etiam ad I, 7, 13.

διδῶσιν] Lacedaemonii subiectum esse non possunt. Minus tamen Dobraei placet emendatio θεοὶ δῶσιν quam Cobeti καὶ ἐὰν μὲν θεοί, ἔφη, διδῶσιν.

συμμαχίαν] V. ad IV, 8, 24. V, 2, 9.

ὡς — πολεμεῖν] V. ad III, 4, 27.

χρώμεθα] boni consulamus.

ἐν τῇ πατρίδι] Cobet. delet praepositionem. Sed ἀνέγκλητος est honestus, cui opponitur ignominia notatus. V. De rep. Lac. IX, 5.

καὶ — πράττοις] Repetas ἄν.

λεμεῖν, ἀποστήσονται αὐτοῦ αἱ πόλεις· πᾶσαι γὰρ φο-
βοῦνται, ὅποι ποτὲ προβήσεται ἡ τοῦ ἀνδρὸς δύναμις·
εἰ δὲ νεοδαμώδεις καὶ ἄνδρα ἰδιώτην οἴεσθε ἀρκέσειν,
συμβουλεύω ἡσυχίαν ἔχειν. Εὖ γὰρ ἴστε, πρός τε με- 15
γάλην ἔσται ῥώμην ὁ πόλεμος καὶ πρὸς ἄνδρα, ὃς φρό-
νιμος μὲν οὕτω στρατηγός ἐστιν, ὡς ὅσα τε λανθάνειν
καὶ ὅσα φθάνειν καὶ ὅσα βιάζεσθαι ἐπιχειρεῖ οὐ μάλα
ἀφαμαρτάνει. Ἱκανὸς γάρ ἐστι καὶ νυκτὶ ἅπερ ἡμέρᾳ
χρῆσθαι, καὶ ὅταν σπεύδῃ, ἄριστον καὶ δεῖπνον ποιη-
σάμενος ἅμα πονεῖσθαι. Οἴεται δὲ καὶ ἀναπαύεσθαι
χρῆναι, ὅταν ἀφίκηται ἔνθ᾽ ἂν ὡρμημένος ᾖ καὶ δια-
πράξηται ἃ δεῖ· καὶ τοὺς μεθ᾽ αὐτοῦ δὲ ταὐτὰ εἴθικεν.
Ἐπίσταται δὲ καί, ὅταν ἐπιπονήσαντες ἀγαθόν τι πρά-
ξωσιν οἱ στρατιῶται, ἐκπλῆσαι τὰς γνώμας αὐτῶν·
ὥςτε καὶ τοῦτο μεμαθήκασι πάντες οἱ μετ᾽ αὐτοῦ, ὅτι
ἐκ τῶν πόνων καὶ τὰ μαλακὰ γίγνεται. Καὶ μὴν ἐγκρα- 16
τέστατός γ᾽ ἐστὶν ὧν ἐγὼ οἶδα τῶν περὶ τὸ σῶμα ἡδο-
νῶν· ὥςτε οὐδὲ διὰ ταῦτα ἀσχολίαν ἔχει τὸ μὴ πράτ-

§. 15. Post εὖ γὰρ ἴστε omisi ὅτι cum B. — ἀφαμαρτάνει B. C. D. E. F. H. V. marg. Leoncl. Dind. pro ἀφαμαρτάνειν. — νυκτὶ Steph. edd. sqq. pro νυκτὸς. — Dind. ὅσαπερ pro ἅπερ. — ὡρμημένος B. D. E. marg. Leoncl. Schneid. Dind. pro ὡρμώμενος. — μεθ᾽ αὐτοῦ B. Dind. pro μετ᾽ αὐτοῦ. — Dind. ταῦτα εἴθικεν pro ταὐτὰ εἴθικεν.

§. 16. τὸ μὴ πράττειν Dind., τὸ μὴ εἰς τὸ πράττειν B. C. D. E.

§. 14. νεοδαμώδεις] V. ad III, 1, 4.

ἰδιώτην] non regem.

§. 15. εὖ — ἴστε] V. ad V, 1, 14.

ὡς — ἀφαμαρτάνει] V. ad IV, 1, 33.

λανθάνειν — φθάνειν — βιάζεσθαι] Cyrop. III, 1, 19: ἃ δὲ ᾠήθη χρῆναι λαθεῖν ἢ φθάσαι ἢ ἀποβιάζεσθαι, οὐδὲν τούτων ἱκανὸς γενόμενος διαπράξασθαι.

νυκτὶ ἅπερ ἡμέρᾳ] nocte ad easdem res atque die. Cf. ad Ages. VI, 6: νυκτὶ μὲν ὅσαπερ ἡμέρᾳ ἐχρῆτο, ἡμέρᾳ δὲ ὅσαπερ νυκτί. Cyrop. I, 5, 12: νυκτὶ μὲν δήπου ὅσαπερ οἱ ἄλλοι ἡμέρᾳ δύναισθ᾽ ἂν χρῆσθαι. De rep. Lac. V, 7: καὶ τῇ ὄρφνῃ ὅσα ἡμέρᾳ χρηστέον. Unde laconicam fuisse locutionem coniicit Heiland. de dial. Xen. p. 2. De accusativo v. ad II, 1, 2.

ἄριστον καὶ δεῖπνον — ἅμα] prandio coenaque simul sumptis.

ἐκπλῆσαι] Anab. I, 7, 7: ὁ δὲ ἐμπίμπλας ἁπάντων τὴν γνώμην ἀπέπεμπε. Sed utrumque verbum compositum nullo ad sensum discrimine dici docet Lobeck. ad Phryn. p. 96. Sic Thuc. III, 82. extr. τὴν αὐτίκα φιλονεικίαν ἐκπιμπλάναι. Dio Cass. XLI, 27: τὰς ἐπιθυμίας ἐκπιμπλάναι.

§. 16. τὸ μὴ πράττειν] De alia constructione post σχολή et ἀσχολία magis solita v. ad Ages. I, 7. Cyrop. VIII, 7, 12. Supra

τειν ἀεὶ τὸ δεόμενον. Ὑμεῖς οὖν σκεψάμενοι εἴπατε πρὸς ἐμέ, ὥςπερ ὑμῖν προςήκει, ὁποῖα δυνήσεσθέ τε καὶ μέλλετε ποιήσειν.

17 Ὁ μὲν ταῦτα εἶπεν. Οἱ δὲ Λακεδαιμόνιοι τότε μὲν ἀνεβάλλοντο τὴν ἀπόκρισιν· τῇ δ' ὑστεραίᾳ καὶ τῇ τρίτῃ λογισάμενοι τάς τ' ἔξω μόρας ὅσαι αὐτοῖς εἶεν καὶ τὰς περὶ Λακεδαίμονα πρὸς τὰς [ἔξω] τῶν Ἀθηναίων τριήρεις καὶ τὸν πρὸς τοὺς ὁμόρους πόλεμον, ἀπεκρίναντο, ὅτι ἐν τῷ παρόντι οὐκ ἂν δύναιντο ἱκανὴν αὐτῷ ἐκπέμψαι ἐπικουρίαν, ἀλλ' ἀπιόντα συντίθεσθαι αὐτὸν ἐκέλευον, ὅπῃ δύναιτο ἄριστα τά τε ἑαυτοῦ καὶ
18 τὰ τῆς πόλεως. Κἀκεῖνος μέντοι ἐπαινέσας τὴν ἁπλότητα τῆς πόλεως ἀπῆλθε. Καὶ τὴν μὲν ἀκρόπολιν τῶν Φαρσαλίων ἐδέετο τοῦ Ἰάσονος μὴ ἀναγκάσαι αὐτὸν παραδοῦναι, ὅπως τοῖς παρακαταθεμένοις διασώζῃ. τοὺς δὲ αὐτοῦ παῖδας ἔδωκεν ὁμήρους, ὑποσχόμενος αὐτῷ τήν τε πόλιν πείσας ἑκοῦσαν σύμμαχον ποιήσειν

V., τὸ μὴ εἰς πράττειν F., εἰς τὸ μὴ πράττειν ceteri. — B. D. H. V. Dind. δεόμενον pro δέον. — H. ὑμεῖς μὲν οὖν.

§. 17. V. Dind. ἀνεβάλοντο. — B. καὶ τρίτῃ.

§. 18. Weisk. Schneid. Dind. ἐδεῖτο pro ἐδέετο. — αὐτοῦ D. m.

ad IV, 8, 5. Intrusum esse εἰς in verborum contextum verborum in melioribus libris collocatio aperte prodit. De particula μή v. ad III, 5, 8. Inest enim in ἀσχολία notio negativa.

ἀεὶ τὸ δεόμενον] Repetas πράττειν ad δεόμενον. Cf. Oecon. XII, 11: τῶν πράττειν δεομένων. Cyrop. II, 3, 3: τῶν πράττεσθαι δεομένων. Alioquin dicendum fuisset τὸ δέον, ut VI, 4, 21: διαπράττεται τὰ δέοντα. Cyrop. II, 4, 4: τὸ δέον ποιεῖν. V, 2, 17: λέγειν τὸ δέον. R. Schneider. Quaest. Xen. 1859. p. 20, quod δεόμενον non nisi id, quod certo temporis momento opus sit, significet, h. l. δέον postulans non vidit, ἀεὶ simul ad δεόμενον pertinere, de quo usu v. ad II, 1, 4.

§. 17. ἀνεβάλλοντο] Ne putes propter antecedens τότε necessarium esse aoristum, cf. Cyrop. I, 5, 5. extr.: καλλιερησάμενος δὲ τότε προςηρεῖτο τοὺς διακοσίους. V. supra ad καὶ εὐθὺς — κατηκόντιζον IV, 5, 15.

πρὸς τὰς [ἔξω] τῶν Ἀθηναίων τριήρεις] De quibus V, 4, 63, unde Pluygers. ἑξήκοντα proponit pro ἔξω, quod ex antecedentibus hic per errorem scribae repetitum esse pro certo habendum est.

§. 18. ἐδέετο] De forma soluta v. Kuehner. ad Comment. I, 6, 10. VII, 4, 8. Heiland. de dial. Xen. p. 19, qui recte ex auctoritate librorum litem esse componendam iudicant. Cf. ad ἔπλεεν VI, 2, 27.

τοῖς παρακαταθεμένοις] V. §. 2.

πείσας ἑκοῦσαν] Comparant Anab. V, 1, 14: τὰς δὲ πόλεις ἑκούσας ἔπεισεν ὁδοποιεῖν. Adducere aliquem ad aliquid quo-

καὶ ταγὸν συγκαταστήσειν αὐτόν. Ὡς δὲ τὰ πιστὰ ἔδοσαν
ἀλλήλοις, εὐθὺς μὲν οἱ Φαρσάλιοι εἰρήνην ἦγον, ταχὺ δὲ
ὁ Ἰάσων ὁμολογουμένως ταγὸς τῶν Θετταλῶν καθειστή-
κει. Ἐπεί γε μὴν ἐτάγευσε, διέταξεν ἱππικόν τε ὅσον ἑκά- 19
στη πόλις δυνατὴ ἦν παρέχειν καὶ ὁπλιτικόν. Καὶ ἐγέ-
νοντο αὐτῷ ἱππεῖς μὲν σὺν τοῖς συμμάχοις πλείους ἢ
ὀκτακιςχίλιοι, ὁπλῖται δὲ ἐλογίσθησαν οὐκ ἐλάττους
διςμυρίων, πελταστικόν γε μὴν ἱκανὸν πρὸς πάντας ἀν-
θρώπους ἀντιταχθῆναι· ἔργον γὰρ ἐκείνων γε καὶ τὰς
πόλεις ἀριθμῆσαι. Προεῖπε δὲ καὶ τοῖς περιοίκοις πᾶσι
καὶ τὸν φόρον ὥςπερ ἐπὶ Σκόπα τεταγμένος ἦν φέρειν.
Καὶ ταῦτα μὲν οὕτως ἐπεραίνετο· ἐγὼ δὲ πάλιν ἐπά-
νειμι, ὅθεν εἰς τὰς περὶ Ἰάσονος πράξεις ἐξέβην.

sec. Dind., B. αὐτοῦ, ceteri ἑαυτοῦ. — C. ὁμολογουμένων. — C. Dind. Θετταλῶν.

§. 19. A. C. E. addunt καὶ post ὁπλῖται δέ. — καὶ post πᾶσι addunt B. D. F. I. Dind. — Marg. Leoncl. ὅςπερ pro ὥςπερ.

libet modo, vel vi etiam πείθειν est Comment. II, 1, 13: ἕως ἂν πείσωσιν ἑλέσθαι δουλείαν ἀντὶ τοῦ πολεμεῖν τοῖς κρείττοσιν.

εὐθὺς — ἦγον] V. ad IV, 5, 15.

§. 19. ἐπεὶ — ἐτάγευσε] quum ταγός factus esset. V. ad Comment. I, 1, 18: βουλεύσας, senator factus, II, 2, 65: ἄρξας, archon factus.

παρέχειν] De παρέχειν et παρέχεσθαι v. ad III, 4, 3 et ad Oecon. IV, 7. XXI, 4. Ages. I, 24.

ἔργον] difficile est. Cyrop. I, 1, 5: τοσαῦτα φῦλα, ὅσα καὶ διελθεῖν ἔργον ἐστίν. Infra VII, 1, 31.

ἐκείνων — τὰς πόλεις] urbes, a quibus illi missi erant.

ἐπὶ Σκόπα] tempore Scopae, cuius gens Cranusae et Pheris regnabat priore quinti saeculi dimidio.

τὰς περὶ Ἰάσονος πράξεις] Cf. Thuc. VI, 88: ἐφοβεῖτο γὰρ αὐτοὺς διὰ τὴν περὶ τῶν Μαντινικῶν πρᾶξιν, II, 6: τοῖς δ' Ἀθηναίοις ἠγγέλθη εὐθὺς τὰ περὶ τῶν Πλαταιῶν γεγενημένα. Polyb. I, 54, 5: συνιδὼν δὲ καὶ τὸ περὶ τούτον γεγονός. Aiunt in his περί τινος poni pro περί τι per eandem attractionem, de qua dixi ad III, 1, 18. 22. V. Heindorf. ad Plat. Phaedon. p. 58 A. Krueger. et Kuehner. ad Xen. Anab. II, 5, 37. Sed quid iudicandum erit de iis locis, ubi deest verbum, quo efficiatur talis attractio, velut Polyb. IV, 56: καὶ τὰ μὲν περὶ Σινώπης ἐν τούτοις ἦν, Plat. Phaedr. p. 360 E: πῶς ἔχει τὰ περὶ τῆς ἀρετῆς? Posteriore loco certe non dixeris verbi ἔχειν naturam esse eam, ut τὰ περὶ τῆς ἀρετῆς dicatur pro τὰ περὶ τὴν ἀρετήν. Neque ὅπως μάθοι τὰ περὶ Προξένου Anab. l. c. Kuehner. recte interpretatur fata Proxeni: sunt potius quae de Proxeno resciscere referebat, quum fata Proxeni per τὰ περὶ τὸν Πρόξενον exprimenda fuissent. Dicendum igitur est περί τινος saepius iungi cum articulo neutrius generis vel cum substantivo ita, ut res ipsa minus exprimatur quam quid de ea narretur, cogitetur, existimetur, sive adest talis notionis verbum, sive non adest. Cf. I, 6, 28. VI, 2, 31. VII, 3, 4. 4, 1. 18.

ἐξέβην] digressus sum, ut VII, 4, 1.

# CAPUT II.

## ARGUMENTUM.

Athenienses quum viderent Thebanorum opes augeri, suas minui, pace cum Lacedaemoniis facta Timotheum revocant domum. At hic in reditu simul exsules Zacynthiorum in sedibus suis reponit: unde sequenti anno novum bellum. Ob Timothei factum Lacedaemonii suis et sociorum opibus magnam classem exornant Mnasippo duce ad Corcyram Atheniensibus eripiendam. Quo facto quum Corcyraei undique inclusi fame premerentur, Atheniensium auxilium implorarunt, qui post alios iis miserunt Iphicratem. Sed antequam hic adveniret, Mnasippi temeritate factum, ut Corcyraei facta eruptione Lacedaemonios magna clade afficerent. Ipse Mnasippus cecidit, reliqui metu adventantis Iphicratis Leucadem profugerunt. Laudatur Iphicrates et eius disciplina nautica. Quum venisset Corcyram, decem triremes a Dionysio Syracusis Corcyram missas coepit, ipsamque iam Laconicam petere cogitabat. Laudatur tota eius expeditio.

---

1 *Οἱ μὲν γὰρ Λακεδαιμόνιοι καὶ οἱ σύμμαχοι συνελέγοντο εἰς τοὺς Φωκέας, οἱ δὲ Θηβαῖοι ἀναχωρήσαντες εἰς τὴν αὑτῶν ἐφύλασσον τὰς εἰςβολάς. Οἱ δ' Ἀθηναῖοι, αὐξανομένους μὲν ὁρῶντες διὰ σφᾶς τοὺς Θηβαίους χρήματά τε οὐ συμβαλλομένους εἰς τὸ ναυτικόν, αὐτοὶ δὲ ἀποκναιόμενοι καὶ χρημάτων εἰςφοραῖς καὶ λῃστείαις ἐξ Αἰγίνης καὶ φυλακαῖς τῆς χώρας, ἐπεθύμησαν παύσασθαι τοῦ πολέμου καὶ πέμψαντες πρέσβεις εἰς Λακεδαίμονα εἰρήνην ἐποιήσαντο.*

2 *Εὐθὺς δ' ἐκεῖθεν δύο τῶν πρέσβεων πλεύσαντες*

Cap. II. §. 1. B. D. E. *αὐτῶν*, C. Schneid. *ἑαυτῶν* pro *αὑτῶν*. — Dind. *ἐφύλαττον*. B. om. *τε*, sed habet *χρήματά* (sic). — A. C. Ald. Iunt. *συλλαμβ.* pro *συμβαλλομένους*.

Cap. II. §. 1. *Οἱ μὲν γάρ*] Redit Xen. ad ea, quae VI, 1, 1. narrare coeperat.

*χρήματά τε*] Part. *τὲ* arctius nectit enuntiationes quam *καί*. V. ad Oecon. X, 12. XIII, 10. Ages. II, 31. Vertas: et tamen. Cf. V, 3, 15. VI, 5, 30.

*λῃστείαις ἐξ Αἰγίνης*] V. V, 1, 1.

*εἰρήνην ἐποιήσαντο*] Diod. XV, 38: *Λακεδαιμόνιοι μὲν γὰρ καὶ Ἀθηναῖοι διὰ παντὸς περὶ τῆς ἡγεμονίας διαφιλοτιμούμενοι παρεχώρουν ἀλλήλοις, οἱ μὲν κατὰ γῆν, οἱ δὲ κατὰ θάλατταν ἀρχῆς ἄξιοι κρινόμενοι.* Corn. Nep. Timoth. II, 2.

κατὰ δόγμα τῆς πόλεως εἶπον τῷ Τιμοθέῳ ἀποπλεῖν
οἴκαδε, ὡς εἰρήνης οὔσης· ὁ δ' ἅμα ἀποπλέων τοὺς τῶν
Ζακυνθίων φυγάδας ἀπεβίβασεν εἰς τὴν χώραν αὐ-
τῶν. Ἐπεὶ δὲ οἱ ἐκ τῆς πόλεως Ζακύνθιοι πέμψαντες 3
πρὸς τοὺς Λακεδαιμονίους ἔλεγον, οἷα πεπονθότες εἶεν A.C
ὑπὸ τοῦ Τιμοθέου, εὐθὺς οἱ Λακεδαιμόνιοι ἀδικεῖν τε
ἡγοῦντο τοὺς Ἀθηναίους καὶ ναυτικὸν πάλιν κατεσκεύ-
αζον καὶ συνετάττοντο εἰς ἑξήκοντα ναῦς ἀπ' αὐτῆς τε
τῆς Λακεδαίμονος καὶ Κορίνθου καὶ Λευκάδος καὶ Ἀμ-
βρακίας καὶ Ἤλιδος καὶ Ζακύνθου καὶ Ἀχαΐας καὶ Ἐπι-
δαύρου καὶ Τροιζῆνος καὶ Ἑρμιόνος καὶ Ἁλιέων. Ἐπι- 4
στήσαντες δὲ ναύαρχον Μνάσιππον ἐκέλευον τῶν τε
ἄλλων ἐπιμελεῖσθαι τῶν κατ' ἐκείνην τὴν θάλατταν καὶ
στρατεύειν ἐπὶ Κέρκυραν. Ἔπεμψαν δὲ καὶ πρὸς Διο-
νύσιον διδάσκοντες, ὡς καὶ ἐκείνῳ χρήσιμον εἴη τὴν
Κέρκυραν μὴ ὑπ' Ἀθηναίοις εἶναι. Καὶ ὁ μὲν δὴ Μνά- 5
σιππος, ἐπεὶ συνελέγη αὐτῷ τὸ ναυτικόν, ἔπλευσεν εἰς
τὴν Κέρκυραν· εἶχε δὲ καὶ μισθοφόρους σὺν τοῖς ἐκ
Λακεδαίμονος μετ' αὐτοῦ στρατευομένοις οὐκ ἐλάτ-
τους χιλίων καὶ πεντακοσίων. Ἐπεὶ δὲ ἀπέβη, ἐκράτει 6
τε τῆς γῆς καὶ ἐδῄου ἐξειργασμένην μὲν παγκάλως καὶ
πεφυτευμένην τὴν χώραν, μεγαλοπρεπεῖς δὲ οἰκήσεις
καὶ οἰνῶνας κατεσκευασμένους ἐπὶ τῶν ἀγρῶν· ὥστ'
ἔφασαν τοὺς στρατιώτας εἰς τοῦτο τρυφῆς ἐλθεῖν, ὥστ'
οὐκ ἐθέλειν πίνειν, εἰ μὴ ἀνθοσμίας εἴη. Καὶ ἀνδρά-

§. 2. δ' ἅμα B. C. Dind. pro δὲ ἅμ'; alii δὲ ἅμα vel δ' ἅμ'.

§. 3. πόλεως B. D. F. I. marg. Leoncl. Schneid. Dind. pro χώρας. — κατεσκεύαζον B. C. D. F. marg. Leoncl. Dind. pro παρεσκ. — Ἑρμιόνος B. C. D. E. F. marg. Leoncl. Schneid. Dind. pro Ἑρμιόνης.

§. 5. Ante τὸ ναυτικὸν B. C. D. E. I. F. V. Leoncl. Steph. Dind. om. τὸ στράτευμα. — C. Ald. Iunt. στρατευομένους.

§. 6. Post κατεσκευασμένους B. C. D. E. I. V. Dind. om. ἔχουσαν.

§. 2. τῷ Τιμοθέῳ] V. V, 4, 63.

τοὺς τῶν Ζακυνθίων φυγάδας] De discidio Zacynthiorum partim Spartanis partim Atheniensibus faventium v. Diodor. XV, 45.

§. 3. οἱ ἐκ τῆς πόλεως] De attractione v. ad III, 1, 18.

§. 4. στρατεύειν ἐπὶ Κέρκυραν] Diod. XV, 46: τῶν ἐκ Κερκύρας τινὲς φίλοι Λακεδαιμονίων ἐπαναστάντες τῷ δήμῳ παρεκάλεσαν τοὺς Σπαρτιάτας ἀποστεῖλαι ναυτικὴν δύναμιν, ὑπισχνούμενοι παραδώσειν αὐτοῖς τὴν Κέρκυραν κ. τ. λ.

§. 6. ἔφασαν] V. ad III, 5, 21.

ἀνθοσμίας] vinum fragrans, unde antecedentis verbi

ποδα δὲ καὶ βοσκήματα πάμπολλα ἡλίσκετο ἐκ τῶν
7 ἀγρῶν. Ἔπειτα δὲ κατεστρατοπεδεύσατο τῷ μὲν πεζῷ ἐπὶ λόφῳ ἀπέχοντι τῆς πόλεως ὡς πέντε στάδια, πρὸ τῆς χώρας ὄντι, ὅπως ἀποτέμνοιτο ἐντεῦθεν, εἴ τις ἐπὶ τὴν χώραν τῶν Κερκυραίων ἐξίοι· τὸ δὲ ναυτικὸν εἰς τἀπὶ θάτερα τῆς πόλεως κατεστρατοπέδευσεν, ἔνθεν ᾤετ' ἂν τὰ προςπλέοντα καὶ προαισθάνεσθαι καὶ διακωλύειν. Πρὸς δὲ τούτοις καὶ ἐπὶ τῷ λιμένι, ὁπότε μὴ
8 χειμὼν κωλύοι, ἐφώρμει. Ἐπολιόρκει μὲν δὴ οὕτω τὴν πόλιν. Ἐπεὶ δὲ οἱ Κερκυραῖοι ἐκ μὲν τῆς γῆς οὐδὲν ἐλάμβανον διὰ τὸ κρατεῖσθαι κατὰ γῆν, κατὰ θάλασσαν δὲ οὐδὲν εἰςήγετο αὐτοῖς διὰ τὸ ναυκρατεῖσθαι, ἐν
9 πολλῇ ἀπορίᾳ ἦσαν· καὶ πέμποντες πρὸς τοὺς Ἀθηναίους βοηθεῖν τε ἐδέοντο καὶ ἐδίδασκον, ὡς μέγα μὲν ἀγαθὸν ἀποβάλοιεν ἄν, εἰ Κερκύρας στερηθεῖεν, τοῖς δὲ πολεμίοις μεγάλην ἂν ἰσχὺν προςβάλοιεν· ἐξ οὐδεμιᾶς γὰρ πόλεως πλήν γε Ἀθηνῶν οὔτε ναῦς οὔτε χρήματα πλείονα ἂν γενέσθαι. Ἔτι δὲ κεῖσθαι τὴν Κέρκυραν ἐν καλῷ μὲν τοῦ Κορινθιακοῦ κόλπου καὶ τῶν πόλεων, αἳ ἐπὶ τοῦτον καθήκουσιν, ἐν καλῷ δὲ τοῦ τὴν Λακωνικὴν χώραν βλάπτειν, ἐν καλλίστῳ δὲ τῆς τε ἀν-

§. 7. μὲν ante πεζῷ addunt B. Leoncl. Steph. Wells. Schneid. edd. sqq. — ἐξίοι B. C. D. E. F. I. marg. Leoncl. Schneid. edd. sqq. pro ἐςίοι. — C. om. καὶ ante προαισθ.

§. 8. F. I. V. habent καὶ ante κατὰ γῆν. — V. Dind. θάλατταν.

§. 9. τε post βοηθεῖν et ἂν post ἀποβάλοιεν addunt B. D. I. V. Leoncl. Steph. Schneid. Dind. — προςβάλοιεν B. C. D. E. V. Schneid. Dind. pro προςβάλλοιεν. — Ἀθηνῶν Dind., Ἀθηναίων ceteri. — C. καλῷ pro καλλίστῳ. — A. ἀντιπέρας.

πίνειν obiectum facile intelligitur.

§. 7. πρὸ τῆς χώρας] Qui in colle erant, si oculos in urbem convertebant, agros inter se et urbem medios ante se habebant.

εἰς τἀπὶ θάτερα] in altera parte. Cf. Anab. V, 4, 10: εἰς τὴν χώραν εἰςβάλλειν ἐκ τοῦ ἐπὶ θάτερα, et ibid. §. 3: πολέμιοι οὗτοί εἰσιν οἱ ἐκ τοῦ ἐπέκεινα. Infra VII, 4, 30.

§. 8. ἐπολιόρκει] V. ad IV, 7, 1.

§. 9. μέγα — ἀγαθόν] Hunc ipsum locum tractat Thuc. I, 36, ubi quaedam iis ipsis verbis exponuntur, quibus Xenophon usus est. Morus.

ἐν καλῷ — τοῦ — κόλπου] Corcyram loco peropportuno esse sitam, si spectetur a sinu Corinthiaco, h. e. loco peropportuno sinui Corinthiaco. Cf. Thuc. I, 36, 2: τῆς τε γὰρ Ἰταλίας καὶ Σικελίας καλῶς παράπλου κεῖται (ἡ Κέρκυρα), ubi genitivus παράπλου a καλῶς pendet. Rost. gr. Mai. §. 108. n. V. supra ad V, 4, 38 et 49.

τιπέραν Ἠπείρου καὶ τοῦ εἰς Πελοπόννησον ἀπὸ Σικελίας παράπλου. Ἀκούσαντες δὲ ταῦτα οἱ Ἀθηναῖοι ἐνόμισαν ἰσχυρῶς ἐπιμελητέον εἶναι, καὶ ταγὸν πέμπουσι Στησικλέα εἰς ἑξακοσίους ἔχοντα πελταστάς, Ἀλκέτου δὲ ἐδεήθησαν συνδιαβιβάσαι τούτους. Καὶ οὗτοι μὲν νυκτὸς διακομισθέντες που τῆς χώρας εἰςῆλθον εἰς τὴν πόλιν. Ἐψηφίσαντο δὲ καὶ ἑξήκοντα ναῦς πληροῦν, Τιμόθεον δ' αὐτῶν στρατηγὸν ἐχειροτόνησαν. Ὁ δ' οὐ δυνάμενος αὐτόθεν τὰς ναῦς πληρῶσαι, ἐπὶ νήσων πλεύσας ἐκεῖθεν ἐπειρᾶτο συμπληροῦν, οὐ φαῦλον ἡγούμενος εἶναι ἐπὶ συγκεκροτημένας ναῦς εἰκῇ περιπλεῦσαι. Οἱ δ' Ἀθηναῖοι νομίζοντες αὐτὸν ἀναλοῦν τὸν τῆς ὥρας εἰς τὸν περίπλουν χρόνον, συγγνώμην οὐκ ἔσχον αὐτῷ, ἀλλὰ παύσαντες αὐτὸν τῆς στρατηγίας Ἰφικράτην ἀνθαιροῦνται. Ὁ δ' ἐπεὶ κατέστη στρατηγός, μάλα ὀξέως τὰς ναῦς ἐπληροῦτο καὶ τοὺς τριηράρχους ἠνάγκαζε. Προςέλαβε δὲ παρὰ τῶν Ἀθηναίων

§. 10. B. margg. Leoncl. et Steph. τάγην pro ταγὸν.

§. 13. A. edd. vett. ἀναλοῦντα pro ἀναλοῦν. — τὸν ante περίπλουν addunt B. C. D. E. I. V. Steph. Leoncl. Schneid. Dind.

§. 14. τριηράρχους B. C. D. E. V. marg. Leoncl. Schneid. Dind. pro τριηράρχας. — C. V. post προσέλαβε δὲ addunt et post Ἀθηναίων

§. 10. ταγόν] Apud Corcyraeos ducem nominatum fuisse ταγόν opinatur Sturz. Quod etiam si ita esset, tamen mireris Athenienses misisse dici ταγόν. Diodor. XV, 47: κατὰ δὲ τὸ παρὸν στρατηγὸν ἑλόμενοι Κτησικλέα μετὰ στρατιωτῶν πεντακοσίων ἐξέπεμψαν βοηθήσοντα τοῖς Κερκυραίοις. Ita non dubito quin h. l. reponendum sit στρατηγόν pro ταγόν.

Ἀλκέτου — συνδιαβιβάσαι] De Alceta v. VI, 1, 7. Petierunt ab Alceta, ut adiuvaret Stesiclem in traiiciendo ex Epiro in Corcyram. Terra enim, non mari, mittebant sexcentos illos in Epirum.

§. 11. που] Cobet. ποι. V. ad II, 3, 54.

§. 12. αὐτόθεν] V. ad III, 4, 20.

ἐπὶ νήσων] ut IV, 8, 7: διὰ νήσων. Cf. Diod. XV, 47: οὗτος δὲ — πλεύσας ἐπὶ Θρᾴκης καὶ πολλὰς πόλεις ἐπὶ συμμαχίαν προκαλεσάμενος προςέθηκε τριάκοντα τριήρεις· τότε δὲ καθυστερῶν τῆς τῶν Κερκυραίων συμμαχίας τὸ μὲν πρῶτον ἀπέβαλε τὴν στρατηγίαν κ. τ. λ.

οὐ φαῦλον] non levis momenti, non sine magno periculo faciendum.

συγκεκροτημένας ναῦς] naves bene instructas. Polyb. I, 61, 3: τὰ πληρώματα συγκεκροτημένα διαφέρουσαν αὐτοῖς τὴν χρείαν παρείχετο. Lucian. somn. XXIV: ἵππος συγκεκροτημένη. Pollux. I, 155: συγκεκροτημέναι δυνάμεις.

§. 14. ἠνάγκαζε] coegit id facere quod debebant. Nam apud Athenienses ditiorum erat, suis sumptibus triremes instruere.

-αὶ εἰ πού τις ναῦς περὶ τὴν Ἀττικὴν ἔπλει καὶ τὴν Πά-ραλον καὶ τὴν Σαλαμινίαν, λέγων, ὡς ἐὰν τάχει καλῶς γένηται, πολλὰς αὐτοῖς ναῦς ἀποπέμψοι. Καὶ ἐγένοντο αὐτῷ αἱ ἅπασαι περὶ ἑβδομήκοντα. Ἐν δὲ τούτῳ τῷ χρόνῳ οἱ Κερκυραῖοι οὕτω σφόδρα ἐπείνων, ὥστε διὰ τὸ πλῆθος τῶν αὐτομολούντων ἐκήρυξεν ὁ Μνάσιππος πεπρᾶσθαι ὅστις αὐτομολοίη. Ἐπεὶ δὲ οὐδὲν ἧττον ηὐτομόλουν, τελευτῶν καὶ μαστιγῶν ἀπέπεμπεν. Οἱ μέντοι ἔνδοθεν τούς γε δούλους οὐκ ἐδέχοντο πάλιν εἰς τὸ τεῖχος, ἀλλὰ πολλοὶ ἔξω ἀπέθνησκον. Ὁ δ᾽ αὖ Μνάσιππος ὁρῶν ταῦτα, ἐνόμιζέ τε ὅσον οὐκ ἤδη ἔχειν τὴν πόλιν καὶ περὶ τοὺς μισθοφόρους ἐκαινούργει, καὶ τοὺς μέν τινας αὐτῶν ἀπομίσθους ἐπεποιήκει, τοῖς δ᾽ οὖσι καὶ δυοῖν ἤδη μηνοῖν ὤφειλε τὸν μισθόν, οὐκ ἀπορῶν, ὡς ἐλέγετο, χρημάτων· καὶ γὰρ τῶν πόλεων αἱ πολλαὶ αὐτῷ ἀργύριον ἀντὶ τῶν ἀνδρῶν ἔπεμπον, ἅτε καὶ διαποντίου τῆς στρατείας οὔσης. Κατιδόντες δὲ ἀπὸ τῶν πύργων οἱ ἐκ τῆς πόλεως τάς τε φυλακὰς χεῖ-

m. καί. — C. εἴ τίς που. — Steph. Leoncl. Wells. Mor. ἀποπέμψει.

§. 15. A. C. E. F. edd. vett. ἐν δὲ τῷ τοιούτῳ χρόνῳ.

§. 16. αὐτῷ ante ἀργύριον ponunt B. D. Schneid. Dind., ante ἔπεμπον ceteri.

§. 17. A. C. E. edd. vett. φάλαγγας pro φυλακὰς.

V. ad Oecon. II, 6. Wachsmuth. I, 130—138.

*Πάραλον*] V. II, 1, 28. 2, 3.

§. 15. *πεπρᾶσθαι ὅστις*] *es solle verkauft sein jeder, welcher* —. Hoc gravius esse dictum quam πεπράσεσθαι, quod Cobet. scribit, nemo non sentit. In πεπρᾶσθαι inest praesentis notio ut in κεκλεῖσθαι V, 4, 7. Pertinet igitur ἐκήρυξε πεπρᾶσθαι ad id quod de praesentis infinitivo post iurandi verba posito dictum est ad V, 1, 32. Cf. etiam VI, 4, 25: παρήγγειλαν — συνεσκευάσθαι πάντας. Nihil vero contra vulgatam lectionem efficit Cobetus comparando Anab. VII, ..., 36: ἐκήρυξεν, ὃς ἂν ἁλῷ —, ὅτι πεπράσεται, ubi cum ὅτι coniungi non potuisse πέπραται per se intelligitur. Quin etiam ex isto loco colligere licet, si scripsisset h. l. πεπράσεσθαι, non dicturum fuisse Xenophontem ὅστις αὐτομολοίη, sed ὅστις ἂν αὐτομολήσῃ, vel certe ὅστις αὐτομολήσοι aut ὅστις αὐτομολήσει.

*τελευτῶν*] ut V, 3, 15.

§. 16. *ὅσον οὐκ*] ut V, 3, 13. Infra §. 24.

*τοῖς δ᾽ οὖσι*] quid sibi velit, nemo interpretum ostendit. Vitium in verbis esse manifestum est. Si ἀπομίσθους ἐπεποιήκει est: stipendia ademerat, h. e. dimiserat (partem mercenariorum), pro δ᾽ οὖσι scribendum videtur δὲ μένουσι: atque iis, qui manebant (quos non dimiserat Mnasippus) duorum mensium stipendia debebat.

*ἀργύριον ἀντὶ τῶν ἀνδρῶν*] De hac re v. V, 2, 21.

ρον ἢ πρόσθεν φυλαττομένας ἐσπαρμένους τε κατὰ τὴν
χώραν τοὺς ἀνθρώπους, ἐπεκδραμόντες τοὺς μέν τι-
νας αὐτῶν ἔλαβον, τοὺς δὲ κατέκοψαν. Αἰσθόμενος δὲ 18
ὁ Μνάσιππος αὐτός τε ἐξωπλίζετο καὶ ὅσους εἶχεν
ὁπλίτας ἅπασιν ἐβοήθει καὶ τοὺς λοχαγοὺς καὶ τοὺς
ταξιάρχους ἐξάγειν ἐκέλευε τοὺς μισθοφόρους. Ἀπο- 19
κριναμένων δέ τινων λοχαγῶν, ὅτι οὐ ῥάδιον εἴη μὴ δι-
δόντας τὰ ἐπιτήδεια πειθομένους παρέχειν, τὸν μέν
τινα βακτηρίᾳ, τὸν δὲ τῷ στύρακι ἐπάταξεν. Οὕτω μὲν
δὴ ἀθύμως ἔχοντες καὶ μισοῦντες αὐτὸν συνεξῆλθον
πάντες· ὅπερ ἥκιστα εἰς μάχην συμφέρει. Ὁ δ᾽ ἐπεὶ 20
παρετάξατο, αὐτὸς μὲν τοὺς κατὰ τὰς πύλας τῶν πο-
λεμίων τρεψάμενος ἐπεδίωκεν· οἱ δ᾽ ἐπεὶ ἐγγὺς τοῦ τεί-
χους ἐγένοντο, ἀνεστρέφοντό τε καὶ ἀπὸ τῶν μνημάτων
ἔβαλλον καὶ ἠκόντιζον· ἄλλοι δ᾽ ἐκδραμόντες καθ᾽ ἑτέ-
ρας πύλας ἐπιτίθενται ἀθρόοι τοῖς ἐσχάτοις· οἱ δ᾽ ἐπ᾽ 21
ὀκτὼ τεταγμένοι, ἀσθενὲς νομίσαντες τὸ ἄκρον τῆς φά-
λαγγος ἔχειν, ἀναστρέφειν ἐπειρῶντο. Ὡς δ᾽ ἤρξαντο
ἐπαναχωρεῖν, οἱ μὲν πολέμιοι ὡς φεύγουσιν ἐπέθεντο,
οἱ δ᾽ οὐκέτι ἐπανέστρεψαν· καὶ οἱ ἐχόμενοι δ᾽ αὐτῶν

§. 18. A. edd. vett. *αὐτός τε μὲν ὡπλίζετο.* — *ταξιάρχους* B. C. D. E. F. I. V. marg. Steph. Schneid. Dind. pro *ταξιάρχας*.

§. 19. *διδόντας* B. D. I. V. Schneid. Dind. pro *διδόντα.* — *πάντες* B. D. E. F. V. Dind. pro *ἅπαντες*.

§. 20. *ἐπεδίωκεν* marg. Leoncl. Steph. Schneid. Dind. pro *ἀπεδίωκεν.* — A. *ἔβαλον.*

§. 19. *παρέχειν*] V. ad VI, 1, 19.

§. 20. *παρετάξατο*] V. ad III, 4, 23. IV, 3, 5.

*ἀνεστρέφοντο*] conversi substiterunt, quo sensu usitatior est activa forma. Sed etiam Anab. I, 10, 12, Cyrop. II, 2, 9, De re equ. VI, 5 passivam legimus, quam h. l. Xen. fortasse propterea praetulit quod mox (§. 21) alio significatu dicturus erat *ἀναστρέφειν.*

*τῶν μνημάτων*] V. ad III, 2, 14.

§. 21. *τὸ ἄκρον*] extremam aciei partem, quae antea per *τοῖς ἐσχάτοις* significata erat.

*ἀναστρέφειν*] se convertere, ut eam phalangis partem, in quam irruentes videbant hostes, densiorem redderent. Dum autem pedem referre incipiunt ut se locent post terga *τῶν ἐσχάτων*, quorum aciem confirmaturi erant, eos ad fugam terga dare putantes tanta vi adoriuntur hostes, ut conversionem conficere illi non possint sed fugiant, quo facto his proximi quoque in fugam trahuntur.

*ἐπανέστρεψαν*] Cobet. male *ἀνέστρεψαν.* Vertas: iam non se converterunt ad eum locum, quem assequi debebant ad conficiendam conversionem.

22 εἰς φυγὴν ὥρμων. Ὁ δὲ Μνάσιππος τοῖς μὲν πιεζομένοις οὐκ ἐδύνατο βοηθεῖν διὰ τοὺς ἐκ τοῦ κατ' ἀντικρὺ προσκειμένους, ἀεὶ δ' ἐλείπετο σὺν ἐλάττοσι. Τέλος δ' οἱ πολέμιοι ἀθρόοι γενόμενοι πάντες ἐπετίθεντο τοῖς περὶ τὸν Μνάσιππον, ἤδη μάλα ὀλίγοις οὖσι. Καὶ
23 οἱ πολῖται ὁρῶντες τὸ γιγνόμενον ἐπεξῄεσαν. Ἐπεὶ δ' ἐκεῖνον ἀπέκτειναν, ἐδίωκον ἤδη ἅπαντες. Ἐκινδύνευσαν δ' ἂν καὶ τὸ στρατόπεδον ἑλεῖν σὺν τῷ χαρακώματι, εἰ μὴ οἱ διώκοντες τὸν ἀγοραῖόν τε ὄχλον ἰδόντες καὶ τὸν τῶν θεραπόντων καὶ τὸν τῶν ἀνδραπόδων, οἰηθέντες
24 ὄφελός τι αὐτῶν εἶναι, ἀπεστρέφοντο. Καὶ τότε μὲν τρόπαιόν τε ἵστασαν οἱ Κερκυραῖοι τούς τε νεκροὺς ὑποσπόνδους ἀπεδίδοσαν. Ἐκ δὲ τούτου οἱ μὲν ἐν τῇ πόλει ἐῤῥωμενέστεροι ἐγεγένηντο, οἱ δ' ἔξω ἐν πάσῃ δὴ ἀθυμίᾳ ἦσαν. Καὶ γὰρ ἐλέγετο, ὅτι Ἰφικράτης τε ὅσον οὐκ ἤδη παρείη, καὶ οἱ Κερκυραῖοι δὲ τῷ ὄντι ναῦς
25 ἐπλήρουν. Ὑπερμένης δέ, ὃς ἐτύγχανεν ἐπιστολιαφόρος τῷ Μνασίππῳ ὤν, τό τε ναυτικὸν πᾶν ὅσον ἦν ἐκεῖ συνεπλήρωσε, καὶ περιπλεύσας πρὸς τὸ χαράκωμα τὰ πλοῖα πάντα γεμίσας τῶν τε ἀνδραπόδων καὶ τῶν χρη-

§. 22. A. C. E. F. edd. vett. om. *τοῖς μὲν πιεζομένοις*. — V. *ἐπιτίθενται τοῖς*. — *πολῖται* Dind. pro *ὁπλῖται*.

§. 23. Steph. *ἤδη ἅπαντας*. — *τὸ* ante *στρατόπεδον* addunt Schneid. edd. sqq. — A. C. E. F. Ald. om. *οἱ* ante *διώκοντες*.

§. 24. *ἵστασαν* B. D. V. Dind. pro *ἔστησαν*. — *τούς τε νεκροὺς* B. V. Dind. pro *καὶ τοὺς νεκρούς*.

§. 25. B. *τῶν τετραπόδων* pro *τῶν τε ἀνδραπ.* — *ἀπέστελλεν* B. D. V. Dind. pro *ἀπέστειλεν*.

§. 22. *ἀεὶ — ἐλάττοσι*] semper imminuebatur eorum numerus, qui cum ipso erant: singulare dicendi genus. Exspectamus enim *ἀεὶ — γιγνομένοις ἐλάττοσι*, aut *ἀεὶ — ἐλαττουμένοις*. Cf. IV, 5, 16. Aliter se habet VI, 5, 18: *ἰσχυροτέραν ἀεὶ τὴν φάλαγγα ἐποιεῖτο*.

§. 23. *τὸν ἀγοραῖόν τε ὄχλον*] V. ad I, 6, 37.

*ὄφελος*] V. ad V, 3, 6. Leoncl. vertit: quoddam in his robur esse arbitrati.

§. 24. *ἐν πάσῃ δὴ ἀθυμίᾳ*] Dindorf. in praef. Cyrop. ed. Lips. p. XXII corrigit *ἐν παντὶ δὴ ἀθυμίας*, cl. Thuc. VII, 55: *ἐν παντὶ δὴ ἀθυμίας ἦσαν*.

*ὅσον οὐκ*] V. ad §. 16.

*καὶ — δέ*] respondent antecedenti *τε*. V. ad III, 4, 24.

*τῷ ὄντι*] Ad haec repetas *ἤδη*. Opponuntur enim inter se: *ὅσον οὐκ ἤδη* et *τῷ ὄντι ἤδη*. De indicativo *ἐπλήρουν* optativum *παρείη* in oratione obliqua excipiente v. ad III, 5, 23. V, 3, 12. At si dicere voluisset Xen.: fama ferebatur, Iphicratem tantum non iam adesse, atque revera Corcyraei iam naves suas instruebant, ita ut *καὶ — ἐπλήρουν* non pertineret ad orationem obliquam, omittendum erat *τε* post *Ἰφικράτης*.

§. 25. *ἐπιστολιαφόρος*] idem, quod *ἐπιστολεύς* I, 1, 23.

μάτων ἀπέστελλεν· αὐτὸς δὲ σύν τε τοῖς ἐπιβάταις καὶ
τοῖς περισωθεῖσι τῶν στρατιωτῶν διεφύλαττε τὸ χαρά-
κωμα· τέλος δὲ καὶ οὗτοι μάλα δὴ τεταραγμένοι ἀνα- 26
βάντες ἐπὶ τὰς τριήρεις ἀπέπλεον, πολὺν μὲν σῖτον,
πολὺν δὲ οἶνον, πολλὰ δὲ ἀνδράποδα καὶ ἀσθενοῦντας
στρατιώτας καταλιπόντες· δεινῶς γὰρ ἐπεφόβηντο, μὴ
καταληφθεῖεν ὑπὸ τῶν Ἀθηναίων ἐν τῇ νήσῳ. Καὶ
ἐκεῖνοι μὲν εἰς Λευκάδα ἀπεσώθησαν.

Ὁ δὲ Ἰφικράτης ἐπεὶ ἤρξατο τοῦ περίπλου, ἅμα μὲν 27
ἔπλεεν, ἅμα δὲ πάντα ὅσα εἰς ναυμαχίαν παρεσκευά-
ζετο· εὐθὺς μὲν γὰρ τὰ μεγάλα ἱστία αὐτοῦ κατέλιπεν,
ὡς ἐπὶ ναυμαχίαν πλέων· καὶ τοῖς ἀκατίοις δέ, καὶ εἰ
φορὸν πνεῦμα εἴη, ὀλίγα ἐχρῆτο· τῇ δὲ κώπῃ τὸν πλοῦν
ποιούμενος ἄμεινόν τε τὰ σώματα ἔχειν τοὺς ἄνδρας
καὶ ἄμεινον τὰς ναῦς πλεῖν ἐποίει. Πολλάκις δὲ καὶ 28
ὅπου μέλλοι ἀριστοποιεῖσθαι τὸ στράτευμα ἢ δειπνο-
ποιεῖσθαι, ἐπανήγαγεν ἂν τὸ κέρας ἀπὸ τῆς γῆς κατὰ

§. 26. Post μάλα B. C. D. E. F. I. V. Dind. om. δή. — A. C. edd. vett. πολὺν μέντοι σῖτον.

§. 27. Dind. ἔπλει pro ἔπλεεν. — φορὸν B. D. V. Dind., εὔφορον Steph. edd. sqq., ceteri ἔφορον.

§. 28. ὅπου Dind. pro ὅποι. — F. δειπνοποιῆσαι. — E. ἐπανήγα-

§. 27. ἔπλεεν] Hanc formam contra Dindorfium et Lobeckium (ad Phryn. p. 220) defendunt Kuehn. ad Anab. VII, 6, 37, Heiland. de dial. Xen. p. 19. V. supra ad VI, 1, 18.

ὅσα εἰς ναυμαχίαν] V. ad VI, 1, 10.

τὰ μεγάλα ἱστία] Rem explicavit Boeckh: *Urkunden über das Seewesen des Attischen Staates* p. 139. sqq., animadvertitque ἱστία μεγάλα esse vela maioris mali eiusque antennarum, ἱστία ἀκάτεια alterius mali ἱστὸς ἀκάτειος vocati. Dindorf. Ad pugnam prodituri vela maiora alicubi reponere solebant, quod fecit II, 1, 29 Lysander et fieri iubet Alcibiades I, 1, 13, ubi v. adn.

ὀλίγα] De accusativo v. ad II, 1, 2. 4, 37. VI, 1, 15.

τὰ σώματα] V. ad V, 3, 17.

§. 28. ὅπου — μέλλοι] De optativo v. ad III, 5, 24.

ἐπανήγαγεν ἄν] Significatur quod facere solebat quotiescunque rei locus erat opportunus. V. Buttm. §. 139. 12. Rost. §. 152. ann. 1. α. Kuehn. §. 260. 2. 2. β. Rarius ita cum ἄν ponitur aoristus, quam imperfectum. Exempla v. apud Kuehner. ad Anab. I, 5, 2. 9, 19. Comment. I, 1, 16. 3, 4.

τὸ κέρας ἀπὸ τῆς γῆς] Quum iam in eo esset, ut appellerent naves, retro eas in altum ducebat, et quae modo κατὰ κέρας, h. e. una post alteram, vectae erant, eas iam disponebat e regione eius loci, quo vel prandendum vel coenandum erat, ita ut pari singulae spatio a littore remotae essent. τὸ κέρας igitur significat cornu sequentesque

ταῦτα τὰ χωρία. Ἐπεὶ δ' ἐπιστρέψας [ἂν] καὶ ἀντιπρώρους καταστήσας τὰς τριήρεις ἀπὸ σημείου ἀφίει ἀνθαμιλλᾶσθαι εἰς τὴν γῆν, μέγα δὴ νικητήριον ἦν τὸ πρώτους καὶ ὕδωρ λαβεῖν καὶ εἴ του ἄλλου ἐδέοντο, καὶ πρώτους ἀριστῆσαι· τοῖς δ' ὑστάτοις ἀφικομένοις μεγάλη ζημία ἦν τό τε ἐλαττοῦσθαι πᾶσι τούτοις καὶ ὅτι ἀνάγεσθαι ἅμα ἔδει, ἐπεὶ σημήνειεν· συνέβαινε γὰρ τοῖς μὲν πρώτοις ἀφικνουμένοις καθ' ἡσυχίαν ἅπαντα

29 ποιεῖν, τοῖς δὲ τελευταίοις διὰ σπουδῆς. Φυλακάς γε μήν, εἰ τύχοι ἐν τῇ πολεμίᾳ ἀριστοποιούμενος, τὰς μὲν ἐν τῇ γῇ, ὥσπερ προσήκει, καθίστη, ἐν δὲ ταῖς ναυσὶν αἰρόμενος αὖ τοὺς ἱστοὺς ἀπὸ τούτων ἐσκοπεῖτο. Πολὺ οὖν ἐπὶ πλέον οὗτοι καθεώρων ἢ οἱ ἐκ τοῦ ὁμαλοῦ, ἀφ' ὑψηλοτέρου καθορῶντες. Ὅπου δὲ δειπνοποιοῖτο καὶ καθεύδοι, ἐν μὲν τῷ στρατοπέδῳ νύκτωρ πῦρ οὐκ ἔκαε, πρὸ δὲ τοῦ στρατεύματος φῶς ἐποίει, ἵνα μηδεὶς λάθῃ προσιών. Πολλάκις δέ, εἰ εὐδία εἴη, εὐθὺς δειπνήσας ἀνήγετο· καὶ εἰ μὲν αὔρα φέροι, θέοντες ἅμα ἀνεπαύοντο· εἰ δὲ ἐλαύνειν δέοι, κατὰ μέρος τοὺς ναύτας ἀνέ-

30 παυεν. Ἐν δὲ τοῖς μεθ' ἡμέραν πλοῖς ἀπὸ σημείων τοτὲ μὲν ἐπὶ κέρως ἦγε, τοτὲ δ' ἐπὶ φάλαγγος· ὥστε ἅμα μὲν ἔπλεον, ἅμα δὲ πάντα ὅσα εἰς ναυμαχίαν καὶ ἠσκη-

γον, marg. Leoncl. ἀπανήγαγεν. — ἐπιστρέψας B. C. D. E. F. I. marg. Leoncl. Schneid. Dind. pro ἀντιστρέψας. — σημήνειεν A. V. Leoncl. Weisk. Schneid. pro σημήνειαν, Dind. σημήνειε.

§. 29. ἐσκοπεῖτο. Πολὺ Dind. pro ἐσκόπει. — Τὸ πολὺ. — νύκτωρ πῦρ B., πῦρ νύκτωρ ceteri. — V. λάθοι pro λάθῃ.

§. 30. F. om. μὲν post ἅμα. — ὑπὸ ante τῶν πολεμ. inserunt naves, κατὰ ταῦτα τὰ χωρία respondent praecedenti ὅπου.

ἐπεὶ δ' ἐπιστρέψας [ἂν]] Aut ἔπειτ' pro ἐπεὶ δ' scribendum, ut ἂν eodem modo atque antea accipi possit, aut ἂν delendum censeo.

ἀπὸ σημείου] signo dato. V. ad V, 1 5.

ἀνάγεσθαι ἅμα] una cum reliquis, qui prius advenerant.

σημήνειεν] scil. ὁ σαλπιγκτής. V. Kuehner. ad Anab. I, 2, 17. Buttm. gr. §. 129. 16. Kuehn. §. 238. 4. 6. Infra §. 34.

§. 29. γε μήν] V. ad III, 1, 7.

νύκτωρ πῦρ] Rationem huius moris explicat Anab. VII, 2, 18.

ἵνα — λάθῃ] De coniunctivo v. ad I, 1, 4. 4, 6. II, 1, 2.

θέοντες] h. e. οὐκ ἐλαύνοντες, remigio non utentes. Dindorf. comparat Aristoph. Eccl. 109: νῦν μὲν γὰρ οὔτε θέομεν οὔτ' ἐλαύνομεν, ubi schol.: ὅ ἐστιν· οὔτ' ἀνέμοις οὔτε κώπαις πλέομεν.

κατὰ μέρος] vicissim modo hos modo illos.

§. 30. ἐπὶ κέρως] V. ad VII, 4, 23.

ὅσα εἰς ναυμαχίαν] ut §. 27.

κότες καὶ ἐπιστάμενοι εἰς τὴν ὑπὸ τῶν πολεμίων, ὡς ᾤοντο, κατεχομένην θάλασσαν ἀφικνοῦντο. Καὶ τὰ μὲν πολλὰ ἐν τῇ πολεμίᾳ καὶ ἠρίστων καὶ ἐδείπνουν· διὰ δὲ τὸ τἀναγκαῖα μόνον πράσσειν καὶ τὰς βοηθείας ἔφθανεν ἀναγόμενος καὶ ταχὺ ἐπέραινε. Περὶ δὲ τὸν 31
Μνασίππου θάνατον ἐτύγχανεν ὢν τῆς Λακωνικῆς περὶ τὰς Σφαγίας. Εἰς τὴν Ἠλείαν δὲ ἀφικόμενος καὶ παραπλεύσας τὸ τοῦ Ἀλφειοῦ στόμα ὑπὸ τὸν Ἰχθῦν καλούμενον ὡρμίσατο. Τῇ δ' ὑστεραίᾳ ἐντεῦθεν ἀνήγετο ἐπὶ τῆς Κεφαλληνίας, οὕτω καὶ τεταγμένος καὶ τὸν πλοῦν ποιούμενος, ὡς, εἰ δέοι, πάντα ὅσα χρὴ παρεσκευασμένος ναυμαχοίη. Καὶ γὰρ τὰ περὶ τοῦ Μνασίππου αὐτόπτου μὲν οὐδενὸς ἠκηκόει, ὑπώπτευε δέ, μὴ ἀπάτης ἕνεκα λέγοιτο, καὶ ἐφυλάττετο· ἐπεὶ μέντοι ἀφίκετο εἰς τὴν Κεφαλληνίαν, ἐνταῦθα δὴ σαφῶς ἐπύθετο καὶ ἀνέπαυε τὸ στράτευμα.

Οἶδα μὲν οὖν, ὅτι ταῦτα πάντα, ὅταν οἴωνται ναυ- 32
μαχήσειν ἄνθρωποι, καὶ ἀσκεῖται καὶ μελετᾶται· ἀλλὰ τοῦτο ἐπαινῶ, ὅτι, ἐπεὶ ἀφικέσθαι ταχὺ ἔδει ἔνθα τοῖς πολεμίοις ναυμαχήσειν ᾤετο, εὕρετο, ὅπως μήτε διὰ τὸν πλοῦν ἀνεπιστήμονας εἶναι τῶν εἰς ναυμαχίαν μήτε διὰ τὸ ταῦτα μελετᾶν βραδύτερόν τι ἀφικέσθαι.

Καταστρεψάμενος δὲ τὰς ἐν τῇ Κεφαλληνίᾳ πόλεις 33

Steph. edd. sqq. — F. Dind. θάλατταν. — Dind. πράττειν. — A. E. F. edd. vett. ἔφθασεν pro ἔφθανεν. — Schneid., suadente Weiskio, καὶ ταχὺ ἐπέραινε posuit post πράσσειν.

§. 31. Σφαγίας Schneid. edd. sqq., ceteri Σφαγέας. — Ante τὸ τοῦ B. C. D. E. I. V. Schneid. edd. sqq. om. εἰς. — ἕνεκα B., ἕνεκεν ceteri.

τὰς βοηθείας ἔφθανεν ἀναγόμενος] Solvebat prius quam ab hostibus succurri posset.

ἐπέραινε] τὴν ὁδόν.

§. 31. περὶ — θάνατον] eo fere tempore, quo cecidit Mnasippus. V. §. 23.

Σφαγίας] tres insulas ante Pylum Messeniae sitas. Quae regio quum Laconibus subiecta esset, ipsa Λακωνική nominatur.

τὸν Ἰχθῦν] Elidis promontorium.

τὰ περὶ τοῦ] V. ad VI, 1, 19.

§. 32. ὅπως — εἶναι — ἀφικέσθαι] V. adn. ad Oecon. VII, 29: πειρᾶσθαι, ὅπως ὡς βέλτιστα τὰ προσήκοντα ἑκάτερον ἡμῶν διαπράττεσθαι, quem locum cur plane Schneiderus diversum dicat equidem non intelligo. Utroque loco duae diversae confunduntur structurae. Cf. Wessel. ad Diod. Tom. II. p. 408. Poppo et Bornem. ad Cyrop. IV, 2, 37.

ἔπλευσεν εἰς Κέρκυραν. Ἐκεῖ δὲ πρῶτον μὲν ἀκούσας,
ὅτι προςπλέοιεν δέκα τριήρεις παρὰ Διονυσίου βοηθή-
σουσαι τοῖς Λακεδαιμονίοις, αὐτὸς ἐλθὼν καὶ σκεψάμε-
νος τῆς χώρας ὅθεν τούς τε προςπλέοντας δυνατὸν ἦν
ὁρᾶν καὶ τοὺς σημαίνοντας εἰς τὴν πόλιν καταφανεῖς
34 εἶναι, ἐνταῦθα κατέστησε τοὺς σκοπούς. Κἀκείνοις
μὲν συνέθετο, προςπλεόντων τε καὶ ὁρμούντων ὡς δέοι
σημαίνειν· αὐτὸς δὲ τῶν τριηράρχων προςέταξεν εἴκο-
σιν, οὓς δεήσοι, ἐπεὶ κηρύξειεν, ἀκολουθεῖν· εἰ δέ τις
μὴ ἀκολουθήσοι, προεῖπε μὴ μέμψεσθαι τὴν δίκην.
Ἐπεὶ δ' ἐσημάνθησαν προςπλέουσαι καὶ ἐκηρύχθη,
ἀξία ἐγένετο θέας ἡ σπουδή· οὐδεὶς γὰρ ὅςτις οὐ δρό-
35 μῳ τῶν μελλόντων πλεῖν εἰςέβη εἰς τὰς ναῦς. Πλεύσας
δὲ ἔνθα ἦσαν αἱ πολέμιαι τριήρεις καταλαμβάνει ἀπὸ
μὲν τῶν ἄλλων τριήρων εἰς τὴν γῆν τοὺς ἄνδρας ἐκβε-
βηκότας, Μελάνιππος μέντοι ὁ Ῥόδιος τοῖς τε ἄλλοις
συνεβούλευε μὴ μένειν ἐνταῦθα καὶ αὐτὸς πληρωσάμε-
νος τὴν ναῦν ἐξέπλει. Ἐκεῖνος μὲν οὖν καίπερ ἀπαν-
τῶν ταῖς Ἰφικράτους ναυσὶν ὅμως ἀπέφυγεν· αἱ δὲ ἀπὸ
Συρακουσῶν νῆες ἅπασαι ἑάλωσαν αὐτοῖς ἀνδράσιν.

§. 34. A. δεήσοι A. B. C. D. E. F. V. Schneid. Dind. — Leoncl. Steph. Schneid. Weisk. μέμφεσθαι. — ἐσημάνθησαν B. D. V. Bryl. Cast. Schneid. Dind. pro ἐσημάνθη, Wells. Mor. Weisk. ἐσημάνθη προςπλεῦσαι.

§. 35. τριήρων D. E. F. V. Dind., τριηρῶν B., τριήρεων ceteri.

§. 33. *πρῶτον μέν*] His respondent §. 34: ἐπεὶ δ' ἐσημάνθησαν.

*παρὰ Διονυσίου*] V. §. 4.

*τῆς χώρας*] genitivus pendet ex ὅθεν.

*εἰς τὴν πόλιν*] iungenda sunt cum σημαίνοντας.

*καταφανεῖς εἶναι*] Haec non minus quam ὁρᾶν pendet a δυνατὸν ἦν.

§. 34. *προςπλεόντων — ὁρμούντων*] De omisso subiecto v. ad I, 1, 29.

*κηρύξειεν*] V. ad σημήνειεν §. 28.

*μὴ μέμψεσθαι τὴν δίκην*] non contemnenda poena affectum iri. Sic nostrates ironice: *sie würden mit ihrer Strafe wohl zufrieden sein.* Dind. comparat Herod. VIII, 106: (θεοί) σε ποιήσαντα ἀνόσια νόμῳ δικαίῳ χρεώμενοι ὑπήγαγον ἐς χέρας τὰς ἐμάς, ὥςτε σε μὴ μέμψασθαι τὴν ἀπ' ἐμέο τοι ἐσομένην δίκην, quae tamen verba dubito an rectius Baehrius sic accipiat: ut de poena, quam dabis, queri non possis ut de iniusta, quem sensum indicant verba νόμῳ δικαίῳ χρεώμενοι. Commode vero Hertlinius affert Plat. de Leg. IV, p. 716 B: ὑποσχὼν τιμωρίαν οὐ μεμπτὴν τῇ δίκῃ. Aelian. V. H. XIII, 2 N. ἔτισεν — οὐ μεμπτὴν τὴν δίκην.

*οὐδεὶς — ὅςτις οὐ — τῶν μελλόντων*] V. ad V, 1, 3. δρόμῳ iungas cum εἰςέβη.

῾Ο μέντοι ᾿Ιφικράτης τὰς μὲν τριήρεις ἀκρωτηριασάμε- 36
νος ἕλκων κατηγάγετο εἰς τὸν τῶν Κερκυραίων λιμένα, τῶν δὲ ἀνδρῶν συνέβη ἑκάστῳ τακτὸν ἀργύριον ἀποτῖσαι, πλὴν Κρινίππου τοῦ ἄρχοντος· τοῦτον δ' ἐφύλαττεν ὡς ἢ πραξόμενος πάμπολλα χρήματα ἢ ὡς πωλήσων. Κἀκεῖνος μὲν ὑπὸ λύπης αὐθαιρέτῳ θανάτῳ ἀποθνήσκει, τοὺς δ' ἄλλους ὁ ᾿Ιφικράτης ἀφῆκε, Κερκυραίους ἐγγυητὰς δεξάμενος τῶν χρημάτων. Καὶ τοὺς 37
μὲν ναύτας γεωργοῦντας τοῖς Κερκυραίοις τὸ πλεῖστον διέτρεφε, τοὺς δὲ πελταστὰς καὶ τοὺς ἀπὸ τῶν νεῶν ὁπλίτας ἔχων διέβαινεν εἰς τὴν ᾿Ακαρνανίαν· καὶ ἐκεῖ ταῖς μὲν φιλίαις πόλεσιν ἐπεκούρει, εἴ τίς τι δέοιτο, Θυριεῦσι δὲ μάλα καὶ ἀνδράσιν ἀλκίμοις καὶ χωρίον καρτερὸν ἔχουσιν ἐπολέμει. Καὶ τὸ ἀπὸ Κερκύρας 38
ναυτικὸν προςλαβών, σχεδὸν περὶ ἐνενήκοντα ναῦς, A.Ch
πρῶτον μὲν εἰς Κεφαλληνίαν πλεύσας χρήματα ἐπράξατο, τὰ μὲν παρ' ἑκόντων, τὰ δὲ παρ' ἀκόντων· ἔπειτα δὲ παρεσκευάζετο τήν τε τῶν Λακεδαιμονίων χώραν κακῶς ποιεῖν καὶ τῶν ἄλλων τῶν κατ' ἐκεῖνα πόλεων

§. 36. V. κατήγετο pro κατηγάγετο. — τῶν ante Κερκ. addunt B. D. V. Dind. — Κρινίππου Wessel. ad Diod. XV, 47. Dind., Κνίππου B. D. E. F. I. V. marg. Leoncl. Steph. Wells., ceteri ᾿Ανίππου. — αὐθαιρέτῳ θανάτῳ B. D. V. Dind. pro θαν. αὐθ.

§. 37. V. μὲν ταῖς pro ταῖς μὲν. — τίς τι D. E. F. V. Dind. pro τίς τοῦ; B. om. τι. — Θυριεῦσι Port. Steph. edd. sqq. pro Θυρεῦσι.

§. 38. ἐνενήκοντα B. C. E. F. Dind. pro ἐννεν.

§. 36. ἀκρωτηριασάμενος] ornamentis rostrorum spoliavit. Cf. II, 3, 8.

συνέβη] Vertunt: pactus est, constituit. Immo est: convenit inter eos. Pendet igitur ἑκάστῳ a τακτόν, nisi forte praefers ἕκαστον, quod, referente Dindorfio, proposuit P. van den Es. Neque tamen absurdum videtur singulis captivis diversa imposita esse redemptionis pretia.

ὡς ἢ — ἢ ὡς] Comparans VI, 5, 37 Hertlinius olim aut priori loco ἢ ὡς scribi aut altero loco ὡς deleri voluit, postea mutavit hanc sententiam in adn. ad Anab. V, 7, 32: πῶς ἢ θεοῖς θύσομεν ἡδέως ποιοῦντες ἔργα ἀσεβῆ, ἢ πολεμίοις πῶς μαχούμεθα, ἢν ἀλλήλοις κατακαίνωμεν; V. supra ad III, 5, 5.

§. 37. γεωργοῦντας] ea ratione, ut agros colerent.

διέβαινεν εἰς τήν] V. ad V, 4, 41.

εἴ τίς τι δέοιτο] V. ad III, 1, 1.

μάλα — ἀλκίμοις] De traiecto μάλα v. ad IV, 5, 1.

§. 38. σχεδὸν περί] Cf. ad IV, 1, 18. Hertlinius confert Anab. IV, 8, 75. Cyrop. II, 1, 6. Idem suspicionem movet de navium numero respiciens V, 4, 63—65.

κατ' ἐκεῖνα] V. ad V, 1, 7.

πολεμίων οὐσῶν τὰς μὲν ἐθελούσας προςλαμβάνειν, τοῖς δὲ μὴ πειθομένοις πολεμεῖν.

39 Ἐγὼ μὲν δὴ ταύτην τὴν στρατηγίαν τῶν Ἰφικράτους οὐχ ἥκιστα ἐπαινῶ, ἔπειτα καὶ τὸ προςελέσθαι κελεῦσαι ἑαυτῷ Καλλίστρατόν τε τὸν δημηγόρον, οὐ μάλα ἐπιτήδειον ὄντα, καὶ Χαβρίαν, μάλα στρατηγὸν νομιζόμενον. Εἴτε γὰρ φρονίμους αὐτοὺς ἡγούμενος εἶναι συμβούλους λαβεῖν ἐβούλετο, σῶφρόν μοι δοκεῖ διαπράξασθαι, εἴτε ἀντιπάλους νομίζων, οὕτω θρασέως μήτε καταῤῥαθυμῶν μήτε καταμελῶν μηδὲν φαίνεσθαι μεγαλοφρονοῦντος ἐφ' ἑαυτῷ τοῦτό μοι δοκεῖ ἀνδρὸς εἶναι. Κἀκεῖνος μὲν δὴ ταῦτ' ἔπραττεν.

§. 39. *μηδὲν φαίν.* B. D. E. V. Dind. pro *φαίν. μηδὲν.* — B. D. V. Dind. *μεγάλα φρον.* pro *μεγαλοφρον.* — A. E. F. edd. vett. *δοκῶ* pro *δοκεῖ.*

§. 39. *οὐχ ἥκιστα*] vel maxime. V. ad Comment. I, 2, 23. 32. II, 1, 6. Infra VI, 4, 18: *οὐκ ἐλάχιστον.*

*Καλλίστρατον*] qui Diod. XV, 29. teste a. 377 cum Timotheo, quem postea accusavit, et Chabria imperium gesserat.

*οὐ μάλα ἐπιτήδειον ὄντα*] quanquam non admodum amicus ei erat. Cf. VI, 3, 14.

*μάλα στρατηγόν*] V. ad V, 4, 14.

*σῶφρον*] Ne desideres *τι*, v. Kuehner. ad Comment. I, 2, 30. Anab. III, 2, 38: *εἰ δέ τις ὁρᾷ βέλτιον.* Infra VII, 1, 14: *ἔστιν οὖν — ἰσαίτερον ἢ —.*

*διαπράξασθαι*] *durchgesetzt zu haben.* Ut enim Callistratus et Chabrias collegae sibi adiungerentur, postulaverat et impetraverat.

*οὕτω*] referas ad *ἀντιπάλους νομίζων* ita ut Xenophontem in animo habere putes: aemulos habens, *Nebenbuhlern zur Seite.*

*φαίνεσθαι*] Ad hoc facile intelligitur *ἐβούλετο*, quod cum vi quadam in fine prioris enuntiationis positum est.

*μεγαλοφρονοῦντος*] Infra VII, 1, 27: *μέγα ἐφ' ἑαυτοῖς φρονούντων τῶν συμμάχων.* Cyrop. IV, 2, 5: *βουλομένους αὐτοὺς ὡς μέγιστον φρονεῖν ἐπὶ σφίσιν*, unde Cobet. postulat h. l. *μέγα φρονοῦντος.* Sed *μεγάλα φρονεῖν ἐπί τινι* Graeci nusquam dicunt sensu: magno sibi animo confidere.

# CAPUT III.

## ARGUMENTUM.

Athenienses a Thebanis offensi optimum putabant eos invitare ad pacem cum Lacedaemoniis faciendam. Itaque et ipsi cum sociis legatos Spartam miserunt, et Thebani, Boeotorum omnium, ut ipsi quidem volebant, nomine iuraturi. Postquam Callistratus praeter alios oratores dixerat, his legibus pax convenit, ut Lacedaemonii harmostas undique revocarent, exercitus omnes dimitterent, civitatibus libertatem redderent, liceret, si quis haec migraret, succurrere violatis. Iurarunt itaque Lacedaemonii suo sociorumque nomine, Athenienses autem per se, ut et ipsorum civitates sociae. In Thebanis vero res manebat ambigua.

---

*Οἱ δὲ Ἀθηναῖοι, ἐκπεπτωκότας μὲν ὁρῶντες ἐκ τῆς* 1
*Βοιωτίας Πλαταιέας, φίλους ὄντας, καταπεφευγότας πρὸς αὐτούς, ἱκετεύοντας δὲ Θεσπιέας μὴ σφᾶς περιιδεῖν ἀπόλιδας γενομένους, οὐκέτι ἐπῄνουν τοὺς Θηβαίους, ἀλλὰ πολεμεῖν μὲν αὐτοῖς τὰ μὲν ᾐσχύνοντο, τὰ δὲ ἀσυμφόρως ἔχειν ἐλογίζοντο· κοινωνεῖν γε μὴν αὐτοῖς ὧν ἔπραττον οὐκέτι ἤθελον, ἐπεὶ ἑώρων στρατεύοντάς τε αὐτοὺς ἐπὶ φίλους ἀρχαίους τῇ πόλει Φωκέας καὶ πόλεις πιστάς τ' ἐν τῷ πρὸς τὸν βάρβαρον πολέμῳ καὶ φίλας ἑαυτοῖς ἀφανίζοντας. Ἐκ τούτων* 2
*δὲ ψηφισάμενος ὁ δῆμος εἰρήνην ποιήσασθαι, πρῶτον μὲν εἰς Θήβας πρέσβεις ἔπεμψε παρακαλοῦντας ἀκο-*

Cap. III. §. 1. B. D. *πρὸς αὐτοὺς.* — V. *ὧνπερ ἔπραττον.* — F. *ἐπεὶ δὲ ἑώρων.* — E. F. V. *πιστὰς ἐν τῷ.*

§. 2. *ἐκ τούτων δὲ* B. D. V. Dind. pro *ἐκ δὲ τούτων*; Y. *ἐκ δὴ τούτων.* — B. *εἰρήνην ποιεῖσθαι.* — *ἔπεμψε* B. D. F. V. Dind., *ἔπεμ-*

Cap. III. §. 1. *ἐκπεπτωκότας — Πλαταιέας*] Urbe excisa a Thebanis Plataeenses Athenas confugerant a. 374. Diod. XV, 46. Pausan. IX, 1. Eandem sortem habuisse Thespienses commemorat Diod. l. c., cuius rei causam fuisse quod *συντελεῖν εἰς τὰς Θήβας* noluissent, docet Isocr. orat. Plat. p. 298 C. V. etiam Grotium H. G. V, p. 434. sqq.

*κοινωνεῖν γε μὴν — ἤθελον*] verum esse participes certe — nolebant.

*στρατεύοντας — ἐπὶ — Φωκέας*] V. VI, 1, 1.

*πιστάς — πολέμῳ*] Plataeenses, qui soli cum Atheniensibus

λουθεῖν, εἰ βούλοιντο, εἰς Λακεδαίμονα περὶ εἰρήνης· ἔπειτα δὲ ἐξέπεμψαν καὶ αὐτοὶ πρέσβεις. Ἦν δὲ τῶν αἱρεθέντων Καλλίας Ἱππονίκου, Αὐτοκλῆς Στρομβι-
a. 371. χίδου, Δημόστρατος Ἀριστοφῶντος, Ἀριστοκλῆς, Κη-
3 φισόδοτος, Μελάνωπος, Λύκαιθος. Καὶ Καλλίστρατος δὲ ὁ δημηγόρος παρῆν· ὑποσχόμενος γὰρ Ἰφικράτει, εἰ αὐτὸν ἀφείη, ἢ χρήματα πέμψειν τῷ ναυτικῷ ἢ εἰρήνην ποιήσειν, οὕτως Ἀθήνησί τε ἦν καὶ ἔπραττε περὶ εἰρήνης· ἐπεὶ δὲ κατέστησαν ἐπὶ τοὺς ἐκκλήτους τε τῶν Λακεδαιμονίων καὶ τοὺς συμμάχους, πρῶτος ἔλεξεν αὐτῶν Καλλίας ὁ δᾳδοῦχος. Ἦν δὲ οὗτος οἷος μηδὲν ἧσσον ἥδεσθαι ὑφ᾽ αὑτοῦ ἢ ὑπ᾽ ἄλλων ἐπαινούμενος· καὶ τότε δὴ ἤρξατο ὧδέ πως.

4 Ὦ ἄνδρες Λακεδαιμόνιοι, τὴν μὲν προξενίαν ὑμῶν οὐκ ἐγὼ μόνος, ἀλλὰ καὶ πατρὸς πατὴρ πατρῴαν ἔχων παρεδίδου τῷ γένει. Βούλομαι δὲ καὶ τοῦτο ὑμῖν δηλῶσαι, ὡς ἔχουσα ἡ πόλις διατελεῖ πρὸς ἡμᾶς. Ἐκείνη γάρ, ὅταν μὲν πόλεμος ᾖ, στρατηγοὺς ἡμᾶς αἱρεῖται, ὅταν δὲ ἡσυχίας ἐπιθυμήσῃ, εἰρηνοποιοὺς ἡμᾶς ἐκπέμπει. Κἀγὼ πρόσθεν δὶς ἤδη ἦλθον περὶ πολέμου καταλύσεως καὶ ἐν ἀμφοτέραις ταῖς πρεσβείαις διεπραξάμην καὶ ὑμῖν καὶ ἡμῖν εἰρήνην· νῦν δὲ τρίτον ἥκω καὶ

ψεν C. E., ἔπεμψαν ceteri. — Στρομβιχίδου Leoncl. edd. sqq. pro Στρομβιχίδης. — Λύκαιθος B. F. I. V. Dind. pro Λύκανθος. — Quae vulgo leguntur post Λύκαιθος verba ἐπεὶ δὲ προσῆλθον ἐπὶ τοὺς ἐκκλήτους τε τῶν Λακεδαιμονίων καὶ τοὺς συμμάχους, orta ex dittographia proximorum ἐπεὶ δὲ — συμμάχους delevi.

§. 3. A. C. D. E. F. V. edd. vett. τῶν συμμάχων pro τοὺς συμμάχους. — καὶ ante Καλλίστρ. addunt Koeppen. Dind. — ἀφείη D. E. F. Dind., ἀφίει B. I. Schneid., ἀφίῃ V., ἀφήσει ceteri. — Dind. ἧττον pro ἧσσον.

§. 4. καὶ τοῦτο ὑμῖν δηλ. B. D. Dind. pro ὑμῖν κ. τ. δηλ., Schneid. κ. τ. δηλ. ὑμῖν. — γάρ, ὅταν μὲν B. Dind. pro μὲν γάρ, ὅταν. — καὶ ὑμῖν καὶ ἡμῖν B. C. D. F. V. Dind. pro κ. ἡμῖν κ. ὑμῖν, E. F. om. καὶ ἡμῖν.

apud Marathonem contra Persas pugnaverant.

§. 2. καὶ αὐτοί] Athenienses.

§. 3. Καλλίστρατος] V. VI, 2, 39.

Ἀθήνησί τε ἦν] Ab Iphicrate Athenas missus inde ipse cum legatis Spartam abiit.

τοὺς ἐκκλήτους] V. ad II, 4, 38. Cf. ad III, 3, 8.

§. 4. οὐκ ἐγὼ μόνος] Intellige ἔχω ex sequenti ἔχων. Nam in ἔχων maior est vis quam in παρεδίδου et dici poterat etiam εἶχε καὶ παρεδίδου.

ἡγοῦμαι πολὺ δικαιότατα νῦν ἂν διαλλαγῆς τυχεῖν.
Ὁρῶ γὰρ οὐκ ἄλλα μὲν ὑμῖν, ἄλλα δὲ ἡμῖν δοκοῦντα, 5
ἀλλ' ὑμᾶς τε ἀχθομένους καὶ ἡμᾶς τῇ Πλαταιῶν τε καὶ
Θεσπιῶν ἀναιρέσει. Πῶς οὖν οὐκ εἰκὸς τὰ αὐτὰ γι-
γνώσκοντας φίλους μᾶλλον ἀλλήλοις ἢ πολεμίους εἶ-
ναι; Καὶ σωφρόνων μὲν δήπου ἐστὶ μηδὲ εἰ μικρὰ τὰ
διαφέροντα εἴη πόλεμον ἀναιρεῖσθαι· εἰ δὲ δὴ καὶ ὁμο-
γνωμονοῖμεν, οὐκ ἂν πάνυ τῶν θαυμαστῶν εἴη μὴ εἰ-
ρήνην ποιεῖσθαι; Δίκαιον μὲν οὖν ἦν μηδὲ ὅπλα ἐπι- 6
φέρειν ἀλλήλοις ἡμᾶς, ἐπεὶ λέγεται μὲν Τριπτόλεμος ὁ
ἡμέτερος πρόγονος τὰ Δήμητρος καὶ Κόρης ἄῤῥητα
ἱερὰ πρώτοις ξένοις δεῖξαι Ἡρακλεῖ τε τῷ ὑμετέρῳ ἀρ-
χηγέτῃ καὶ Διοσκόροιν τοῖν ὑμετέροιν πολίταιν, καὶ
τοῦ Δήμητρος δὲ καρποῦ εἰς πρώτην τὴν Πελοπόννησον
σπέρμα δωρήσασθαι. Πῶς οὖν δίκαιον ἢ ὑμᾶς, παρ'

§. 5. *Πλαταιῶν* — *Θεσπιῶν* Dind. pro *Πλαταιέων* — *Θεσπιέων*. — *ἀλλήλοις* addunt B. D. H. I. V. Leoncl. edd. sqq. praeter Morum. — Ante *μικρὰ* B. D. E. F. V. Schneid. Dind. om. *μή*.

§. 6. *πρώτοις* Grammius Hist. deor. p. 54. Schneid. edd. sqq. pro *πρῶτος*. — *Διοσκόροιν* Dind. pro *Διοσκούροιν*. — *ποτε καρπὸν* B. D.

§. 5. *εἰ μικρὰ — εἴη*] si controversiae oriantur, dummodo sint minus graves. Ita recte: nam sanam, si sequentia consideras, non exhibet sententiam vulgata lectio *εἰ μὴ μικρά*.

*πόλεμον ἀναιρεῖσθαι*] Cobet: *πόλεμον αἵρεσθαι*. Sed hoc est bellum suscipere, illud bellum incipere, quod apparet e contrario, quod sequitur, *εἰρήνην ποιεῖσθαι*. Cf. Anab. V, 7, 27: *ἀνελέσθαι πόλεμον* —, *καταλῦσαι*. Herod. V, 36. Thuc. IV, 60, 2.

*τῶν θαυμαστῶν*] De genitivo v. Buttm. §. 132. 5. c. Rost. §. 162. 2. I. additam. 1. Kuehn. §. 273. 3.

§. 6. *δίκαιον — ἦν*] aequum erat, sine *ἄν*. V. Buttm. §. 139. ann. 3. Rost. gr. mai. §. 120. ann. 2. Kuehn. §. 260. ann. 3.

*τὰ Δήμητρος — ἄῤῥητα*] mysteria Eleusinia, quorum *δᾳδοῦχος* Callias erat (§. 3).

*Ἡρακλεῖ — ἀρχηγέτῃ*] Cf. Ages. I, 2. Triptolemus Herculem initiavisse traditur mysteriis, de qua re *δεικνύναι* verbum proprium.

*Διοσκόροιν*] Formam *Διόσκουροι* damnant Phryn. eiusque interpres Lobeck. p. 235 et Bornem. ad Symp. VIII, 29.

*δίκαιον*] Argumentum a fructu communicato cum reliqua Graecia ab Atheniensibus non adeo leve videbitur, si memineris a reliquis Graeciae civitatibus quotannis frugum primitias Athenas fuisse missas, monente saepe Pythiae oraculo eas, quae curam eam omittebant, teste Isocr. Paneg. c. 7. Schneider.

*ἢ ὑμᾶς — ἡμᾶς τε*] Non dicendum est, respondere *τε* antecedenti *ἤ*, sed cogitatione liberius mutata transiri ab una particula ad alteram. Saepius vero a *τε* transitur ad *ἤ*, velut Comment. I, 7, 3: *κυβερνᾶν τε κατασταθεὶς ὁ μὴ ἐπιστάμενος ἢ στρατηγεῖν*

ὧν ἐλάβετε σπέρματα, τὸν τούτων ποτὲ καρπὸν ἐλθεῖν δῃώσοντας, ἡμᾶς τε, οἷς ἐδώκαμεν, μὴ οὐχὶ βούλεσθαι ὡς πλείστην τούτοις ἀφθονίαν τροφῆς γενέσθαι; Εἰ δὲ ἄρα ἐκ θεῶν πεπρωμένον ἐστὶ πολέμους ἐν ἀνθρώποις γίγνεσθαι, ἡμᾶς δὲ χρὴ ἄρχεσθαι μὲν αὐτοῦ ὡς σχολαίτατα, ὅταν δὲ γένηται, καταλύεσθαι ᾗ δυνατὸν τάχιστα.

7 Μετὰ τοῦτον Αὐτοκλῆς, μάλα δοκῶν ἐπιστρεφὴς εἶναι ῥήτωρ, ὧδε ἠγόρευεν. Ἄνδρες Λακεδαιμόνιοι, ὅτι μὲν ἃ μέλλω λέγειν οὐ πρὸς χάριν ὑμῖν ῥηθήσεται, οὐκ ἀγνοῶ· ἀλλὰ δοκεῖ μοι, οἵτινες βούλονται, ἣν ἂν ποιήσωνται φιλίαν, ταύτην ὡς πλεῖστον χρόνον διαμένειν, διδακτέον εἶναι ἀλλήλους τὰ αἴτια τῶν πολέμων. Ὑμεῖς δὲ ἀεὶ μὲν φατε, ὡς αὐτονόμους τὰς πόλεις χρὴ εἶναι, αὐτοὶ δ' ἐστὲ μάλιστα ἐμποδὼν τῇ αὐτονομίᾳ. Συντίθεσθε μὲν γὰρ πρὸς τὰς συμμαχίδας πόλεις τοῦ-
8 το πρῶτον, ἀκολουθεῖν ὅποι ἂν ὑμεῖς ἡγῆσθε. Καίτοι τί τοῦτο αὐτονομίᾳ προσήκει; Ποιεῖσθε δὲ πολεμίους οὐκ ἀνακοινούμενοι τοῖς συμμάχοις καὶ ἐπὶ τούτους ἡγεῖσθε· ὥστε πολλάκις ἐπὶ τοὺς εὐμενεστάτους ἀναγκάζονται στρατεύειν οἱ λεγόμενοι αὐτόνομοι εἶναι. Ἔτι δὲ τὸ πάντων ἐναντιώτατον αὐτονομίᾳ, καθίστατε ἔνθα μὲν δεκαρχίας, ἔνθα δὲ τριακονταρχίας· καὶ τούτων τῶν ἀρχόντων ἐπιμελεῖσθε οὐχ ὅπως νομίμως ἄρ-

H. V. Dind. pro *καρπόν ποτε*. — *γίγνεσθαι* B. D. Schneid. edd. sqq. pro *γίνεσθαι*. — Steph. edd. sqq. *ἡμᾶς δὴ* pro *ἡμᾶς δέ*. — H. V. *σχολαιότατα*.

§. 7. H. om. *μοι* post *δοκεῖ*. — F. H. V. om. *ὡς* post *φατε*.

§. 8. A. C. E. Ald. Iunt. Cast. *ἐπὶ τούτοις ἡγεῖσθε*. — E. *τυραννεῦσαι* pro *τυραννίσι*.

*ἀπολέσειεν ἂν οὓς ἥκιστα βούλοιτο*. Oecon. XX, 12: *καὶ ὁπόσα δὲ θεραπείας δεῖται ἡ γῆ, ὑγροτέρα τε οὖσα, πρὸς τὸν σπόρον ἢ ἁλμωδεστέρα πρὸς φυτείαν*. Heindorf. ad Plat. Theaet. p. 143 C: *περὶ αὑτοῦ τε ὁπότε λέγοι ὁ Σωκράτης — ἢ αὖ περὶ τοῦ ἀποκρινομένου*. Rost. gr. mai. §. 131. ann. 1. extr.

*ἡμᾶς δέ*] De particula in apodosi posita v. ad III, 3, 7. IV, 1, 33.

§. 7. *διδακτέον*] Ex praecedenti pronomine relativo intelligas *τούτους* ad *διδακτέον*. V. adn. ad Comment. III, 11, 1. Buttm. §. 134. ann. 4. Rost. gr. mai. §. 110 b. 2. Kuehner. §. 284. ann. 7.

*φατε, ὡς*] Perraro *φάναι* iungitur cum *ὡς* vel *ὅτι*, apud Xenophontem, quod scio, praeter hunc locum nusquam.

χωσιν, ἀλλ' ὅπως δύνωνται βίᾳ κατέχειν τὰς πόλεις.
Ὥςτ' ἐοίκατε τυραννίσι μᾶλλον ἢ πολιτείαις ἡδόμενοι.
Καὶ ὅτε μὲν βασιλεὺς προςέταττεν αὐτονόμους τὰς πό- 9
λεις εἶναι, μάλα γιγνώσκοντες ἐφαίνεσθε, ὅτι, εἰ μὴ ἐά-
σοιεν οἱ Θηβαῖοι ἑκάστην τῶν πόλεων ἄρχειν τε ἑαυτῆς
καὶ οἷς ἂν βούληται νόμοις χρῆσθαι, οὐ ποιήσουσι κατὰ
τὰ βασιλέως γράμματα· ἐπεὶ δὲ παρελάβετε τὴν Καδ-
μείαν, οὐδ' αὐτοῖς Θηβαίοις ἐπετρέπετε αὐτονόμους
εἶναι. Δεῖ δὲ τοὺς μέλλοντας φίλους ἔσεσθαι οὐ παρὰ
τῶν ἄλλων μὲν ἀξιοῦν τῶν δικαίων τυγχάνειν, αὐτοὺς δὲ
ὅπως ἂν πλεῖστα δύνωνται πλεονεκτοῦντας φαίνεσθαι.

Ταῦτα εἰπὼν σιωπὴν μὲν παρὰ πάντων ἐποίησεν, 10
ἡδομένους δὲ τοὺς ἀχθομένους τοῖς Λακεδαιμονίοις
ἐποίησε. Μετὰ τοῦτον Καλλίστρατος ἔλεξεν, Ἀλλ'
ὅπως μέν, ὦ ἄνδρες Λακεδαιμόνιοι, οὐκ ἐγγεγένηται
ἁμαρτήματα καὶ ἀφ' ἡμῶν καὶ ἀφ' ὑμῶν ἐγὼ μὲν οὐκ
ἂν ἔχειν μοι δοκῶ εἰπεῖν· οὐ μέντοι οὕτω γιγνώσκω,
ὡς τοῖς ἁμαρτάνουσιν οὐδέποτε ἔτι χρηστέον· ὁρῶ
γὰρ τῶν ἀνθρώπων οὐδένα ἀναμάρτητον διατελοῦν-
τα· δοκοῦσι δέ μοι καὶ εὐπορώτεροι ἐνίοτε γίγνεσθαι

§. 9. *ἐάσοιεν* B. Dind. pro *ἐάσαιεν*. — *οὐδ' αὐτοῖς* Cast. Schneid. edd. sqq. cum codd., ceteri *οὐδ' αὖ τοῖς*. — *ἐπετρέπετε* F. et edd. praeter Steph., *ἐπιτρέπετε* ceteri.

§. 10. Post *μετὰ τοῦτον* B. C. D. F. V. Dind. om. *δὲ*.

§. 8. *ἐοίκατε — ἡδόμενοι*] Cobet. *ἡδομένοις*. Sed v. Kuehner. ad Anab. III, 5, 13. Comment. IV, 3, 8. Rost. §. 184. ann. 11. Krueger. gr. §. 56, 4, 9.

*πολιτείαις*] liberis civitatibus.

§. 9. *βασιλεὺς προςέταττε*] V. V, 1, 31.

*αὐτοῖς Θηβαίοις*] ipsis adeo Thebanis, quibus antea irascebamini, quod civitates Boeoticas sui iuris esse pati nollent.

*ὅπως — πλεονεκτοῦντας*] Dicitur *ὅπως*, quasi *ἐπιμελουμένους* vel *σπουδάζοντας* sequatur pro *πλεονεκτοῦντας*, in quo tamen verbo studii aliqua notio inest. Quare nolis cum Dindorfio *ὅπως* mutare in *ὁπόσ'*.

§. 10. *ἐποίησεν — ἐποίησε*] V. ad III, 4, 24.

*μετὰ τοῦτον*] De asyndeto v. ad V, 2, 12.

*ἐγγεγένηται — ἀφ' ἡμῶν*] V. ad V, 4, 60.

*ὡς — χρηστέον*] scil. *ὄν*. Est enim accusativus absolutus. V. ad IV, 3, 14. V, 1, 25, ubi erant genitivi. De omisso *ὄν* v. Buttm. §. 145. ann. 10. 2. Rost. §. 131. ann. 4.

*ἀναμάρτητον*] qui nihil non recte, nihil iniuste fecerit. V. excurs. ad Ages. X, 4. p. 100.

*διατελοῦντα*] De omisso *ὄντα* v. gramm. cit. ad IV, 3, 3. Cf. Comment. I, 6, 2: *ἀνυπόδητος τε καὶ ἀχίτων διατελεῖς*. Cyrop. I, 5, 10. infra VII, 3, 1.

*εὐπορώτεροι*] commodio-

ἄνθρωποι ἁμαρτάνοντες, ἄλλως τε καὶ ἐὰν κολασθῶ
11 σιν ὑπὸ τῶν ἁμαρτημάτων ὡς ἡμεῖς. Καὶ ὑμῖν δὲ ἔγω-
γε ὁρῶ διὰ τὰ ἀγνωμόνως πραχθέντα ἔστιν ὅτε πολλὰ
ἀντίτυπα γιγνόμενα· ὧν ἦν καὶ ἡ καταληφθεῖσα ἐν
Θήβαις Καδμεία· νῦν γοῦν, ὡς ἐσπουδάσατε αὐτονό-
μους τὰς πόλεις γενέσθαι, πᾶσαι πάλιν, ἐπεὶ ἠδικήθη-
σαν οἱ Θηβαῖοι, ἐπ' ἐκείνοις γεγένηνται. Ὥςτε πεπαι-
δευμένους ἡμᾶς, ὡς τὸ πλεονεκτεῖν ἀκερδές ἐστι, νῦν
ἐλπίζω πάλιν μετρίους ἐν τῇ πρὸς ἀλλήλους φιλίᾳ ἔσε-
12 σθαι. Ἃ δὲ βουλόμενοί τινες ἀποτρέπειν τὴν εἰρήνην
διαβάλλουσιν, ὡς ἡμεῖς οὐ φιλίας δεόμενοι, ἀλλὰ φο-
βούμενοι, μὴ Ἀνταλκίδας ἔλθῃ ἔχων παρὰ βασιλέως
χρήματα, διὰ τοῦθ' ἥκομεν, ἐνθυμήθητε, ὡς φλυαροῦ-
σι. Βασιλεὺς μὲν γὰρ δήπου ἔγραψε πάσας τὰς ἐν τῇ
Ἑλλάδι πόλεις αὐτονόμους εἶναι· ἡμεῖς δὲ ταὐτὰ ἐκεί-
νῳ λέγοντές τε καὶ πράσσοντες τί ἂν φοβοίμεθα βασι-
λέα; Ἢ τοῦτο οἴεταί τις, ὡς ἐκεῖνος βούλεται χρήματα
ἀναλώσας ἄλλους μεγάλους ποιῆσαι μᾶλλον ἢ ἄνευ δα-
πάνης ἃ ἔγνω ἄριστα εἶναι, ταῦτα ἑαυτῷ πεπρᾶχθαι;
13 Εἶεν· τί μὴν ἥκομεν; Ὅτι μὲν οὖν οὐκ ἀποροῦντες

§. 11. Post ἔστιν ὅτε B. C. D. E. F. H. I. Dind. om. καί.

§. 12. E. Ἃ δή. — πράσσοντες B. D. pro πράττ. — βούλεται post ἐκεῖνος addunt B. Schneid. Dind.

§. 13. A. E. F. Ald. Iunt. Cast. om. οὖν post μέν. — θάλασσαν B. D. E. F. pro θάλατταν.

res, faciliores. Cf. Oecon. IX, 5.

§. 11. ὧν] referas ad τὰ ἀγνωμόνως πραχθέντα.

ὡς ἐσπουδάσατε] Vertunt: etiamsi vel quamvis vel quum studiose egeritis. Sed nihil tale significat ὡς. Scribendum potius ἃς pro ὡς et delendum τὰς, quod illatum est ante πόλεις postquam ἃς depravatum erat. Sic demum quam desideramus evadit sententia: easdem urbes, quas Lacedaemonii in libertatem vindicare voluerunt, nunc rursus Thebanorum imperio esse subiectas.

§. 12. ἃ — διαβάλλουσιν] esse potest aut quae criminantes dicunt, aut quodsi criminantur, ut erat II, 3, 45: ἃ δ' αὖ εἶπεν, ὡς ἐγώ εἰμι οἷος ἀεί ποτε μεταβάλλεσθαι, κατανοήσατε καὶ ταῦτα.

διὰ τοῦθ'] V. ad Hier. IV, 6: πλείω ἔχων τῶν ἰδιωτῶν κτήματα ὁ τύραννος, διὰ τοῦτο καὶ πλείω ἀπ' αὐτῶν εὐφραίνεται. Supra ad II, 3, 43.

ἔγραψε] Supra §. 9. erat προςέταττε. Cf. VII, 1, 36: τί βούλοιτο ἑαυτῷ γραφῆναι.

§. 13. Εἶεν] verum esto, h. e. quid sentiatis de regis voluntate atque consilio nihil curo.

τί μήν] cur vero. Deinceps τί μήν vertas: quid tandem. Cf. VII, 3, 7. Cyrop. VIII, 4, 10.

ὅτι — ἀποροῦντες] scil. ἥκομεν.

γνοίητε ἄν, εἰ μὲν βούλεσθε, πρὸς τὰ κατὰ θάλασσαν ἰδόντες, εἰ δὲ βούλεσθε, πρὸς τὰ κατὰ γῆν ἐν τῷ παρόντι. Τί μὴν ἐστιν· Εὔδηλον, ὅτι [εἰ] τῶν συμμάχων τινὲς οὐκ ἀρεστὰ πράττουσιν ἡμῖν ἢ ὑμῖν ἀρεστά. Ἴσως δὲ καὶ βουλοίμεθ' ἂν ὧν ἕνεκα περιεσώσατε ἡμᾶς ἃ ὀρθῶς ἔγνωμεν ὑμῖν ἐπιδεῖξαι. Ἵνα δὲ καὶ τοῦ συμ- 14
φόρου ἔτι ἐπιμνησθῶ, εἰσὶ μὲν δήπου πασῶν τῶν πόλεων αἱ μὲν τὰ ὑμέτερα, αἱ δὲ τὰ ἡμέτερα φρονοῦσαι, καὶ ἐν ἑκάστῃ πόλει οἱ μὲν λακωνίζουσιν, οἱ δὲ ἀττικίζουσιν. Εἰ οὖν ἡμεῖς φίλοι γενοίμεθα, πόθεν ἂν εἰκότως χαλεπόν τι προςδοκήσαιμεν; Καὶ γὰρ δὴ κατὰ γῆν μὲν τίς ἂν ὑμῶν φίλων ὄντων ἱκανὸς γένοιτο ἡμᾶς λυ-

§. 14. ὑμέτερα — ἡμέτερα B. D. F. H. V. Dind. pro ἡμέτ. — ὑμέτ. — θάλασσαν B. D. pro θάλατταν.

ὅτι [εἰ] — οὐκ ἀρεστὰ — ἡμῖν ἢ ὑμῖν ἀρεστά] Steph. emendabat πράττουσιν ὑμῖν, ἀλλ' οὐδ' ἡμῖν ἀρεστά, Leonclav. ἡμῖν οὐδὲ ὑμῖν, Morus μᾶλλον ante ἢ ὑμῖν inserenda, Portus ἢ ἡμῖν ἀρεστὰ delenda censebat. Haec omnia mihi non magis quam Dindorfio satis faciunt. Antecedentia considerans, ubi dixit orator, suas opes et mari et terra non debilitatas esse, facile opineris, sermonem hic esse de fortuna sociorum, 'qui velut Corcyraei, Zacynthii et qui Peloponnesi littora incolebant diuturno bello multa mala passi erant. Quid igitur si deleto εἰ, quod e praecedenti littera ortum est, οὐκ ἀρεστὰ in οὐκ ἄριστα mutemus (cf. var. lect. Comment. III, 11, 10) deinde ἢ in καί, quae voculae a librariis saepissime permutantur, et alterum ἀρεστά, quod intrusum videtur propterea quod ἢ hoc additamentum postularet, exstinguamus? Scribas igitur: εὔδηλον, ὅτι τῶν συμμάχων τινὲς οὐκ ἄριστα πράττουσιν (καὶ) ἡμῖν καὶ ὑμῖν, h. e. patet, socios nonnullos in statu non prosperrimo, i. e. admodum tristi (v. ad οὐχ ἥκιστα VI, 2, 39) esse et nobis et vobis.

ὧν ἕνεκα] h. e. τούτων ἕνεκα, ὅτι, ut VI, 5, 43. Exspectaveris utroque loco fortasse οὗ ἕνεκα, sed cf. Ages. I, 24. II, 7 ad ταῦτα, quod videtur esse pro τοῦτο. Kuehn. gr. §. 241. ann. 3. Sensus autem verborum est paullo obscurior. Ni fallor, hoc dicit Callistratus: Fortasse vero velimus etiam propterea, quod conservastis nos, ostendere vobis quae recte iudicamus (de ea ratione, quae intercedere debeat inter Spartanos et Athenienses). Eo ducunt quae legimus II, 2, 20: Λακεδαιμόνιοι δὲ οὐκ ἔφασαν πόλιν Ἑλληνίδα ἀνδραποδιεῖν μέγα ἀγαθὸν εἰργασμένην ἐν τοῖς μεγίστοις κινδύνοις γενομένοις τῇ Ἑλλάδι. Cf. etiam VI, 5, 43. Tectius igitur illis verbis Callistratus reprehendere videtur Spartanos, qui iterum opes a rege Persarum per Antalcidam petiisse dicantur, cuius rei fama firmatur a Diod. XV, 50, quo teste Artaxerxes tunc iterum legatos in Graeciam misit, qui componerent Graecorum discordias sub iisdem conditionibus, de quibus convenisset a. 387. Deinde vero transit orator ad utilitatem, quae ex societate inter Spartanos et Athenienses iuncta utrisque redundatura sit.

περιεσώσατε ἡμᾶς] Cf. etiam II, 3, 25. 41.

πῆσαι; Κατὰ θάλασσάν γε μὴν τίς ἂν ὑμᾶς βλάψαι τι,
15 ἡμῶν ὑμῖν ἐπιτηδείων ὄντων; Ἀλλὰ μέντοι, ὅτι μὲν πόλεμοι ἀεί ποτε γίγνονται καὶ ὅτι καταλύονται πάντες ἐπιστάμεθα, καὶ ὅτι ἡμεῖς, ἂν μὴ νῦν, ἀλλ' αὖθίς ποτε εἰρήνης ἐπιθυμήσομεν. Τί οὖν δεῖ ἐκεῖνον τὸν χρόνον ἀναμένειν, ἕως ἂν ὑπὸ πλήθους κακῶν ἀπείπωμεν, μᾶλλον ἢ οὐχ ὡς τάχιστα πρίν τι ἀνήκεστον γενέσθαι τὴν
16 εἰρήνην ποιήσασθαι; Ἀλλὰ μὴν οὐδ' ἐκείνους ἔγωγ' ἐπαινῶ, οἵτινες ἀγωνισταὶ γενόμενοι καὶ νενικηκότες ἤδη πολλάκις καὶ δόξαν ἔχοντες οὕτως φιλονεικοῦσιν, ὥςτε οὐ πρότερον παύονται, πρὶν ἂν ἡττηθέντες τὴν ἄσκησιν καταλύσωσιν, οὐδέ γε τῶν κυβευτῶν οἵτινες αὖ, ἐὰν ἕν τι ἐπιτύχωσι, περὶ διπλασίων κυβεύουσιν· ὁρῶ γὰρ καὶ τῶν τοιούτων τοὺς πλείους ἀπόρους παν-
17 τάπασι γιγνομένους. Ἃ χρὴ καὶ ἡμᾶς ὁρῶντας εἰς μὲν τοιοῦτον ἀγῶνα μηδέποτε καταστῆναι, ὥςτε ἢ πάντα λαβεῖν ἢ πάντ' ἀπολαβεῖν, ἕως δὲ καὶ ἐῤῥώμεθα καὶ εὐτυχοῦμεν, φίλους ἀλλήλοις γενέσθαι. Οὕτω γὰρ ἡμεῖς τ' ἂν δι' ὑμᾶς καὶ ὑμεῖς δι' ἡμᾶς ἔτι μείζους ἢ τὸν παρελθόντα χρόνον ἐν τῇ Ἑλλάδι ἀναστρεφοίμεθα.

§. 15. *ὅτι μὲν* post *μέντοι* addunt B. C. D. E. F. H. Steph. Dind. — Post *ἀνήκεστον* B. C. D. E. F. I. V. Dind. om. *κακόν*.

§. 16. *οὕτως* B. D. pro *οὕτω*. — *ἐπιτύχωσι* marg. Leoncl. Schneid. Dind. pro *ἀποτύχωσι*.

§. 17. *ἢ* post *ὥςτε* addit Dind. — *καὶ* ante *ἐῤῥώμεθα* addunt B. C. D. E. F. H. I. V. Schneid. Dind.

§. 14. *γε μήν*] V. ad V, 4, 1.

§. 15. *ἀλλὰ μέντοι*] Per haec transitus fit ad novum argumentum.

*ὅτι μέν*] Non sequitur particula adversativa. V. ad VI, 4, 20. In mente scriptor videtur habuisse: *αὖθις δὲ ποτε εἰρήνης ἐπιθυμήσομεν*. Formam autem sententiae mutavit.

*ἢ οὐχ — ποιήσασθαι*] Post *μᾶλλον* cum negatione coniunctum pro *ἤ* interdum ponitur *ἢ οὐ*. V. Poppo ad Thuc. II, 62, 3: *οὐδ' εἰκὸς χαλεπῶς φέρειν — μᾶλλον ἢ οὐ ὀλιγωρῆσαι*. III, 36, 4. Herod. IV, 118. V, 94. VII, 16, 3. Lobeck. ad Soph. Ai. 1237. Kuehn. gr. §. 318. adn. 7. H. l. vis negativa est in interrogatione.

§. 16. *τὴν ασκησιν*] „proprie de athletis dicitur.“ Kuehn. ad Comment. III, 14, 3. Ibidem III, 7, 7. athletae dicuntur *ἀσκηταί*.

*ἕν τι ἐπιτύχωσι*] V. ad IV, 5, 19.

*ἀπόρους — γιγνομένους*] ad extremam inopiam redigi.

§. 17. *Ἃ*] pendet ab *ὁρῶντας*.

*ὥςτε — ἀποβαλεῖν*] Cf. VI, 4, 22.

*ἀναστρεφοίμεθα*] proprie versabimur, h. e. vivemus. Dindorf. comparat VII, 3, 2. Anab. II, 5, 14: *εἰ δέ τίς σε λυποίη, ὡς δεσπότης ἂν ἀναστρέφοιο*.

18 *Δοξάντων δὲ τούτων καλῶς εἰπεῖν, ἐψηφίσαντο καὶ οἱ Λακεδαιμόνιοι δέχεσθαι τὴν εἰρήνην, ἐφ' ᾧ τούς τε ἁρμοστὰς ἐκ τῶν πόλεων ἐξάγειν τά τε στρατόπεδα διαλύειν καὶ τὰ ναυτικὰ καὶ τὰ πεζικὰ τάς τε πόλεις αὐτονόμους ἐᾶν. Εἰ δέ τις παρὰ ταῦτα ποιοίη, τὸν μὲν βουλόμενον βοηθεῖν ταῖς ἀδικουμέναις πόλεσι, τῷ δὲ μὴ βουλομένῳ μὴ εἶναι ἔνορκον συμμαχεῖν τοῖς ἀδικουμένοις.*
19 *Ἐπὶ τούτοις ὤμοσαν Λακεδαιμόνιοι μὲν ὑπὲρ αὑτῶν καὶ τῶν συμμάχων, Ἀθηναῖοι δὲ καὶ οἱ σύμμαχοι κατὰ πόλεις ἕκαστοι. Ἀπογραψάμενοι δ' ἐν ταῖς ὀμωμοκυίαις πόλεσι καὶ οἱ Θηβαῖοι, προςελθόντες πάλιν τῇ ὑστεραίᾳ οἱ πρέσβεις αὐτῶν ἐκέλευον μεταγράφειν ἀντὶ Θηβαίων Βοιωτοὺς ὀμωμοκότας. Ὁ δὲ Ἀγησίλαος ἀπεκρίνατο, ὅτι μεταγράψει μὲν οὐδὲν ὧν τὸ πρῶτον ὤμοσάν τε καὶ ἀπεγράψαντο· εἰ μέντοι μὴ βούλοιντο ἐν ταῖς σπονδαῖς εἶναι, ἐξαλείφειν ἂν ἔφη, εἰ κελεύοιεν.*
20 *Οὕτω δὴ εἰρήνην τῶν ἄλλων πεποιημένων, πρὸς δὲ Θηβαίους μόνους ἀντιλογίας οὔσης, οἱ μὲν Ἀθηναῖοι οὕτως εἶχον τὴν γνώμην, ὡς νῦν Θηβαίους, τὸ λεγόμε-*

§. 18. F. om. *τε* ante *στρατόπεδα.* — In libris et edd. vett. est *εὔορκον.*

§. 19. *Λακ. μὲν* B. Schneid. Dind., *μὲν Λακ.* C. D. E. F. I., ceteri *μὲν οἱ Λακ.*

§. 20. *οὕτω δὴ* C. D. E. F. V. Schneid. Dind. pro *οὕτω δέ.* — *δὴ δεκατ.*, suadente Currerio ad Lucian. Asin. p. 218, dant Schneid. Dind.

§. 18. *μὴ εἶναι ἔνορκοι*] iure iurando non teneri, non cogi.

§. 19. *ἀπογραψάμενοι — οἱ πρέσβεις αὐτῶν*] V. ad IV, 4, 1. 5, 16. V, 4, 41. Secundum Plut. Ages. XXVIII. in legatorum numero erat Epaminondas. Qui quum aequum esse dixisset et pervicaciter postulasset, ut Lacedaemonii non minus Laconiae, quam Thebani Boeotiae urbes sui iuris esse sinerent, Agesilaus *οὕτω τραχέως ἔσχε καὶ τὴν πρόφασιν ἠγάπησεν, ὡς εὐθὺς ἐξαλεῖψαι τὸ τῶν Θηβαίων ὄνομα τῆς εἰρήνης καὶ προειπεῖν πόλεμον αὐτοῖς.*

§. 20. *τὸ λεγόμενον δή*] uti quidem ferebatur. Cf. VI, 5, 35: *ἐὰν δὲ ὑμεῖς καὶ ἡμεῖς ὁμονοήσωμεν, νῦν ἐλπίς, τὸ πάλαι λεγόμενον, δεκατευθῆναι Θηβαίους.* Herod. enim VII, 132, ubi enumeravit eas Graeciae civitates, quae postulantibus Persis terram et aquam dedissent, ex quibus erant Thebani, sic pergit: *ἐπὶ τούτοις οἱ Ἕλληνες ἔταμον ὅρκιον οἱ τῷ βαρβάρῳ πόλεμον ἀειράμενοι. Τὸ δὲ ὅρκιον ὧδε εἶχε· ὅσοι τῷ Πέρσῃ ἔδοσαν σφέας αὐτοὺς Ἕλληνες ἐόντες μὴ ἀναγκασθέντες καταστάντων σφι εὖ τῶν πρηγμάτων, τούτους δεκατεῦσαι τῷ ἐν Δελφοῖσι θεῷ.*

*δεκατευθῆναι*] De infinitivo aoristi sine *ἂν* posito v. ad III, 5, 10. V, 4, 43.

νον δή, δεκατευθῆναι ἐλπὶς εἴη, αὐτοὶ δὲ οἱ Θηβαῖοι παντελῶς ἀθύμως ἔχοντες ἀπῆλθον.

---

# CAPUT IV.

## ARGUMENTUM.

Thebani quum civitatibus Boeotiae libertatem non redderent, Cleombrotus ephororum iussu adversus eos e Phocide profectus improviso adventu Creusin urbem et duodecim triremes cepit et deinde ad Leuctra castra metatus est. Non longo intervallo castra posuerant Thebani. Utrisque autem commodum videbatur pugnare. Sed infausta omnia ceciderunt Lacedaemoniis, ita ut gravissima clade affligerentur et plus mille suorum amissis in fugam se darent. Ephori de hac re certiores facti collectis undique copiis Archidamum subsidio mittunt. Thebani vero Athenienses permovere student, ut hoc tempore tam commodo poenas a Lacedaemoniis repetant. Sed ab his minus benigne excepti Iasonem excitant. Hic quum venisset in Boeotiam, tam Lacedaemonios quam Thebanos prudenti oratione a bello deterruit. Itaque illi Archidamo obviam profecti domum redierunt. Iason per Phocidem rediens praeter alia ut in hostico hostiliter facta Heracleae munitiones diruit, ut tutior ipsi pateret transitus in Graeciam. Pythia celebrare parat Iason luculenta victimarum copia. Sed dum Pheraeorum equites lustrat, a septem adolescentulis quasi de controversia quadam eum accedentibus interficitur. Ei succedunt in imperio fratres Polydorus et Polyphron et his deinceps Alexander. Hic saevus et domi et foris fraude uxoris periit. Ex quo Tisiphonus imperium tenebat, quo tempore haec scribebat Xenophon.

---

1 Ἐκ δὲ τούτου οἱ μὲν Ἀθηναῖοι τάς τε φρουρὰς ἐκ τῶν πόλεων ἀπῆγον καὶ Ἰφικράτην καὶ τὰς ναῦς μετεπέμποντο καί, ὅσα ὕστερον ἔλαβε μετὰ τοὺς ὅρκους τοὺς ἐν Λακεδαίμονι γενομένους, πάντα ἠνάγκασαν

pro μὴ δεκατ. — αὐτοὶ δὲ, monente Moro, Schneid. edd. sqq. pro αὐτοί τε.

Cap. IV. §. 1. B. C. D. E. F. I. V. marg. Leoncl. ἔλαβον. — Ald. Iunt. Cast. μετὰ ὅρκους τούς.

ἀθύμως ἔχοντες] quod, ut Grotius p. 444 existimat, in re aequa ac iusta ab Atheniensibus non, uti speraverant, adiuti essent.

Cap. IV. §. 1. Ἰφικράτην] V. VI, 2, 38.

ἔλαβε — ἀποδοῦναι] Subiectum est Ἰφικράτης.

ἀποδοῦναι. Λακεδαιμόνιοι μέντοι ἐκ μὲν τῶν ἄλλων 2 πόλεων τούς τε ἁρμοστὰς καὶ τοὺς φρουροὺς ἀπήγαγον, Κλεόμβροτον δὲ ἔχοντα τὸ ἐν Φωκεῦσι στράτευμα καὶ ἐπερωτῶντα τὰ οἴκοι τέλη, τί χρὴ ποιεῖν, Προθόου λέξαντος, ὅτι αὐτῷ δοκοίη διαλύσαντας τὸ στράτευμα κατὰ τοὺς ὅρκους καὶ περιαγγείλαντας ταῖς πόλεσι συμβαλέσθαι εἰς τὸν ναὸν τοῦ Ἀπόλλωνος ὁπόσον βούλοιτο ἑκάστη πόλις, ἔπειτα εἰ μή τις ἐῴη αὐτονόμους τὰς πόλεις εἶναι, τότε πάλιν παρακαλέσαντας, ὅσοι τῇ αὐτονομίᾳ βούλοιντο βοηθεῖν, ἄγειν ἐπὶ τοὺς ἐναντιουμένους· οὕτω γὰρ ἂν ἔφη οἴεσθαι τούς τε θεοὺς εὐμενεστάτους εἶναι καὶ τὰς πόλεις ἥκιστ' ἂν ἄχθεσθαι· ἡ 3
δ' ἐκκλησία ἀκούσασα ταῦτα ἐκεῖνον μὲν φλυαρεῖν ἡγήσατο· ἤδη γάρ, ὡς ἔοικε, τὸ δαιμόνιον ἦγεν· ἐπέστειλαν δὲ τῷ Κλεομβρότῳ μὴ διαλύειν τὸ στράτευμα, ἀλλ' εὐθὺς ἄγειν ἐπὶ τοὺς Θηβαίους, εἰ μὴ αὐτονόμους ἀφίοιεν τὰς πόλεις. [Ὁ δὲ Κλεόμβροτος, ἐπειδὴ ἐπύθετο τὴν εἰρήνην γεγενημένην, πέμψας πρὸς τοὺς ἐφόρους ἠρώτα, τί χρὴ ποιεῖν· οἱ δ' ἐκέλευσαν αὐτὸν στρατεύειν ἐπὶ τοὺς Θηβαίους, εἰ μὴ ἀφίοιεν τὰς Βοιωτίας πόλεις αὐτονόμους.] Ἐπεὶ οὖν ᾔσθετο οὐχ ὅπως τὰς πόλεις ἀφιέντας, ἀλλ' οὐδὲ τὸ στράτευμα διαλύοντας,

§. 2. Post παρακαλέσαντας B. D. E. F. I. Dind. om. τοὺς συμμάχους. — V. om. ἂν post γάρ.

§. 3. Steph. edd. sqq. ἀφιεῖεν, Dind. demum restituit ἀφίοιεν,

§. 2. *Κλεόμβροτον δέ*] In mente habebat Xen. deinceps dicere μὴ διαλύειν τὸ στράτευμα ἐκέλευσαν, quod potuisset, si pro ἡ δ' ἐκκλησία — ἡγήσατο dixisset τῆς δ' ἐκκλησίας — ἡγησαμένης. Sed haec ipsa res gravior videbatur quam quae secundaria enuntiatione exprimeretur; quare iam mutatur structura, quasi verbis οὕτω γὰρ ἂν ἔφη ἄχθεσθαι ad finem sit perducta enuntiatio. Cf. V, 1, 28. VI, 1, 13.

*τὸ ἐν Φωκεῦσι στράτευμα*] V. VI, 1, 1. 2, 1.

*τοῦ Ἀπόλλωνος*] Delii an Delphici, non liquet. Intelliguntur autem pecuniae conferendae ad bellum contra paci repugnantes gerendum.

*ὅσοι — βούλοιντο*] Cf. VI, 3, 18: τῷ δὲ μὴ βουλομένῳ κ.τ.λ.

*οὕτω γὰρ ἂν*] Abesse quidem posse ἄν, quod ad εἶναι pertinet, videbis ex adn. ad II, 3, 14. Hier. V, 3. Sed non tanti est codicis V. auctoritas.

§. 3. *τὸ δαιμόνιον ἦγε*] Haec explicavi in Praef. fasc. prioris p. XV.

*ὁ δὲ Κλεόμβροτος — αὐτονόμους*] Haec verba ex superioribus temere repetita tollenda sunt e verborum contextu.

*οὐχ ὅπως — ἀλλ' οὐδέ*] non solum —, sed ne — quidem.

ὡς ἀντιτάττοιντο πρὸς αὐτόν, οὕτω δὴ ἄγει τὴν στρατιὰν εἰς τὴν Βοιωτίαν. Καὶ ᾗ μὲν οἱ Θηβαῖοι ἐμβαλεῖν αὐτὸν ἐκ τῶν Φωκέων προςεδόκων καὶ ἐπὶ στενῷ τινι ἐφύλαττον οὐκ ἐμβάλλει· διὰ Θισβῶν δὲ ὀρεινὴν καὶ ἀπροςδόκητον πορευθεὶς ἀφικνεῖται εἰς Κρεῦσιν καὶ τὸ τεῖχος αἱρεῖ καὶ τριήρεις τῶν Θηβαίων δώδεκα λαμ-
4 βάνει. Ταῦτα δὲ ποιήσας καὶ ἀναβὰς ἀπὸ τῆς θαλάσσης ἐστρατοπεδεύσατο ἐν Λεύκτροις τῆς Θεσπικῆς. Οἱ δὲ Θηβαῖοι ἐστρατοπεδεύσαντο ἐπὶ τῷ ἀπαντικρὺ λόφῳ οὐ πολὺ διαλείποντες, οὐδένας ἔχοντες συμμάχους ἀλλ' ἢ τοὺς Βοιωτούς. Ἔνθα δὴ τῷ Κλεομβρότῳ
5 οἱ μὲν φίλοι προςιόντες ἔλεγον, Ὦ Κλεόμβροτε, εἰ ἀφήσεις τοὺς Θηβαίους ἄνευ μάχης, κινδυνεύσεις ὑπὸ τῆς πόλεως τὰ ἔσχατα παθεῖν. Ἀναμνησθήσονται γάρ σου καὶ ὅτε εἰς Κυνὸς κεφαλὰς ἀφικόμενος οὐδὲν τῆς χώρας τῶν Θηβαίων ἐδῄωσας καὶ ὅτε ὕστερον στρατεύων ἀπεκρούσθης τῆς ἐμβολῆς Ἀγησιλάου ἀεὶ ἐμβάλλοντος διὰ τοῦ Κιθαιρῶνος. Εἴπερ οὖν ἢ σαυτοῦ κήδῃ ἢ τῆς πατρίδος ἐπιθυμεῖς, ἀκτέον ἐπὶ τοὺς ἄνδρας. Οἱ μὲν φίλοι τοιαῦτα ἔλεγον· οἱ δ' ἐναντίοι, Νῦν δή, ἔφασαν, δηλώσει ὁ ἀνήρ, εἰ τῷ ὄντι κήδεται τῶν Θηβαίων, ὥς-
6 περ λέγεται. Ὁ μὲν δὴ Κλεόμβροτος ταῦτα ἀκούων παρωξύνετο πρὸς τὸ μάχην συνάπτειν. Τῶν δ' αὖ Θηβαίων οἱ προεστῶτες ἐλογίζοντο, ὡς, εἰ μὴ μαχοῖντο,

quod est in libris. — V. ἐρωτᾷ. — πρὸς αὐτὸν Brod. Dind. pro πρὸς αὐτούς. — ἐμβαλεῖν Steph. Dind. pro ἐμβάλλειν.

§. 4. θαλάσσης B. D. F. pro θαλάττης.

§. 5. Steph. edd. sqq. καὶ ὅτι pro καὶ ὅτε, quod revocavit Dind. — Dind. κήδει. — V. οἱ μὲν δὴ φίλοι.

§. 6. A. C. F. edd. vett. τοιαῦτα pro ταῦτα. — μαχοῖντο Dind.

ἐπὶ στενῷ τινι] Diod. XV, 52: τὰ περὶ τὴν Κορώνειαν στενά, quae occupaverat Epaminondas.

ὀρεινήν] Diod. l. c.: διεξελθὼν τὴν παραθαλαττίαν ὁδόν, χαλεπὴν οὖσαν, ἐνέβαλεν εἰς τὴν Βοιωτίαν ἀκινδύνως.

§. 4. ἐν Λεύκτροις] V. ad IV, 2, 4.

ἀλλ' ἢ] nisi.

§. 5. ἀναμνησθήσονται — ὅτε] V. adn. ad Oecon. II, 11. Cyrop. I, 6, 12. Infra VI, 5, 46. 47. Buttm. §. 139. 59. Rost. §. 179. 7. Kuehn. §. 329. ann. 6.

εἰς Κυνὸς κεφαλάς] V. V, 4, 15.

ὕστερον στρατεύων] V. V, 4, 49.

τῆς πατρίδος ἐπιθυμεῖς] h. e. exsilio multari non vis.

εἰ — κήδεται] num — faveat.

§. 6. οἱ προεστῶτες ἐλογί-

ἀποστήσοιντο μὲν αἱ περιοικίδες αὐτῶν πόλεις, αὐτοὶ δὲ πολιορκήσοιντο· εἰ δὲ μὴ ἕξοι ὁ δῆμος ὁ Θηβαίων τἀπιτήδεια, ὅτι κινδυνεύσοι καὶ ἡ πόλις αὐτοῖς ἐναντία γενέσθαι. Ἅτε δὲ καὶ πεφευγότες πρόσθεν πολλοὶ αὐτῶν ἐλογίζοντο κρεῖσσον εἶναι μαχομένους ἀποθνήσκειν ἢ πάλιν φεύγειν. Πρὸς δὲ τούτοις παρεθάῤῥυνε 7
μέν τι αὐτοὺς καὶ ὁ χρησμὸς ὁ λεγόμενος, ὡς δέοι ἐνταῦθα Λακεδαιμονίους ἡττηθῆναι, ἔνθα τὸ τῶν παρθένων ἦν μνῆμα, αἳ λέγονται διὰ τὸ βιασθῆναι ὑπὸ Λακεδαιμονίων τινῶν ἀποκτεῖναι ἑαυτάς. Καὶ ἐκόσμησαν δὴ τοῦτο τὸ μνῆμα οἱ Θηβαῖοι πρὸ τῆς μάχης. Ἀπηγγέλλετο δὲ ἐκ τῆς πόλεως αὐτοῖς, ὡς οἵ τε νεῲ πάντες αὐτόματοι ἀνεῴγοντο αἵ τε ἱέρειαι λέγοιεν, ὡς νίκην οἱ θεοὶ φαίνοιεν. Ἐκ δὲ τοῦ Ἡρακλείου καὶ τὰ ὅπλα ἔφασαν ἀφανῆ εἶναι, ὡς τοῦ Ἡρακλέους εἰς τὴν μάχην ἐξωρμημένου. Οἱ μὲν δή τινες λέγουσιν, ὡς ταῦτα πάντα τεχνάσματα ἦν τῶν προεστηκότων. Εἰς δ' οὖν 8
τὴν μάχην τοῖς μὲν Λακεδαιμονίοις πάντα τἀναντία ἐγίγνετο, τοῖς δὲ πάντα καὶ ὑπὸ τῆς τύχης κατωρθοῦτο. Ἦν μὲν γὰρ μετ' ἄριστον τῷ Κλεομβρότῳ ἡ τελευταία βουλὴ περὶ τῆς μάχης· ἐν δὲ τῇ μεσημβρίᾳ ὑποπινόν-

pro *μάχοιντο*. — *ἅτε δὲ* marg. Leoncl. Steph. Dind. pro *ἅτε δή*. — Dind. *κρεῖττον*.

§. 7. I. V. Dind. *ἀπηγγέλλετο δὲ καὶ ἐκ τῆς π.*

§. 8. *τοῖς μὲν Λακ. πάντα τἀναντία* B. C. D. E. F. V. Schneid. Dind., sed C. V. om. *μὲν*; I. Leoncl. Steph. *τἀναντία πάντα τοῖς μὲν*

ζοντο] Diod. XV, 53: ἓξ γὰρ ὄντων Βοιωταρχῶν, τρεῖς μὲν ᾤοντο ἀπάγειν τὴν δύναμιν, τρεῖς δὲ μένειν καὶ διαγωνίζεσθαι· ἐν οἷς ἦν καὶ ὁ Ἐπαμεινώνδας.

*πολιορκήσοιντο*] notione passiva ut VII, 5, 18. Cyrop. VI, 1, 15.

§. 7. *ὁ χρησμὸς ὁ λεγόμενος*] Leandrias Spartiates exsul, qui erat in exercitu Thebanorum, publicavit hoc vaticinium, idem indigenae fecerunt vates. Erant autem illae virgines Scedasi filiae et Leuctri, a quo urbs et regio illa nomen traxisse ferebatur. Diod. XV, 54. Pausan. IX, 13, 3. Secundum Plut. Pelop. XX. erant Scedasi filiae, ἃς Λευκτρίδας καλοῦσι διὰ τὸν τόπον.

*νεῲ — ἀνεῴγοντο*] Cf. quae de his aliisque signis narrant Diod. l. c. et Polyaen. II, 2, 8.

*τεχνάσματα*] Auctore Diod. XV, 53. artes erant Epaminondae. Hoc vocabulum Ionum fuisse proprium docet Phavorin. v. *τέχνημα*. Heiland. de dial. Xen. p. 20.

§. 8. *ἐν — μεσημβρίᾳ ὑποπινόντων*] V. §. 29 et cf. ad V, 4, 40. De genitivo, ubi accusativum exspectaveris, posito v. adn. ad Oecon. VIII, 1: *τῶν εἰςενε-*

9 των καὶ τὸν οἶνον παροξῦναί τι αὐτοὺς ἔλεγον. Ἐπεὶ δὲ ὡπλίζοντο ἑκάτεροι καὶ πρόδηλον ἤδη ἦν, ὅτι μάχη ἔσοιτο, πρῶτον μὲν ἀπιέναι ὡρμημένων ἐκ τοῦ Βοιωτίου στρατεύματος τῶν τὴν ἀγορὰν παρεσκευακότων καὶ σκευοφόρων τινῶν καὶ τῶν οὐ βουλομένων μάχεσθαι, περιιόντες κύκλῳ οἵ τε μετὰ τοῦ Ἱέρωνος μισθοφόροι καὶ οἱ τῶν Φωκέων πελτασταὶ καὶ τῶν ἱππέων Ἡρακλειῶται καὶ Φλιάσιοι ἐπιθέμενοι τοῖς ἀπιοῦσιν ἐπέστρεψάν τε αὐτοὺς καὶ κατεδίωξαν πρὸς τὸ στρατόπεδον τὸ τῶν Βοιωτῶν· ὥςτε πολὺ μὲν ἐποίησαν μεῖζόν τε καὶ ἀθροώτερον ἢ πρόσθεν τὸ τῶν Βοιωτῶν
10 στράτευμα. Ἔπειτα δέ, ἅτε καὶ πεδίου ὄντος τοῦ μεταξύ, προετάξαντο μὲν τῆς ἑαυτῶν φάλαγγος οἱ Λακεδαιμόνιοι τοὺς ἱππέας, ἀντετάξαντο δ' αὐτοῖς καὶ οἱ Θηβαῖοι τοὺς ἑαυτῶν. Ἦν δὲ τὸ μὲν τῶν Θηβαίων ἱππικὸν μεμελετηκὸς διά τε τὸν πρὸς Ὀρχομενίους πόλεμον καὶ διὰ τὸν πρὸς Θεσπιέας, τοῖς δὲ Λακεδαιμονίοις κατ' ἐκεῖνον τὸν χρόνον πονηρότατον ἦν τὸ ἱππικόν.
11 Ἔτρεφον μὲν γὰρ τοὺς ἵππους οἱ πλουσιώτατοι· ἐπεὶ δὲ φρουρὰ φανθείη, τότε ἧκεν ὁ συντεταγμένος· λαβὼν δ' ἂν τὸν ἵππον καὶ ὅπλα ὁποῖα δοθείη αὐτῷ ἐκ τοῦ παραχρῆμα ἂν ἐστρατεύετο· τῶν δ' αὖ στρατιωτῶν οἱ τοῖς σώμασιν ἀδυνατώτατοι καὶ ἥκιστα φιλότιμοι
12 ἐπὶ τῶν ἵππων ἦσαν. Τοιοῦτον μὲν οὖν τὸ ἱππικὸν ἑκατέρων ἦν. Τῆς δὲ φάλαγγος τοὺς μὲν Λακεδαιμο-

Λακ., ceteri πάντα τἀναντία τοῖς Λακ. — αὐτοὺς ἔλεγον B. D. E. F. V. Dind., ἐλέγετο αὐτοὺς C., αὐτοὺς ἐλέγετο ceteri.

§. 9. ἤδη addunt B. D. I. V. Leoncl. Steph. Schneid. Dind. — ἡ ante μάχη om. B. D. Dind. — Dind. Ἡρακλεῶται.

§. 11. ὁποῖα δοθείη Dobr. Dind. pro ὁποῖα δοίη.

χθέντων τι αἰτήσαντος ἐμοῦ, οὐκ εἶχέ μοι δοῦναι. Cf. ad IV, 8, 9.

ἔλεγον] V. ad III, 5, 21.

§. 9. οὐ βουλομένων μάχεσθαι] Pausan. IX, 13, 3: δείσας οὖν (ὁ Ἐπαμεινώνδας), μὴ σφᾶς παρὰ τὸ ἔργον προδῶσιν, ἀποχώρησιν παρεῖχεν ἀπὸ στρατοπέδου τοῖς ἐθέλουσιν οἴκαδε.

τοῦ Ἱέρωνος] Spartani, ut videtur.

§. 10. προετάξαντο — τοὺς ἱππέας] V. Rüstow et Koechly Hist. rei milit. etc. p. 173. adn. 33.

§. 11. ἐπεὶ — φανθείη] V. ad III, 2, 23, de optativo ad III, 5, 24.

ὁ συντεταγμένος] V. ad III, 3, 7.

λαβὼν δ' ἂν — ἂν ἐστρατεύετο] V. ad VI, 2, 28. De iterato ἂν v. ad Hier. IX, 9. Buttm. §. 139. 20. Kuehn. §. 261. 3. b.

νίους ἔφασαν εἰς τρεῖς τὴν ἐνωμοτίαν ἄγειν· τοῦτο δὲ συμβαίνειν αὐτοῖς οὐ πλέον ἢ εἰς δώδεκα τὸ βάθος. Οἱ δὲ Θηβαῖοι οὐκ ἔλαττον ἢ ἐπὶ πεντήκοντα ἀσπίδων συνεστραμμένοι ἦσαν, λογιζόμενοι, ὡς εἰ νικήσειαν τὸ περὶ τὸν βασιλέα, τὸ ἄλλο πᾶν εὐχείρωτον ἔσοιτο. Ἐπεὶ 13
δὲ ἤρξατο ἄγειν ὁ Κλεόμβροτος πρὸς τοὺς πολεμίους, πρῶτον μέν, πρὶν καὶ αἰσθέσθαι τὸ μετ' αὐτοῦ στράτευμα, ὅτι ἡγοῖτο, καὶ δὴ καὶ οἱ ἱππεῖς συνεβεβλήκεσαν καὶ ταχὺ ἥττηντο οἱ τῶν Λακεδαιμονίων· φεύγοντες δὲ ἐνεπεπτώκεσαν τοῖς ἑαυτῶν ὁπλίταις, ἔτι δὲ ἐνέβαλλον οἱ τῶν Θηβαίων λόχοι. Ὅμως δὲ ὡς οἱ μὲν περὶ τὸν Κλεόμβροτον τὸ πρῶτον ἐκράτουν τῇ μάχῃ, σαφεῖ τού-

§. 12. C. ἀνάγειν pro ἄγειν.

§. 13. καὶ δὴ καὶ B. D. V. Dind. pro καὶ δή. — Steph. Leoncl. Wells. ἔτι καὶ pro ἔτι δὲ. — F. Ald. πρῶτον pro τὸ πρῶτον. — Dind. ἐδύναντο. — A. C. E. F. Ald. Iunt. Cast. om. οἱ ante πρὸ.

§. 12. *ἔφασαν*] V. ad III, 5, 21. *εἰς τρεῖς*] V. ad III, 1, 22. Latitudo enomotiae trium, altitudo duodecim erat militum: ergo enomotia triginta sex continebat milites. Erat autem enomotia quarta pars lochi, sexta decima morae. V. de Rep. Lac. XI, 4. XIII, 4.

*τοῦτο δέ*] Dici etiam poterat οὕτω δέ vel τούτῳ δέ. Est autem τοῦτο: hanc enomotiae dispositionem. Leoncl.: quo fiebat, ut ipsorum acies tantum milites duodecim esset densa. Accuratius germanice: *diese Aufstellung ergebe sich ihnen als nicht mehr als zwölf Mann hoch.*

*οὐ πλέον — οὐκ ἔλαττον*] V. ad III, 2, 11.

*ἀσπίδων*] Cf. II, 4, 11: ἐγένοντο βάθος οὐκ ἔλαττον ἢ ἐπὶ πεντήκοντα ἀσπίδων, ubi paullo post βάθος δὲ οὐ πλέον ἢ εἰς δέκα ὁπλίτας ἐγένοντο. Infra VI, 5, 19.

*συνεστραμμένοι*] Sinistrum cornu densissimum fecerat eique ipse praeerat Epaminondas. Hac parte impetum in dextrum Lacedaemoniorum cornu, in quo erat Cleombrotus, fecit, dum reliqua acies remanet (τῷ μὲν ἑτέρῳ κέρατι ὑπεχώρουν). Diod. XV, 55. Plut. Pelop. XXIII.

§. 13. *καὶ δὴ καὶ — καὶ ταχύ*] iam et equites utrorumque manus conseruerant et statim Lacedaemoniorum equites victi erant. De καὶ δή v. Kuehner. ad Anab. I, 5, 7; imprimis cf. ibid. I, 10, 10: Ἐν ᾧ δὲ ταῦτα ἐβουλεύοντο, καὶ δὴ βασιλεὺς — κατέστησεν ἀντίαν τὴν φάλαγγα.

*ἐνέβαλλον οἱ — λόχοι*] in hoplitas Thebanorum. De imperf. cf. IV, 3, 22.

*τὸν Κλεόμβροτον*] Inde quod in fine pugnae de Archidami sorte tacet etiam Diod. XV, 56, ubi de Cleombroti morte consentit cum Xenophonte, et maxime ex §. 18 et §. 26 cognoscere debebat Schneider. falsa esse quae idem Diod. XV, 54. 55 narrat de altero exercitu Lacedaemonio, Archidamo duce, succurrenti et de induciis antea inter Lacedaemonios et Thebanos factis. V. Grotium V, p. 459. sq.

*ἐκράτουν*] Diod. l. c. ὡς δὲ συνῆψαν ἀλλήλοις εἰς χεῖρας, τὸ μὲν πρῶτον ἐκθύμως ἀμφοτέρων ἀγωνιζομένων, ἰσόῤῥοπος ἦν ἡ μάχη.

*τούτῳ τεκμηρίῳ*] Articulus

τῳ τεκμηρίῳ γνοίη τις ἄν· οὐ γὰρ ἂν ἠδύναντο αὐτὸν ἀνελέσθαι καὶ ζῶντα ἀπενεγκεῖν, εἰ μὴ οἱ πρὸ αὐτοῦ
14 μαχόμενοι ἐπεκράτουν ἐν ἐκείνῳ τῷ χρόνῳ. Ἐπεὶ μέντοι ἀπέθανε Δείνων τε ὁ πολέμαρχος καὶ Σφοδρίας τῶν περὶ δαμοσίαν καὶ Κλεώνυμος ὁ υἱὸς αὐτοῦ, καὶ οἱ μὲν ἵπποι καὶ οἱ συμφορεῖς τοῦ πολεμάρχου καλούμενοι οἵ τε ἄλλοι ὑπὸ τοῦ ὄχλου ὠθούμενοι ἀνεχώρουν, οἱ δὲ τοῦ εὐωνύμου ὄντες τῶν Λακεδαιμονίων ὡς ἑώρων τὸ δεξιὸν ὠθούμενον, ἐνέκλιναν· ὅμως δὲ πολλῶν τεθνεώτων καὶ ἡσσημένοι, ἐπεὶ διέβησαν τὴν τάφρον, ἣ πρὸ τοῦ στρατοπέδου ἔτυχεν οὖσα αὐτοῖς, ἔθεντο τὰ ὅπλα κατὰ χώραν ἔνθεν ὥρμηντο. Ἦν μέντοι οὐ πάνυ ἐν ἐπιπέδῳ, ἀλλὰ πρὸς ὀρθίῳ μᾶλλόν τι τὸ στρατόπεδον. Ἐκ δὲ τούτου ἦσαν μέν τινες τῶν Λακεδαιμονίων, οἳ ἀφόρητον τὴν συμφορὰν ἡγούμενοι τό τε τρόπαιον ἔφασαν χρῆναι κωλύειν ἱστάναι τοὺς πολεμίους τούς τε νεκροὺς μὴ ὑποσπόνδους, ἀλλὰ διὰ μάχης πειρᾶσθαι
15 ἀναιρεῖσθαι. Οἱ δὲ πολέμαρχοι, ὁρῶντες μὲν τῶν συμπάντων Λακεδαιμονίων τεθνεῶτας ἐγγὺς χιλίους, ὁρῶντες δ' αὐτῶν Σπαρτιατῶν, ὄντων τῶν ἐκεῖ ὡς ἑπτακοσίων, τεθνηκότας περὶ τετρακοσίους, αἰσθανόμενοι δὲ

§. 14. *δαμοσίαν* Dind. pro *δημ.* — F. Dind. *ἡττημένοι* pro *ἡσσημένοι.*

§. 15. *αἰσθανόμενοι* B. C. D. E. F. V. Steph. Leoncl. Schneid. Dind. pro *αἰσθόμενοι.* — C. om. *κήρυκα.*

abest; nam vertendum: hac re ut argumento.

§. 14. *τῶν περὶ δαμοσίαν*] V. ad IV, 5, 8.

*Κλεώνυμος*] V. V, 4, 25. sqq.

*καὶ οἱ μὲν ἵπποι*] Inde apodosis incipit. Corruptum videtur *οἱ μὲν ἵπποι* Leonclavio et Stephano ex *οἱ μὲν ἱππεῖς*, Hemsterhuisio ex *οἱ ἅμιπποι.* Posterius probo cl. VII, 5, 23. 25, sed ita, ut *μέν* non deleam, cui respondet postea *δέ* in *οἱ δὲ τοῦ εὐωνύμου.*

*συμφορεῖς*] *ἅπαξ λεγόμενον*: comites et adiutores polemarchi, fere iidem, qui Romanorum imperatorum legati. Sturz.

*ἔτυχεν οὖσα*] Casu, non consilio factum erat, ut castra iuxta fossam collocarent.

*ἔθεντο τὰ ὅπλα*] in armis substiterunt eo loco, unde ad pugnam processerant, h. e. in castris.

*οὐ πάνυ ἐν ἐπιπέδῳ*] De traiecto *πάνυ* v. ad IV, 5, 4.

§. 15. *Λακεδαιμονίων*] Hoc nomine comprehenduntur Spartiatae et perioeci. Mille Lacedaemonios occisos numerat etiam Plut. Ages. XXVIII, 5. Pausan. IX, 13. extr. *πλείους ἢ χιλίους.* Sed Diod. XV, 56: *οὐκ ἐλάττους τῶν τετρακισχιλίων.*

*τεθνηκότας περὶ τετρακοσίους*] Xen. Ages. II, 24: *καὶ αὐτῶν Σπαρτιατῶν οὐ μειό-*

τοὺς συμμάχους πάντας μὲν ἀθύμως ἔχοντας πρὸς τὸ μάχεσθαι, ἔστι δὲ οὓς αὐτῶν οὐδὲ ἀχθομένους τῷ γεγενημένῳ, συλλέξαντες τοὺς ἐπικαιριωτάτους ἐβουλεύοντο, τί χρὴ ποιεῖν. Ἐπεὶ δὲ πᾶσιν ἐδόκει ὑποσπόνδους τοὺς νεκροὺς ἀναιρεῖσθαι, οὕτω δὴ ἔπεμψαν κήρυκα περὶ σπονδῶν. Οἱ μέντοι Θηβαῖοι μετὰ ταῦτα καὶ τρόπαιον ἐστήσαντο καὶ τοὺς νεκροὺς ὑποσπόνδους ἀπέδοσαν.

Γενομένων δὲ τούτων, ὁ μὲν εἰς τὴν Λακεδαίμονα 16
ἀγγελῶν τὸ πάθος ἀφικνεῖται γυμνοπαιδιῶν τε οὔσης τῆς τελευταίας καὶ τοῦ ἀνδρικοῦ χοροῦ ἔνδον ὄντος· οἱ δὲ ἔφοροι ἐπεὶ ἤκουσαν τὸ πάθος, ἐλυποῦντο μέν, ὥσπερ, οἶμαι, ἀνάγκη· τὸν μέντοι χορὸν οὐκ ἐξήγαγον, ἀλλὰ διαγωνίσασθαι εἴων. Καὶ τὰ μὲν ὀνόματα πρὸς τοὺς οἰκείους ἑκάστου τῶν τεθνεώτων ἀπέδοσαν· προεῖπαν δὲ ταῖς γυναιξὶ μὴ ποιεῖν κραυγήν, ἀλλὰ σιγῇ τὸ πάθος φέρειν. Τῇ δ᾽ ὑστεραίᾳ ἦν ὁρᾶν, ὧν μὲν ἐτέθνασαν οἱ προσήκοντες, λιπαροὺς καὶ φαιδροὺς ἐν τῷ φανερῷ ἀναστρεφομένους, ὧν δὲ ζῶντες ἠγγελμένοι ἦσαν, ὀλίγους ἂν εἶδες, τούτους δὲ σκυθρωποὺς καὶ ταπεινοὺς περιιόντας.

Ἐκ δὲ τούτου φρουρὰν μὲν ἔφαινον οἱ ἔφοροι ταῖν 17
ὑπολοίποιν μόραιν μέχρι τῶν τετταράκοντα ἀφ᾽ ἥβης·

§. 16. *οὔσης* ex emend. Gesneri Dind. pro *οὐσῶν*. — *προεῖπαν* B. D. F. pro *προεῖπον*.

*νων ἀπολωλότων ἐν τῇ ἐν Λεύκτροις μάχῃ ἢ λειπομένων.*

*τοὺς ἐπικαιριωτάτους*] V. ad III, 3, 11.

§. 16. *γυμνοπαιδιῶν — τῆς τελευταίας*] scil. *ἡμέρας*. „Dies festi erant Spartae mense Hecatombaeone celebrati, quibus pueri nudi in honorem eorum, qui ad Thyream ceciderant, circa Apollinis *Καρνείου* statuam choreas ducebant.“ Kuehner. ad Comment. I, 2, 61.

*ἔνδον ὄντος*] Plut. Ages. XXIX, 2: *γυμνοπαιδίαι γὰρ ἦσαν ἀγωνιζομένων χορῶν ἐν τῷ θεάτρῳ· παρῆσαν δ᾽ ἀπὸ Λεύκτρων οἱ τὴν συμφορὰν ἀπαγγέλλοντες.*

*πρὸς τοὺς οἰκείους*] Plut. l. c. *κατ᾽ οἰκίαν τῶν τεθνεώτων τοῖς προσήκουσι τὰ ὀνόματα πέμψαντες.*

*προεῖπαν*] De forma v. ad III, 5, 24.

§. 17. *ταῖν ὑπολοίποιν μόραιν*] V. ad Comment. II, 3, 18: *τὼ χεῖρε — ἀφεμένω — ἀλλήλω.* Rost. gr. mai. §. 100. 4. f. Kuehn. §. 241. ann. 10. b. Ceterum hae reliquae morae opponuntur *ταῖς ἔξω μόραις*, sunt ergo quae domi erant relictae. Remanserant vero etiam domi ex cohortibus in Boeotiam missis ii, qui annum a pubertate quadragesimum excesserant. Nunc horum quoque delectus habetur.

ἐξέπεμπον δὲ καὶ ἀπὸ τῶν ἔξω μορῶν μέχρι τῆς αὐτῆς ἡλικίας· τὸ γὰρ πρόσθεν εἰς τοὺς Φωκέας μέχρι τῶν πέντε καὶ τριάκοντα ἀφ' ἥβης ἐστρατεύοντο· καὶ τοὺς ἐπ' ἀρχαῖς δὲ τότε καταλειφθέντας ἀκολουθεῖν ἐκέ-
18 λευον. Ὁ μὲν οὖν Ἀγησίλαος ἐκ τῆς ἀσθενείας οὔπω ἴσχυεν· ἡ δὲ πόλις Ἀρχίδαμον τὸν υἱὸν ἐκέλευεν αὐτοῦ ἡγεῖσθαι. Προθύμως δ' αὐτῷ συνεστρατεύοντο Τεγεᾶται· ἔτι γὰρ ἔζων οἱ περὶ Στάσιππον, λακωνίζοντες καὶ οὐκ ἐλάχιστον δυνάμενοι ἐν τῇ πόλει. Ἐῤῥωμένως δὲ καὶ οἱ Μαντινεῖς ἐκ τῶν κωμῶν συνεστρατεύοντο· ἀριστοκρατούμενοι γὰρ ἐτύγχανον. Καὶ Κορίνθιοι δὲ καὶ Σικυώνιοι καὶ Φλιάσιοι καὶ Ἀχαιοὶ μάλα προθύμως ἠκολούθουν, καὶ ἄλλαι δὲ πόλεις ἐξέπεμπον στρατιώτας. Ἐπλήρουν δὲ καὶ τριήρεις αὐτοί τε οἱ Λακεδαιμόνιοι καὶ Κορίνθιοι καὶ ἐδέοντο καὶ Σικυωνίων συμπληροῦν, ἐφ' ὧν διενοοῦντο τὸ στράτευμα διαβιβάζειν.
19 Καὶ ὁ μὲν δὴ Ἀρχίδαμος ἐθύετο ἐπὶ τῇ διαβάσει.

Οἱ δὲ Θηβαῖοι εὐθὺς μὲν μετὰ τὴν μάχην ἔπεμψαν εἰς Ἀθήνας ἄγγελον ἐστεφανωμένον καὶ ἅμα μὲν τῆς νίκης τὸ μέγεθος ἔφραζον, ἅμα δὲ βοηθεῖν ἐκέλευον λέγοντες, ὡς νῦν ἐξείη Λακεδαιμονίους πάντων ὧν ἐπε-
20 ποιήκεσαν αὐτοὺς τιμωρήσασθαι. Τῶν δὲ Ἀθηναίων

§. 17. Dind. ἐστράτευντο pro ἐστρατεύοντο.

§. 18. ἐκέλευεν αὐτοῦ B. C. D. Dind. pro αὐτοῦ ἐκέλ. — E. F. αὐτοὶ δὲ pro αὐτοί τε. — Ante Κορίνθιοι B. C. D. E. F. I. Dind. om. οἱ. — B. D. V. marg. Steph. Leoncl. om. καὶ ante ἐδέοντο, sed V. ἐδέοντο δὲ habet. — καὶ Σικ. B. D. F. V. Dind. pro καὶ τῶν Σικ., E. τῶν Σικ. om. καί. — C. D. F. V. om. τὸ ante στράτευμα.

§. 19. A. C. E. F. edd. vett. om. δὴ post ὁ μὲν. — F. edd. vett. ἐν τῇ pro ἐπὶ τῇ. — μὲν post εὐθὺς addunt B. D. F. V. Dind. — C. πεποιήκεσαν. — A. C. D. E. F. edd. vett. αὐτοῖς pro αὐτούς.

πρόσθεν—ἐστρατεύοντο] V. VI, 1, 1. Plusquamperfecto non opus est. Cf. Cyrop. I, 4, 6: ἃ πρόσθεν — ἐμέμφετο —, αὐτὸς ἤδη Σάκας αὐτῷ ἐγίγνετο.

ἐπ' ἀρχαῖς] ut magistratus quosdam obirent.

§. 18. ἐκ τῆς ἀσθενείας] V. V. 4, 58.

ἔτι — ἔζων οἱ περὶ Στάσιππον] Haec intelliguntur demum ex VI, 5, 6. sqq.

οὐκ ἐλάχιστον] V. ad οὐχ ἥκιστα VI, 2, 39.

ἀριστοκρατούμενοι] V. V, 2, 7: ἀριστοκρατίᾳ δ' ἐχρῶντο.

§. 19. εὐθὺς μέν] His respondent §. 20: ἐπεὶ δ'.

πάντων — τιμωρήσασθαι] Eadem huius verbi constructio est Anab. VII, 1, 25. 4, 23. Rost. §. 162. III, 3, dd. Buttm. §. 132. ann. 17. Kuehn. §. 274. 2.

*ἡ βουλὴ ἐτύγχανεν ἐν ἀκροπόλει καθημένη. Ἐπεὶ δ' ἤκουσαν τὸ γεγενημένον, ὅτι μὲν σφόδρα ἠνιάθησαν πᾶσι δῆλον ἐγένετο· οὔτε γὰρ ἐπὶ ξένια τὸν κήρυκα ἐκάλεσαν, περί τε τῆς βοηθείας οὐδὲν ἀπεκρίναντο. Καὶ Ἀθήνηθεν μὲν οὕτως ἀπῆλθεν ὁ κῆρυξ. Πρὸς μέντοι Ἰάσονα, σύμμαχον ὄντα, ἔπεμπον σπουδῇ οἱ Θηβαῖοι, κελεύοντες βοηθεῖν, διαλογιζόμενοι πῇ τὸ μέλλον ἀποβήσοιτο. Ὁ δ' εὐθὺς τριήρεις μὲν ἐπλήρου* 21
*ὡς βοηθήσων κατὰ θάλασσαν, συλλαβὼν δὲ τό τε ξενικὸν καὶ τοὺς περὶ αὑτὸν ἱππεῖς, καίπερ ἀκηρύκτῳ πολέμῳ τῶν Φωκέων χρωμένων, πεζῇ διεπορεύθη εἰς τὴν Βοιωτίαν, ἐν πολλαῖς τῶν πόλεων πρότερον ὀφθεὶς ἢ ἀγγελθεὶς ὅτι πορεύοιτο. Πρὶν γοῦν συλλέγεσθαί τι πανταχόθεν ἔφθανε πόῤῥω γιγνόμενος, δῆλον ποιῶν, ὅτι πολλαχοῦ τὸ τάχος μᾶλλον τῆς βίας διαπράττεται*

§. 20. Schneid. Weisk. *ἐπὶ ξενίᾳ.* — *ἐκάλεσαν* B. D. E. F. I. margg. Leoncl. et Steph. Dind. pro *ἐδέξαντο.* — F. *ποῖ* pro *πῇ.*

§. 21. *θάλασσαν* B. D. F. pro *θάλατταν.* — *περὶ αὑτὸν* B. D. pro *περὶ αὐτὸν.* — Dind. *ἱππέας* pro *ἱππεῖς.* — *ὅτι πορεύοιτο* B. C. D. E. F. I. V. Y. marg. Steph. Leoncl. pro *ὅπῃ πορ.* — *γοῦν* B. D. E. F. V., *οὖν* C. margg. Leoncl. et Steph. Port. Schneid. Dind., ceteri *δὲ.*

§. 20. *ὅτι μὲν — ἠνιάθησαν*] Nihil tamen faciebant, quo fortunam Lacedaemoniorum sublevarent. Ita intelligendum est *μέν.* V. ad I, 4, 16. III, 1, 5. 4, 9. imprimis VI, 3, 15, ubi idem est *ὅτι μέν.*

*ἐπὶ ξένια — ἐκάλεσαν*] Anab. VII, 6, 3: *καλεῖ τε αὐτοὺς ἐπὶ ξένια* recte edidit Krueger. pro *ἐπὶ ξενίᾳ*, coll. Aeschin. De fals. leg. 162: *ἐκλήθην ἐπὶ τὰ ξένια* et Boeckh. C. I. I, 123. 126. Contra Anab. VI, 1, 3: *ἐπὶ ξενίᾳ ἐδέχοντο αὐτούς.* Hunc locum videtur ob oculos habuisse is librarius qui nostro loco primus scripsit *ἐδέξαντο* pro *ἐκάλεσαν.* Schneid. comparat Aristid. vol. II, p. 88: *ὁ κῆρυξ ἦλθε — ἐστεφανωμένος — οὕτω πόῤῥω τοῦ συνησθῆναι γενομένοις, ὥστε μήτε ἐς τὸ πρυτανεῖον καλέσαι μήτε ἄλλο μηδὲν φιλάνθρωπον ἐνδείξασθαι.*

*περί τε — οὐδέν*] fortius quam *οὔτε περὶ — τι.*

*Ἰάσονα, σύμμαχον*] Cf. VI, 1, 10.

*πῇ — ἀποβήσοιτο*] Cyrop. V, 2, 24: *ὅπῃ τὸ μέλλον ἀποβήσοιτο.* Alibi *πῶς* vel *ὅπως* in hac locutione usurpatur, velut Comment. I, 1, 6. 3, 2.

§. 21. *τοὺς περὶ αὑτόν*] V. ad IV, 3, 4.

*διεπορεύθη*] per Phocidem. Cf. V, 4, 41: *ὑπερβαλὼν — εἰς τὰ Μέγαρα.*

*ὅτι — πορεύοιτο*] Hanc lectionem huius loci sensui optime convenientem non receptam esse a Dindorfio, sane mireris. Vertas: in itinere esse, ut III, 1, 8.

*πρὶν γοῦν συλλέγεσθαί τι*] Dictum erat modo *ἐν πολλαῖς τῶν πόλεων.* Sensus igitur est: licet nonnullae urbes adventum Iasonis antea audivissent, prius certe quam colligi aliquid copiarum undecunque posset, procul eum evasisse.

22 τὰ δέοντα. Ἐπεὶ δὲ ἀφίκετο εἰς τὴν Βοιωτίαν, λεγόν-
των τῶν Θηβαίων, ὡς καιρὸς εἴη ἐπιτίθεσθαι τοῖς Λα-
κεδαιμονίοις, ἄνωθεν μὲν ἐκεῖνον σὺν τῷ ξενικῷ, σφᾶς
δὲ ἀντιπροσώπους, ἀπέτρεπεν αὐτοὺς ὁ Ἰάσων διδά-
σκων, ὡς καλοῦ ἔργου γεγενημένου οὐκ ἄξιον αὐτοῖς
εἴη διακινδυνεῦσαι, ὥςτε ἢ ἔτι μείζω καταπρᾶξαι ἢ
23 στερηθῆναι καὶ τῆς γεγενημένης νίκης. Οὐχ ὁρᾶτε,
ἔφη, ὅτι καὶ ὑμεῖς, ἐπεὶ ἐν ἀνάγκῃ ἐγένεσθε, ἐκρατή-
σατε; Οἴεσθαι οὖν χρὴ καὶ Λακεδαιμονίους ἄν, εἰ
ἀναγκάζοιντο ἐκγενέσθαι τοῦ ζῆν, ἀπονοηθέντας δια-
μάχεσθαι. Καὶ ὁ θεὸς δέ, ὡς ἔοικε, πολλάκις χαίρει
τοὺς μὲν μικροὺς μεγάλους ποιῶν, τοὺς δὲ μεγάλους
24 μικρούς. Τοὺς μὲν οὖν Θηβαίους τοιαῦτα λέγων ἀπέ-
τρεπε τοῦ διακινδυνεύειν· τοὺς δ' αὖ Λακεδαιμονίους
ἐδίδασκεν, οἷον μὲν εἴη ἡσσημένον στράτευμα, οἷον δὲ
νενικηκός. Εἰ δ' ἐπιλαθέσθαι, ἔφη, βούλεσθε τὸ γεγε-
νημένον πάθος, συμβουλεύω ἀναπνεύσαντας καὶ ἀνα-
παυσαμένους καὶ μείζους γεγενημένους τοῖς ἀηττήτοις
οὕτως εἰς μάχην ἰέναι. Νῦν δέ, ἔφη, εὖ ἴστε, ὅτι καὶ
τῶν συμμάχων ὑμῖν εἰσὶν οἳ διαλέγονται περὶ φιλίας
τοῖς πολεμίοις· ἀλλὰ ἐκ παντὸς τρόπου πειρᾶσθε σπον-
δὰς λαβεῖν. Ταῦτα δ', ἔφη, ἐγὼ προθυμοῦμαι, σῶσαι
ὑμᾶς βουλόμενος διά τε τὴν τοῦ πατρὸς φιλίαν πρὸς
25 ὑμᾶς καὶ διὰ τὸ προξενεῖν ὑμῶν. Ἔλεγε μὲν οὖν τοι-

§. 24. F. *μὲν* pro *μὲν οὖν*. — V. Dind. *ἡττημένον*. — *ἀναπνεύσαντας καὶ* addunt B. C. D. E. F. I. V. marg. Steph. Leoncl. Dind. — *πειρᾶσθε σπ.* B. C. D. E. F. V. Dind. pro *σπ. πειρᾶσθε*. — B. *πατρὸς* pro *τοῦ πατρὸς*.

§. 22. *ἄνωθεν*] Erant enim Lacedaemonii adhuc in castris in colle positis. V. §. 14.

*ὥςτε ἢ — ἢ*] Cf. VI, 3, 17.

§. 24. *ἐπιλαθέσθαι — πάθος*] memoriam cladis exstinguere. Quod Schneidero cum Wolfio placebat: *ἐπιλαθέσθαι — οὐ βούλεσθε* reiiciendum est propterea quod contrarium cogitari nequibat, nempe tantam oblituros esse cladem Spartanos, antequam ultionem exegissent. Dicit vero Iason: victo exercitu nunc quidem nihil moliendum est, si autem ignominiae memoriam exstinguere vultis (h. e. si efficere vultis, ut revera exstinguatur ignominia), reparatis demum viribus bellum renovandum est.

*τοῖς ἀηττήτοις*] Cum dativo iungitur *εἰς μάχην ἰέναι* ut ipsum *μάχεσθαι*. Cf. Cyrop. VIII, 8, 6: *εἰς χεῖρας — τοῖς κρείττοσιν ἰέναι.*

*οὕτως*] referatur ad antecedentia participia. V. ad III, 2, 9.

αὗτα, ἔπραττε δ' ἴσως, ὅπως διάφοροι καὶ οὗτοι ἀλλήλοις ὄντες ἀμφότεροι ἐκείνου δέοιντο. Οἱ μέντοι Λακεδαιμόνιοι, ἀκούσαντες αὐτοῦ, πράττειν περὶ τῶν σπονδῶν ἐκέλευον· ἐπεὶ δ' ἀπηγγέλθη, ὅτι εἴησαν αἱ σπονδαί, παρήγγειλαν οἱ πολέμαρχοι δειπνήσαντας συνεσκευάσθαι πάντας, ὡς τῆς νυκτὸς πορευσομένους, ὅπως ἅμα τῇ ἡμέρᾳ πρὸς τὸν Κιθαιρῶνα ἀναβαίνοιεν. Ἐπεὶ δ' ἐδείπνησαν, πρὶν καθεύδειν παραγγείλαντες ἀκολουθεῖν, ἡγοῦντο εὐθὺς ἀφ' ἑσπέρας τὴν διὰ Κρεύσιος, τῷ λαθεῖν πιστεύοντες μᾶλλον ἢ ταῖς σπονδαῖς.
26 Μάλα δὲ χαλεπῶς πορευόμενοι, οἷα δὴ ἐν νυκτί τε καὶ ἐν φόβῳ ἀπιόντες καὶ χαλεπὴν ὁδόν, εἰς Αἰγόσθενα τῆς Μεγαρικῆς ἀφικνοῦνται. Ἐκεῖ δὲ περιτυγχάνουσι τῷ μετὰ Ἀρχιδάμου στρατεύματι. Ἔνθα δὴ ἀναμείνας, ἕως καὶ οἱ σύμμαχοι πάντες παρεγένοντο, ἀπῆγε πᾶν ὁμοῦ τὸ στράτευμα μέχρι Κορίνθου· ἐκεῖθεν δὲ τοὺς μὲν συμμάχους ἀφῆκε, τοὺς δὲ πολίτας οἴκαδε ἀπήγαγεν.

27 Ὁ μέντοι Ἰάσων ἀπιὼν διὰ τῆς Φωκίδος Ὑαμπολιτῶν μὲν τό τε προάστειον εἷλε καὶ τὴν χώραν ἐπόρθησε καὶ ἀπέκτεινε πολλούς· τὴν δ' ἄλλην Φωκίδα διῆλθεν ἀπραγμόνως. Ἀφικόμενος δὲ εἰς Ἡράκλειαν κατέβαλε τὸ Ἡρακλεωτῶν τεῖχος, δῆλον ὅτι οὐ τοῦτο φοβούμενος, μή τινες ἀναπεπταμένης ταύτης τῆς παρόδου πορεύσοιντο ἐπὶ τὴν ἐκείνου δύναμιν, ἀλλὰ μᾶλλον ἐνθυμούμενος, μή τινες τὴν Ἡράκλειαν ἐπὶ στενῷ

§. 25. *συσκευάσθαι* pro *συνεσκευάσθαι.*

§. 26. B. om. *μὲν* ante *συμμάχους.*

§. 27. C. *κατέβαλλε*, B. *κατέλαβε* pro *κατέβαλε.* — *Ἡρακλεωτῶν* B. D. V. Dind. pro *Ἡρακλειωτῶν.* — Both. Dind. *εἴ ποι* pro *εἴ που.*

§. 25. *ἔπραττε*] id agebat, ut.

*ἐκείνου*] ponitur ex mente Xenophontis pro *αὐτοῦ* vel *ἑαυτοῦ*, ut alter alteris gravius opponatur. Quem usum multis exemplis illustrat Kuehner. ad Comment. I, 2, 3. Anab. IV, 3, 20. Infra §. 27. VII, 5, 2. Cf. etiam VII, 5, 14, ubi eadem ratione *τῶν δέ* ponitur.

*συνεσκευάσθαι*] paratos esse. Scriptura codicis F. ducere videtur ad *συσκευάσασθαι.* Sed v. ad V, 4, 7. VI, 2, 15.

§. 26. *οἷα*] V. ad V, 4, 39.

§. 27. *κατέβαλε τὸ — τεῖχος*] Diod. XV, 57: *Ἰάσων — ἐστράτευσεν εἰς τὴν Λοκρίδα καὶ τὴν μὲν Ἡράκλειαν τὴν ἐν Τραχινίᾳ διὰ προδόσεως ἑλὼν ἀνάστατον ἐποίησε.*

*ἐπὶ τὴν ἐκείνου δύναμιν*] Ad destruendam crescentem ipsius potentiam. Sic recte Sturz. Dindorfius *δύναμιν*

οὖσαν καταλαβόντες εἴργοιεν αὐτόν, εἴ που βούλοιτο
28 τῆς Ἑλλάδος πορεύεσθαι. Ἐπεὶ δ' ἀπῆλθε πάλιν εἰς
τὴν Θεσσαλίαν, μέγας μὲν ἦν καὶ διὰ τὸ τῷ νόμῳ Θεσ-
σαλῶν ταγὸς καθεστάναι καὶ διὰ τὸ μισθοφόρους πολ-
λοὺς τρέφειν περὶ αὐτὸν καὶ πεζοὺς καὶ ἱππέας, καὶ
τούτους ἐκπεπονημένους, ὡς ἂν κράτιστοι εἶεν· ἔτι δὲ
μείζων καὶ διὰ τὸ συμμάχους πολλοὺς τοὺς μὲν ἤδη
εἶναι αὐτῷ, τοὺς δὲ καὶ ἔτι βούλεσθαι γίγνεσθαι. Μέ-
γιστος δ' ἦν τῶν καθ' αὑτὸν τῷ μηδ' ὑφ' ἑνὸς εὐκατα-
29 φρόνητος εἶναι. Ἐπιόντων δὲ Πυθίων, παρήγγειλε μὲν
a. 370. ταῖς πόλεσι βοῦς καὶ ὄϊς καὶ αἶγας καὶ ὗς παρασκευά-
ζεσθαι ὡς εἰς τὴν θυσίαν· καὶ ἔφασαν πάνυ μετρίως
ἑκάστῃ πόλει ἐπαγγελλομένων γενέσθαι βοῦς μὲν οὐκ
ἐλάττους χιλίων, τὰ δὲ ἄλλα βοσκήματα πλείω ἢ μύρια.
Ἐκήρυξε δὲ καὶ νικητήριον χρυσοῦν στέφανον ἔσεσθαι,
ἥτις τῶν πόλεων βοῦν ἡγεμόνα κάλλιστον τῷ θεῷ θρέ-
30 ψειε. Παρήγγειλε δὲ καὶ ὡς στρατευσομένοις εἰς τὸν
περὶ τὰ Πύθια χρόνον Θετταλοῖς παρασκευάζεσθαι·
διενοεῖτο γάρ, ὡς ἔφασαν, καὶ τὴν πανήγυριν τῷ θεῷ
καὶ τοὺς ἀγῶνας αὐτὸς διατιθέναι. Περὶ μέντοι τῶν

§. 28. *Θεσσαλίαν* B. C. D. et *Θεσσαλῶν* A. B. C. D. F. pro *Θεττ.* — B. D. Ald. *περὶ αὐτὸν.*

§. 29. Dind. *οἷς* pro *ὄϊς*. — *καὶ αἶγας καὶ ὗς παρασκευάζεσθαι* B. D. E. F. I. V. Dind. pro *τρέφειν καὶ αἶγας καὶ ὗς καὶ παρασκ.* — *ἥτις* Weisk. Dind. pro *εἴ τις*.

§. 30. A. C. edd. vett. *αὐτῷ* pro *αὐτὸς*. — *λέγεται δὲ* B. C. D. E. F. I. V. marg. Steph. Leoncl. Dind. pro *λέγεται γάρ*.

accipit male pro ditione. De *ἐκείνου* v. ad §. 25.

*που — πορεύεσθαι*] Hier. XI, 10: *εἴ που βούλοιο, θεωρήσαντι πορεύεσθαι.* V. supra ad II, 3,54. VI, 2, 11. Kuehner. ad Anab. VI, 3, 23.

§. 28. *ταγός*] V. VI, 1, 18.

*τῶν καθ' αὑτόν*] omnium suae aetatis.

§. 29. *ὄϊς*] De hac forma ionica, quae libris firmatur etiam Anab. VI, 2, 3. Cyrop. V, 2, 5, v. Kuehner. ad Comment. II, 7, 13. Heiland. de dial. Xen. p. 19.

*ὡς εἰς τὴν θυσίαν*] V. ad II, 4, 11.

*μετρίως — ἐπαγγελλομένων*] quamvis admodum moderate imperarentur boves etc. De genitivo v. ad §. 8.

*βοῦν ἡγεμόνα*] qui agmen duceret et fortasse primus sacrificaretur.

§. 30. *παρήγγειλε*] *αὐτοῖς*.

*εἰς τὸν — χρόνον — παρασκευάζεσθαι*] Haec verba coniungenda sunt. Ad tempus circa Pythia (ut Grotius coniicit, circa mensis Augusti initium) paratos esse ad expeditionem Thessalos iubet.

*αὐτὸς διατιθέναι*] quod munus erat Amphictyonum.

ἱερῶν χρημάτων ὅπως μὲν διενοεῖτο ἔτι καὶ νῦν ἄδηλον· λέγεται δέ, ἐπερομένων τῶν Δελφῶν, τί χρὴ ποιεῖν, ἐὰν λαμβάνῃ τῶν τοῦ θεοῦ χρημάτων, ἀποκρίνασθαι τὸν θεόν, ὅτι αὐτῷ μελήσει. Ὁ δ' οὖν ἀνὴρ τηλικοῦτος ὢν 31
καὶ τοσαῦτα καὶ τοιαῦτα διανοούμενος, ἐξέτασιν πεποιηκὼς καὶ δοκιμασίαν τοῦ Φεραίων ἱππικοῦ καὶ ἤδη καθήμενος καὶ ἀποκρινόμενος, εἴ τις δεόμενός του προσίοι, ὑπὸ νεανίσκων ἑπτὰ προσελθόντων ὡς διαφερομένων τι ἀλλήλοις ἀποσφάττεται καὶ κατακόπτεται. Βοηθησάντων δὲ ἐῤῥωμένως τῶν παραγενομένων δο- 32
ρυφόρων εἷς μὲν ἔτι τύπτων τὸν Ἰάσονα λόγχῃ πληγεὶς ἀποθνήσκει· ἕτερος δὲ ἀναβαίνων ἐφ' ἵππον ἐγκαταληφθεὶς καὶ πολλὰ τραύματα λαβὼν ἀπέθανεν· οἱ δ' ἄλλοι ἀναπηδήσαντες ἐπὶ τοὺς παρεσκευασμένους ἵππους ἀπέφυγον· ὅποι δὲ ἀφίκοιντο τῶν Ἑλληνίδων πόλεων, ἐν ταῖς πλείσταις ἐτιμῶντο. Ὧι καὶ δῆλον ἐγένετο, ὅτι ἰσχυρῶς ἔδεισαν οἱ Ἕλληνες αὐτόν, μὴ τύραννος γένοιτο.

Ἀποθανόντος μέντοι ἐκείνου, Πολύδωρος ἀδελφὸς 33
αὐτοῦ καὶ Πολύφρων ταγοὶ κατέστησαν. Καὶ ὁ μὲν

§. 31. B. ἀποκρινάμενος.

§. 32. ἵππον A. B. C. D. E. F. I. V. margg. Leoncl. et Steph. Weisk. Schneid. Dind. pro ἵππον. — ἀφίκοιντο ex B. restituit Dind., ἀφίκοντο edd. vett. Schneid. Weisk.

λέγεται δέ] Aptius est δέ quam γάρ. Etenim vix quidquam faciunt haec verba ad explicanda ea quae antecedunt, et, si quid faciunt, etiam δέ explicativam habet vim, sed eam, ut novum simul quiddam accedere antecedenti sententiae indicet, id quod h. l. fit. V. Saupp. et Kuehner. ad Comment. II, 1, 1, quo autem loco pro δέ edidi γάρ, quia antecedens τοιαῦτα non nisi ad sequentia licet referre, ea autem, quibus explicatur illud τοιαῦτα, per δέ introduci nullo pacto possunt. Eodem iure infra VII, 5, 26 pro δὲ iam a Dindorfio restitutum est γάρ. Reperitur autem praeter hunc locum tale δέ explicativum Comment. II, 5, 5. III, 6, 14. infra VI, 5, 41.

§. 32. ὅποι — ἀφίκοιντο τῶν—πόλεων] idem est quod εἴ ποι sive εἰ εἴς τινα ἀφίκοιντο τῶν Ἑλλ. πόλεων, ut saepissime ὅστις pro εἴ τις ponitur. V. ad Cyrop. I, 2, 12, infra VI, 5, 30: ὅπου στρατοπεδεύοιντο = εἴ που στρατ. Ita demum intelligitur, quid sibi velit optativus (de quo v. ad III, 5, 24) et quomodo addi potuerit ἐν ταῖς πλείσταις.

αὐτόν, μὴ — γένοιτο] De anticipatione subiecti enuntiationis secundariae v. ad V, 4, 23.

§. 33. Πολύδωρος — καὶ Πολύφρων] Non ambo simul ταγοί erant, sed unus post alterum, ut apparet ex §. 34. Quare noli cum Bothio corrigere Πολύδωρος καὶ Πολύφρων ἀδελφοὶ αὐτοῦ. Deinceps vero, ubi inter-

Πολύδωρος. πορευομένων ἀμφοτέρων εἰς Λάρισαν, νύκτωρ καθεύδων ἀποθνήσκει ὑπὸ Πολύφρονος τοῦ ἀδελφοῦ, ὡς ἐδόκει· ὁ γὰρ θάνατος αὐτοῦ ἐξαπιναῖός
34 τε καὶ οὐκ ἔχων φανερὰν πρόφασιν ἐγένετο. Ὁ δ' αὖ Πολύφρων ἦρξε μὲν ἐνιαυτόν, κατεσκευάσατο δὲ τὴν ταγείαν τυραννίδι ὁμοίαν. Ἔν τε γὰρ Φαρσάλῳ τὸν Πολυδάμαντα καὶ ἄλλους τῶν πολιτῶν ὀκτὼ τοὺς κρατίστους ἀπέκτεινεν ἔκ τε Λαρίσης πολλοὺς φυγάδας ἐποίησε. Ταῦτα δὲ ποιῶν καὶ οὗτος ἀποθνήσκει ὑπ' Ἀλεξάνδρου, ὡς τιμωροῦντος τῷ Πολυδώρῳ καὶ τὴν
35 τυραννίδα καταλύοντος. Ἐπεὶ δ' αὐτὸς παρέλαβε τὴν ἀρχήν, χαλεπὸς μὲν Θετταλοῖς ταγὸς ἐγένετο, χαλεπὸς δὲ Θηβαίοις καὶ Ἀθηναίοις πολέμιος, ἄδικος δὲ λῃστὴς καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν. Τοιοῦτος δ' ὢν καὶ αὐτὸς αὖ ἀποθνήσκει, αὐτοχειρίᾳ μὲν ὑπὸ τῶν τῆς γυ-
36 ναικὸς ἀδελφῶν, βουλῇ δὲ ὑπ' αὐτῆς ἐκείνης. Τοῖς τε γὰρ ἀδελφοῖς ἐξήγγειλεν, ὡς ὁ Ἀλέξανδρος ἐπιβουλεύοι αὐτοῖς, καὶ ἔκρυψεν αὐτοὺς ἔνδον ὄντας ὅλην τὴν ἡμέραν, καὶ δεξαμένη μεθύοντα τὸν Ἀλέξανδρον ἐπεὶ κατεκοίμισεν, ὁ μὲν λύχνος ἐκάετο, τὸ δὲ ξίφος αὐτοῦ ἐξήνεγκεν. Ὡς δ' ᾔσθετο ὀκνοῦντας εἰσιέναι ἐπὶ τὸν Ἀλέξανδρον τοὺς ἀδελφούς, εἶπεν, ὡς, εἰ μὴ ἤδη πράξοιεν,

§. 33. *Λάρισαν* B. Dind., *Λάρισσαν* D. I., ceteri *τὴν Λάρισσαν*.
§. 34. V. *δ' οὖν* pro *δ' αὖ*. — Ante *ἐνιαυτὸν* B. C. D. F. V. Dind. om. *ἕνα*. — *ἔκ τε Λαρίσης* B. Dind., V. *ἔν τε Λαρίσσῃ* pro *ἔκ τε Λαρίσσης*.
§. 35. *θάλασσαν* B. C. D. F. pro *θάλατταν*. — *αὖ* post *αὐτὸς* addunt B. I. Leoncl. Steph. Schneid. Dind.
§. 36. C. *ἐξήγγελεν*. — D. edd. vett. om. *ὁ* ante *Ἀλεξ.* — *ἐπιβουλεύοι* B. C. D. V. Dind. pro *ἐπιβουλεύει*. — A. C. Bryl. Leoncl. Steph. Wells. *κατεκοίμησεν*. — *πράξοιεν* B. Dind. pro *πράξαιεν*. — *ῥόπτρον* marg. F. Dind. pro *ῥοπάλου*.

est dicere, Polyphronem Polydori fuisse fratrem, illius nomini additur *τοῦ ἀδελφοῦ*. Cf. Diod. XV, 60. sq.
§. 34. *τὸν Πολυδάμαντα*] V. VI, 1, 2. sqq.
§. 35. *χαλεπὸς — πολέμιος*] De Thebanis v. Plut. Epam. XXVI. De Atheniensibus Demosth. contr. Aristocr. 120. Praeterea Cyclades navibus Alexandri esse infestatas et Athenienses proelio navali victos teste Diod. XV, 95, animadvertit Schneider.
*τῆς γυναικός*] Thebes, Iasonis filiae. Plut. Pelop. XXVIII et XXXV, ubi Alexandri caedes paullo aliter narratur.
§. 36. *ἐπεὶ κατεκοίμισεν*] Delevi comma, quod vulgo erat ante *ἐπεί*, ut construas *καὶ ἐπεὶ δεξαμένη — κατεκοίμισεν*. De subiecto in sequentibus subito mutato v. ad III, 2, 4. 5, 20. IV, 1, 22. 29. 5, 15.

ἐξεγερεῖ αὐτόν. Ὡς δ' εἰςῆλθον, ἐπισπάσασα τὴν θύ-
ραν εἴχετο τοῦ ῥόπτρου, ἕως ἀπέθανεν ὁ ἀνήρ. Ἡ δὲ 37
ἔχθρα λέγεται αὐτῇ πρὸς τὸν ἄνδρα γενέσθαι ὑπὸ μέν
τινων, ὡς ἐπεὶ ἔδησε τὰ ἑαυτοῦ παιδικὰ ὁ Ἀλέξανδρος,
νεανίσκον ὄντα καλόν, δεηθείσης αὐτῆς λῦσαι, ἐξαγα-
γὼν αὐτὸν ἀπέσφαξεν· οἱ δέ τινες, ὡς ἐπεὶ παῖδες αὐ-
τῷ οὐκ ἐγίγνοντο ἐκ ταύτης, ὅτι πέμπων εἰς Θήβας
ἐμνήστευε τὴν Ἰάσονος γυναῖκα λαβεῖν. Τὰ μὲν οὖν
αἴτια τῆς ἐπιβουλῆς ὑπὸ τῆς γυναικὸς οὕτω λέγεται·
τῶν δὲ ταῦτα πραξάντων ἄχρι οὗ ὅδε ὁ λόγος ἐγράφετο
Τισίφονος πρεσβύτατος ὢν τῶν ἀδελφῶν τὴν ἀρχὴν
εἶχε.

§. 37. ἄνδρα B. C. D. E. F. I. V. margg. Leoncl. et Steph. Schn. Dind. pro Ἀλέξανδρον. — V. ἐμνηστεύετο. — γυναῖκον λαβεῖν, monente Steph., dedit Dind. pro γυν. ἀναλαβεῖν. — ἄχρι B. Dind. pro ἄχρις. — C. ὁ λόγος ὅδε.

εἴχετο τοῦ ῥόπτρου] Sturz: Laudat ῥόπτρον Harpocration e Xenophonte et explicat τὸν τῆς θύρας κρίκον. Steph. Thes.: apud Athenaeum quaedam dicitur ἔχεσθαι τῶν ῥόπτρων τῶν θυρῶν τοῦ ἱεροῦ. V. etiam Valcken. ad Herod. VI, 91: καταφεύγει πρὸς πρόθυρα Δήμητρος θεσμοφόρου, ἐπιλαβόμενος δὲ τῶν ἐπισπαστήρων εἴχετο.

§. 37. ὑπὸ — τινῶν] iungenda cum λέγεται.

ὡς ἐπεί] Ita dicitur, quasi antea dictum sit Περὶ δὲ τῆς γενέσεως τῆς ἔχθρας λέγεται.

τὰ ἑαυτοῦ παιδικά] Cf. Plut. Pelop. XXVIII.

οἱ δέ τινες, ὡς — ὅτι] Sic saepe post coniunctionem, interpositis aliquot verbis, altera infertur coniunctio. V. VI, 5, 13. Hier. I, 23. Cyrop. V, 3, 30. Pari modo repetitur οὐ V, 2, 33, μή Anab. III, 2, 25. Oecon. II, 15, ubi v. adn.

λαβεῖν] Frustra vulgatum ἀναλαβεῖν alii alio modo tueri conati sunt. Iteratas nuptias ita exprimi non posse, pro certo habendum est.

τῆς ἐπιβουλῆς ὑπὸ τῆς γυναικός] Usitatius esset τῆς ὑπὸ τῆς γυναικὸς ἐπιβουλῆς.

τῶν πραξάντων] Haec iungas cum τῶν ἀδελφῶν.

ἄχρι] Cf. var. lect. I, 3, 11. 5, 1. 14.

Τισίφονος] Cf. Diod. XVI, 14. V. etiam quae disserui de hoc loco in Praef. fasc. prioris p. XXIV.

# CAPUT V.

## ARGUMENTUM.

Quum Peloponnesii etiamnum auspicia Lacedaemoniorum sequerentur, Athenienses agebant cum civitatibus, ut se legibus pacis Antalcidae obstringerent. Fecerunt hoc quos convocaverant omnes praeter Eleos, qui civitates quasdam liberas dimittere nolebant. Mantineenses rursus in unam urbem invitis Lacedaemoniis coeunt. Apud Tegeatas Callibius universum concilium Arcadum constituere volebat: illi adversabatur Stasippi factio. Orto inde bello Martineensibus cum Callibio coniunctis Stasippus cum suis periit. Poenas a Mantineensibus repetitum Lacedaemonii mittunt Agesilaum. Sed quanquam interim illi Orchomeniis rursus bellum inferebant, tamen Agesilaus cunctandum ratus, quum hostes in campo potestatem sui non facerent, in Laconicam reversus dimisit exercitum domumque rediit. Thebani ab Arcadibus vocati quum Agesilaum viderent abiisse domum, domum et ipsi redire volebant: sed multorum precibus et cohortationibus victi in Laconicam irruperunt et vastatis agris prope accesserunt ad urbem. In hoc tumultu Lacedaemonii Helotes armant. Locant et insidias: e quibus hostes oppressos in fugam verterunt atque ita terruerunt, ut ab urbe discederent. Interim et Athenas miserunt legatos, qui opem eius civitatis implorarent, in quorum oratione illud maxime movit Athenienses, quod Lacedaemonii olim Thebanorum auctoritati obstiterant neque passi erant Atheniensium civitatem plane exscindi. Prorsus autem admirabilis erat oratio Proclis Phliasii. Denique iis miserunt Iphicratem cum omnibus copiis, cuius tamen opera tum fere fuit nulla, feliciterque videtur cessisse, quod sponte Thebani domum redierunt.

---

1 *Καὶ τὰ μὲν Θετταλικά, ὅσα περὶ Ἰάσονα ἐπράχθη καὶ μετὰ τὸν ἐκείνου θάνατον μέχρι τῆς Τισιφόνου ἀρχῆς δεδήλωται· νῦν δ' ἐπάνειμι ἔνθεν ἐπὶ ταῦτα ἐξέ-*
n. a. 370. *βην. Ἐπεὶ γὰρ Ἀρχίδαμος ἐκ τῆς ἐπὶ Λεῦκτρα βοηθείας ἀπήγαγε τὸ στράτευμα, ἐνθυμηθέντες οἱ Ἀθηναῖοι, ὅτι οἱ Πελοποννήσιοι ἔτι οἴονται χρῆναι ἀκολου-*

Cap. V. §. 1. Ante *Τισιφόνου* B. D. I. Dind. om. *τοῦ*. — A. C. E. F. Ald. Iunt. Cast. *Βοιωτίας* pro *βοηθείας*. — A. C. E. edd. ante

Cap. V. §. 1. *ἐπάνειμι*] V. VI, 4, 26.
*ἔνθεν — ἐξέβην*] Cf. *ὅθεν — ἐξέβην* VI, 1. extr.

*χρῆναι ἀκολουθεῖν*] Haec perspicua fiunt demum verbis subsequentibus. Lacedaemonii socios suos (Peloponnesios) non-

θεῖν καὶ οὔπω διακέοιντο οἱ Λακεδαιμόνιοι ὥςπερ τοὺς Ἀθηναίους διέθεσαν, μεταπέμπονται τὰς πόλεις ὅσαι βούλοιντο τῆς εἰρήνης μετέχειν, ἣν βασιλεὺς κατέπεμψεν. Ἐπεὶ δὲ συνῆλθον, δόγμα ἐποιήσαντο μετὰ τῶν 2
κοινωνεῖν βουλομένων ὀμόσαι τόνδε τὸν ὅρκον. Ἐμμενῶ ταῖς σπονδαῖς, ἃς βασιλεὺς κατέπεμψε, καὶ τοῖς ψηφίσμασι τοῖς Ἀθηναίων καὶ τῶν συμμάχων. Ἐὰν δέ τις στρατεύῃ ἐπί τινα πόλιν τῶν ὀμοσασῶν τόνδε τὸν ὅρκον, βοηθήσω παντὶ σθένει. Οἱ μὲν οὖν ἄλλοι πάντες ἔχαιρον τῷ ὅρκῳ. Ἠλεῖοι δὲ ἀντέλεγον, ὡς οὐ δέοι αὐτονόμους ποιεῖν οὔτε Μαργανεῖς οὔτε Σκιλλουντίους οὔτε Τριφυλίους· σφετέρας γὰρ εἶναι ταύτας τὰς πόλεις. Οἱ δ' Ἀθηναῖοι καὶ οἱ αλλοι ψηφισάμενοι, ὥςπερ 3
βασιλεὺς ἔγραψεν, αὐτονόμους εἶναι ὁμοίως καὶ μικρὰς καὶ μεγάλας πόλεις, ἐξέπεμψαν τοὺς ὁρκωτάς καὶ ἐκέλευσαν τὰ μέγιστα τέλη ἐν ἑκάστῃ πόλει ὁρκῶσαι. Καὶ ὤμοσαν πάντες πλὴν Ἠλείων.

Ἐξ ὧν δὴ καὶ οἱ Μαντινεῖς, ὡς ἤδη αὐτόνομοι παντάπασιν ὄντες, συνῆλθόν τε πάντες καὶ ἐψηφίσαντο μίαν πόλιν τὴν Μαντίνειαν ποιεῖν καὶ τειχίζειν τὴν πόλιν. Οἱ δ' αὖ Λακεδαιμόνιοι ἡγοῦντο, εἰ τοῦτο ἄνευ τῆς σφετέρας γνώμης ἔσοιτο, χαλεπὸν ἔσεσθαι. Πέμ- 4
πουσιν οὖν Ἀγησίλαον πρεσβευτὴν πρὸς τοὺς Μαντι-

Schneid. οὕτω pro οὔπω. — βούλοιντο B. I. marg. Leoncl. Steph. Schneid. Dind. pro βούλονται.

§. 2. τοῖς Ἀθηναίων B. Dind. pro τῶν Ἀθ. — στρατεύῃ B. D. E. F. I. V. Dind. pro στρατεύηται. — F. τῶν ὀμοσάντων. — Dind. Μαργανέας. — A. C. D. E. Τριφυλλίους.

§. 3. V. om. καὶ τειχίζειν τὴν πόλιν.

§. 4. πέμπουσιν οὖν B. D. E. F. I. V. Leoncl. Steph. Wells. Schneid. sqq. pro πέμπουσι γοῦν.

dum sui iuris fecerant, id quod facere Athenienses per Antalcidae pacem coegerant.

*βούλοιντο*] recte. Nam μεταπέμπονται est praesens historicum.

*ἣν βασιλεὺς κατέπεμψε*] V. V, 1, 28. sqq. Quae pax denuo confirmata erat VI, 3, 18—20.

§. 2. *τῶν ὀμοσασῶν*] Correctoris est quod cod. F. praebet: τῶν ὀμοσάντων.

*Μαργανεῖς*] ut III, 2, 30. 31. Illas urbes, quibus a. 399 libertatem concesserant, post pugnam Leuctricam denuo sibi subiecerant Elei.

§. 3. *ἔγραψεν*] Cf. V, 1, 32: ὥςπερ τὰ βασιλέως γράμματα ἔλεγεν, αὐτονόμους εἶναι καὶ μικρὰν καὶ μεγάλην πόλιν.

*μίαν πόλιν — ποιεῖν*] V. V, 2, 5—7.

νέας, ὅτι ἐδόκει πατρικὸς φίλος αὐτοῖς εἶναι. Ἐπεὶ δὲ
ἀφίκετο πρὸς αὐτούς, τὸν μὲν δῆμον τῶν Μαντινέων οἱ
ἄρχοντες οὐκ ἤθελον συλλέξαι αὐτῷ, πρὸς δὲ σφᾶς
ἐκέλευον λέγειν ὅτου δέοιτο. Ὁ δὲ ὑπισχνεῖτο αὐτοῖς,
ἐὰν νῦν ἐπίσχωσι τῆς τειχίσεως, ποιήσειν, ὥστε μετὰ
τῆς Λακεδαίμονος γνώμης καὶ μὴ δαπανηρῶς τειχισθῆ-
5 ναι τὸ τεῖχος. Ἐπεὶ δὲ ἀπεκρίναντο, ὅτι ἀδύνατον εἴη
ἐπισχεῖν, δόγματος γεγενημένου πάσῃ τῇ πόλει ἤδη
τειχίζειν, ἐκ τούτου ὁ μὲν Ἀγησίλαος ἀπῄει ὀργιζόμε-
νος· στρατεύειν γε μέντοι ἐπ' αὐτοὺς οὐ δυνατὸν ἐδό-
κει εἶναι, ἐπ' αὐτονομίᾳ τῆς εἰρήνης γεγενημένης. Τοῖς
δὲ Μαντινεῦσιν ἔπεμπον μὲν καὶ τῶν Ἀρκαδικῶν πό-
λεών τινες συντειχιοῦντας, οἱ δὲ Ἠλεῖοι καὶ ἀργυρίου
τρία τάλαντα συνεβάλοντο αὐτοῖς εἰς τὴν περὶ τὸ τεῖ-
χος δαπάνην. Καὶ οἱ μὲν Μαντινεῖς περὶ ταῦτ' ἦσαν.

6 Τῶν δὲ Τεγεατῶν οἱ μὲν περὶ τὸν Καλλίβιον καὶ
Πρόξενον ἐνῆγον ἐπὶ τὸ συνιέναι τε πᾶν τὸ Ἀρκαδικόν,
καὶ ὅ τι νικῴη ἐν τῷ κοινῷ, τοῦτο κύριον εἶναι καὶ τῶν
πόλεων· οἱ δὲ περὶ τὸν Στάσιππον ἔπραττον ἐᾶν τε
κατὰ χώραν τὴν πόλιν καὶ τοῖς πατρίοις νόμοις χρῆσθαι.
7 Ἡττώμενοι δὲ οἱ περὶ τὸν Πρόξενον καὶ Καλλίβιον ἐν
τοῖς θεαροῖς, νομίσαντες, εἰ συνέλθοι ὁ δῆμος, πολὺ

§. 5. A. E. Ald. Iunt. Bryl. Steph. Leoncl. Wells. *συντειχιοῦντες*. — Mg. Leoncl. *τριάκοντα* pro *τρία*. — *συνεβάλλοντο* B. Schneid., *συνεβάλον* (sic) D., *συνεβάλοντο* ceteri.
§. 6. Post *τῶν δὲ* B. Dind. om. *γε*. — *ἐνῆγον* marg. F., ceteri *συνῆγον*.
§. 7. *θεαροῖς* Dobr. Dind. pro *θεάτροις*.

§. 4. *πατρικὸς φίλος*] V. V, 2, 3.
§. 6. *ἐνῆγον*] inducebant, ut. Hoc, quod sensus postulat, nullo pacto significat vulgatum *συνῆγον*. Saepissime *ἐν* et *σύν* confundi notum est. Ab *ἐνῆγον* pendet *κύριον εἶναι* ut *ἐᾶν* ab *ἔπραττον*.
*συνιέναι τε πᾶν τὸ Ἀρκ.*] Plut. Pelop. XXIV: *πᾶσαν μὲν Ἀρκαδίαν εἰς μίαν δύναμιν συνέστησαν*. Id ipsum enim volebant Callibius et Proxenus, abducere cives cum reliquis Arcadibus Megapolin, quae urbs, auctore Paus. VIII, 27, 2, paullo post victoriam Leuctricam condi coepta est, absoluta vero, si Diodoro XV, 72 fidem habemus, anno demum 368. a. Ch.
*ὅ τι νικῴη*] quod maximam suffragiorum partem nactum esset. Sic *ἐνίκησε* VII, 1, 28.
*ἐᾶν — κατὰ χώραν*] suo loco relinquere, non Megalopolin deducere cives. De verbo *ἔπραττον* v. ad Ages. III, 3. Cf. supra VI, 4, 25.
§. 7. *θεαροῖς*] forma dorica pro *θεωροῖς*. Erant autem *θεω-*

ἂν τῷ πλήθει κρατῆσαι, ἐκφέρονται τὰ ὅπλα. Ἰδόντες δὲ τοῦτο οἱ περὶ τὸν Στάσιππον καὶ αὐτοὶ ἀνθωπλίσαντο καὶ ἀριθμῷ μὲν οὐκ ἐλάττους ἐγένοντο· ἐπεὶ μέντοι εἰς μάχην ὥρμησαν, τὸν μὲν Πρόξενον καὶ ἄλλους ὀλίγους μετ᾽ αὐτοῦ ἀποκτείνουσι, τοὺς δ᾽ ἄλλους τρεψάμενοι οὐκ ἐδίωκον· καὶ γὰρ τοιοῦτος ὁ Στάσιππος ἦν, οἷος μὴ βούλεσθαι πολλοὺς ἀποκτιννύναι τῶν πολιτῶν. Οἱ δὲ περὶ τὸν Καλλίβιον ἀνακεχωρηκότες 8
ὑπὸ τὸ πρὸς Μαντινείας τεῖχος καὶ τὰς πύλας, ἐπεὶ οὐκέτι αὐτοῖς οἱ ἐναντίοι ἐπεχείρουν, ἡσυχίαν εἶχον ἠθροισμένοι. Καὶ πάλαι μὲν ἐπεπόμφεσαν ἐπὶ τοὺς Μαντινέας βοηθεῖν κελεύοντες· πρὸς δὲ τοὺς περὶ Στάσιππον διελέγοντο περὶ συναλλαγῶν. Ἐπεὶ δὲ καταφανεῖς ἦσαν οἱ Μαντινεῖς προσιόντες, οἱ μὲν αὐτῶν ἀναπηδῶντες ἐπὶ τὸ τεῖχος ἐκέλευον βοηθεῖν τὴν ταχίστην καὶ βοῶντες σπεύδειν διεκελεύοντο· ἄλλοι δὲ ἀνοίγουσι τὰς πύλας αὐτοῖς. Οἱ δὲ περὶ τὸν Στάσιππον ὡς 9
ᾔσθοντο τὸ γιγνόμενον, ἐκπίπτουσι κατὰ τὰς ἐπὶ τὸ Παλλάντιον φερούσας πύλας καὶ φθάνουσι πρὶν καταληφθῆναι ὑπὸ τῶν διωκόντων εἰς τὸν τῆς Ἀρτέμιδος νεὼν καταφυγόντες καὶ ἐγκλεισάμενοι ἡσυχίαν εἶχον. Οἱ δὲ μεταδιώξαντες ἐχθροὶ αὐτῶν ἀναβάντες ἐπὶ τὸν νεὼν καὶ τὴν ὀροφὴν διελόντες ἔπαιον ταῖς κεραμίσιν. Οἱ δ᾽ ἐπεὶ ἔγνωσαν τὴν ἀνάγκην, παύεσθαί τε ἐκέλευον καὶ ἐξιέναι ἔφασαν. Οἱ δ᾽ ἐναντίοι ὡς ὑποχειρίους ἔλαβον αὐτούς, δήσαντες καὶ ἀναβαλόντες ἐπὶ τὴν ἁρμάμαξαν ἀπήγαγον εἰς Τεγέαν. Ἐκεῖ δὲ μετὰ τῶν Μαντινέων καταγνόντες ἀπέκτειναν.

Τούτων δὲ γιγνομένων, ἔφυγον εἰς Λακεδαίμονα 10

§. 8. V. ἀποκεχ. pro ἀνακεχωρηκότες.
§. 9. Παλλάντιον B. C. D. F. Dind. pro Παλάντιον. — F. V. ναὸν pro νεὼν. — B. καταφεύγοντας pro καταφυγόντες. — ἀναβαλόντες Dind. pro ἀναλαβόντες.

ροί, ut apparet e Thuc. V, 47, magistratus Mantineensium eiusdem, ut videtur, dignitatis ac prytanes Atheniensium. Dobraeus.

τρεψάμενοι] V. ad V, 3, 2.

οἷος — βούλεσθαι] V. ad IV, 3, 13.

§. 8. τὸ πρὸς Μαντινείας τεῖχος καὶ τὰς πύλας] Eodem sensu §. 9: τὰς ἐπὶ τὸ Παλλάντιον φερούσας πύλας.

§. 9. ἐπὶ τὴν ἁρμάμαξαν] in id carpentum, quod ad vehendos captivos secum duxerant.

τῶν περὶ Στάσιππον Τεγεατῶν περὶ ὀκτακοσίους. Μετὰ δὲ ταῦτα τοῖς Λακεδαιμονίοις ἐδόκει βοηθητέον εἶναι κατὰ τοὺς ὅρκους τοῖς τεθνεῶσί τε τῶν Τεγεατῶν καὶ ἐκπεπτωκόσι· καὶ οὕτω στρατεύουσιν ἐπὶ τοὺς Μαντινέας, ὡς παρὰ τοὺς ὅρκους σὺν ὅπλοις ἐληλυθότων αὐτῶν ἐπὶ τοὺς Τεγεάτας. Καὶ φρουρὰν μὲν οἱ ἔφοροι ἔφαινον, Ἀγησίλαον δ' ἐκέλευεν ἡ πόλις ἡγεῖ-
11 σθαι. Οἱ μὲν οὖν ἄλλοι Ἀρκάδες εἰς Ἀσέαν συνελέγοντο· Ὀρχομενίων δὲ οὐκ ἐθελόντων κοινωνεῖν τοῦ Ἀρκαδικοῦ διὰ τὴν πρὸς Μαντινέας ἔχθραν, ἀλλὰ καὶ δεδεγμένων εἰς τὴν πόλιν τὸ ἐν Κορίνθῳ συνειλεγμένον ξενικόν, οὗ Πολύτροπος ἦρχεν, ἔμενον οἴκοι οἱ Μαντινεῖς τούτων ἐπιμελόμενοι. Ἡραιεῖς δὲ καὶ Λεπρεᾶται συνεστρατεύοντο τοῖς Λακεδαιμονίοις ἐπὶ τοὺς Μαντι-
12 νέας. Ὁ δὲ Ἀγησίλαος, ἐπεὶ ἐγένετο αὐτῷ τὰ διαβατήρια, εὐθὺς ἐχώρει ἐπὶ τὴν Ἀρκαδίαν. Καὶ καταλαβὼν πόλιν ὅμορον οὖσαν Εὔταιαν καὶ εὑρὼν ἐκεῖ τοὺς μὲν πρεσβυτέρους καὶ τὰς γυναῖκας καὶ τοὺς παῖδας οἰκοῦντας ἐν ταῖς οἰκίαις, τοὺς δ' ἐν τῇ στρατευσίμῳ ἡλικίᾳ οἰχομένους εἰς τὸ Ἀρκαδικόν, ὅμως οὐκ ἠδίκησε τὴν πόλιν, ἀλλ' εἴα τε αὐτοὺς οἰκεῖν, καὶ ὠνούμενοι ἐλάμβανον ὅσων δέοιντο· εἰ δέ τι καὶ ἡρπάσθη, ὅτε εἰσῄει εἰς τὴν πόλιν, ἐξευρὼν ἀπέδωκε. Καὶ ἐπῳκοδόμει δὲ τὸ τεῖχος αὐτῶν ὅσα ἐδεῖτο, ἕωςπερ αὐτοῦ διέτριβεν ἀναμένων τοὺς μετὰ Πολυτρόπου μισθοφόρους.
13 Ἐν δὲ τούτῳ οἱ Μαντινεῖς στρατεύουσιν ἐπὶ τοὺς Ὀρχομενίους. Καὶ ἀπὸ μὲν τοῦ τείχους μάλα χαλεπῶς

§. 10. Post *εἶναι* B. D. F. I. V. Dind. om. *τὴν ταχίστην* cl. §. 8. — *κατὰ τοὺς ὅρκους* vulgo post *Τεγεατῶν* posita Schneid. post *ἐκπεπτωκόσι*, Dind. cum B. C. D. E. F. V. post *εἶναι* posuit. — *τε* post *τεθνεῶσι* addunt B. D. V. Dind. — F. *σὺν τοῖς ὅπλοις*, V. *σὺν ὅπλοις* ponit post *αὐτῶν*. — A. B. C. F. V. *ἐκέλευον* pro *ἐκέλευεν*.

§. 11. *ἐπιμελόμενοι* B. D. V. Dind. pro *ἐπιμελούμ*.

§. 12. Steph. edd. sqq. *Εὐταίαν*, Dind. *Εὔταιαν* pro *Εὔγαιαν*. — B. *εἰ δέ τις καί*. — *τὸ τεῖχος* B. D. V. Dind. pro *τεῖχος*.

§. 10. *παρὰ τοὺς ὅρκους*] V. VI, 3, 18.

*ὡς — ἐληλυθότων*] V. III, 5, 8. ad *ψηφισαμένων*.

*Ἀσέαν*] Arcadiae meridionalis pagum.

§. 11. *τούτων ἐπιμελόμενοι*] hos observantes.

§. 12. *ἐγένετο — διαβατήρια*] V. ad III, 5, 7.

§. 13. *μάλα χαλεπῶς ἀπῆλθον*] magna cum clade re-

ἀπῆλθον, καὶ ἀπέθανόν τινες αὐτῶν· ἐπεὶ δὲ ἀποχωροῦντες ἐν τῇ Ἐλυμίᾳ ἐγένοντο, καὶ οἱ μὲν Ὀρχομένιοι ὁπλῖται οὐκέτι ἠκολούθουν, οἱ δὲ περὶ τὸν Πολύτροπον ἐπέκειντο καὶ μάλα θρασέως, ἐνταῦθα γνόντες οἱ Μαντινεῖς, ὡς, εἰ μὴ ἀποκρούσονται αὐτούς, ὅτι πολλοὶ σφῶν κατακοντισθήσονται, ὑποστρέψαντες ὁμόσε ἐχώρησαν τοῖς ἐπικειμένοις. Καὶ ὁ μὲν Πολύτροπος μα- 14
χόμενος αὐτοῦ ἀποθνήσκει· τῶν δ' ἄλλων φευγόντων πάμπολλοι ἂν ἀπέθανον, εἰ μὴ οἱ Φλιάσιοι ἱππεῖς παραγενόμενοι καὶ εἰς τὸ ὄπισθεν περιελάσαντες τῶν Μαντινέων ἐπέσχον αὐτοὺς τῆς διώξεως. Καὶ οἱ μὲν Μαντινεῖς ταῦτα πράξαντες οἴκαδε ἀπῆλθον.

Ὁ δὲ Ἀγησίλαος ἀκούσας ταῦτα καὶ νομίσας οὐκ 15
ἂν ἔτι συμμίξαι αὐτῷ τοὺς ἐκ τοῦ Ὀρχομενοῦ μισθοφόρους, οὕτω προῄει. Καὶ τῇ μὲν πρώτῃ ἐν τῇ Τεγεάτιδι χώρᾳ ἐδειπνοποιήσατο, τῇ δ' ὑστεραίᾳ διαβαίνει εἰς τὴν Μαντινικὴν καὶ ἐστρατοπεδεύσατο ὑπὸ τοῖς πρὸς ἑσπέραν ὄρεσι τῆς Μαντινείας· καὶ ἐκεῖ ἅμα ἐδῄου τὴν χώραν καὶ ἐπόρθει τοὺς ἀγρούς. Τῶν δὲ Ἀρκάδων οἱ συλλεγέντες ἐν τῇ Ἀσέᾳ νυκτὸς παρῆλθον εἰς τὴν Τεγέαν. Τῇ δ' ὑστεραίᾳ ὁ μὲν Ἀγησίλαος ἀπέχων Μαν- 16
τινείας ὅσον εἴκοσι σταδίους ἐστρατοπεδεύσατο· οἱ δ' ἐκ τῆς Τεγέας Ἀρκάδες, ἐχόμενοι τῶν μεταξὺ Μαντινείας καὶ Τεγέας ὀρῶν, παρῆσαν μάλα πολλοὶ ὁπλῖται, συμμίξαι βουλόμενοι τοῖς Μαντινεῦσι· καὶ γὰρ οἱ Ἀρ-

§. 14. εἰς τὸ ὄπισθεν B. margg. Steph. et Leoncl. pro εἰς τὰ ὄπ. — B. V. καὶ οἱ Μαντινεῖς.

§. 15. Ald. Iunt. Cast. εἰς Τεγέαν.

§. 16. E. inserit καὶ post ἀπέχων. — Ante βουλόμενοι om. μάλα

cedebant, postquam moenia adorti erant. Cf. Diod. XV, 62.

ὡς — ὅτι] V. ad VI, 4, 37.

§. 14. εἰς τὸ ὄπισθεν] Xenophon modo τὸ modo τὰ ὄπισθεν habet. Ergo codicis B. scripturam hic et §. 16 praetuli. Eadem verborum collocatio est Cyrop. VII, 1, 36: εἰς τὸ ὄπισθεν περιελάσειεν αὐτῶν.

§. 15. οὕτω] V. ad III, 2, 9.

διαβαίνει] per fines Tegaeos. Cf. III, 2, 11. VI, 4, 21.

πρὸς ἑσπέραν — τῆς Μαντινείας] V. ad V, 4, 38.

§. 16. οἱ ἐκ τῆς Τεγέας Ἀρκάδες] Arcades, qui Tegeae erant, inde advenerunt. V. III, 1, 18.

ἐχόμενοι — ὀρῶν] sub ipsis montium radicibus proficiscentes.

μάλα πολλοὶ ὁπλῖται] simplex, non partitiva, appositio subiecti Ἀρκάδες.

γεῖοι οὐ πανδημεὶ ἠκολούθουν αὐτοῖς· καὶ ἦσαν μέν τινες, οἳ τὸν Ἀγησίλαον ἔπειθον χωρὶς τούτοις ἐπιθέσθαι· ὁ δὲ φοβούμενος, μὴ ἐν ὅσῳ πρὸς ἐκείνους πορεύοιτο, ἐκ τῆς πόλεως οἱ Μαντινεῖς ἐξελθόντες κατὰ κέρας τε καὶ ἐκ τοῦ ὄπισθεν ἐπιπέσοιεν αὐτῷ, ἔγνω κράτιστον εἶναι ἐᾶσαι συνελθεῖν αὐτοὺς καί, εἰ βούλοιντο μάχεσθαι, ἐκ τοῦ δικαίου καὶ φανεροῦ μάχην ποιεῖσθαι. Καὶ οἱ μὲν δὴ Ἀρκάδες ὁμοῦ ἤδη ἐγεγένηντο.
17 Οἱ δ' ἐκ τοῦ Ὀρχομενοῦ πελτασταὶ καὶ οἱ τῶν Φλιασίων ἱππεῖς μετ' αὐτῶν τῆς νυκτὸς διεξελθόντες παρὰ τὴν Μαντίνειαν θυομένῳ τῷ Ἀγησιλάῳ πρὸ τοῦ στρατοπέδου ἐπιφαίνονται ἅμα τῇ ἡμέρᾳ καὶ ἐποίησαν τοὺς μὲν ἄλλους εἰς τὰς τάξεις δραμεῖν, Ἀγησίλαον δ' ἐπαναχωρῆσαι πρὸς τὰ ὅπλα. Ἐπεὶ δ' ἐκεῖνοι μὲν ἐγνώσθησαν φίλοι ὄντες, Ἀγησίλαος δὲ ἐκεκαλλιέρητο, ἐξ ἀρίστου προῆγε τὸ στράτευμα. Ἑσπέρας δ' ἐπιγιγνομένης ἔλαθε στρατοπεδευσάμενος εἰς τὸν ὄπισθεν κόλπον τῆς Μαντινικῆς, μάλα σύνεγγυς καὶ κύκλῳ ὄρη ἔχοντα.
18 Τῇ δ' ὑστεραίᾳ ἅμα τῇ ἡμέρᾳ ἐθύετο μὲν πρὸ τοῦ στρατεύματος· ἰδὼν δὲ συλλεγομένους ἐκ τῆς τῶν Μαντινέων πόλεως ἐπὶ τοῖς ὄρεσι τοῖς ὑπὲρ τῆς οὐρᾶς τοῦ ἑαυτῶν στρατεύματος, ἔγνω ἐξακτέον εἶναι τὴν ταχίστην ἐκ τοῦ κόλπου. Εἰ μὲν οὖν αὐτὸς ἀφηγοῖτο, ἐφοβεῖτο, μὴ τῇ οὐρᾷ ἐπίθοιντο οἱ πολέμιοι· ἡσυχίαν

B. C. Dind., D. habet λίαν βουλόμενοι. — ἐκ τοῦ οπ. B.margg. Steph. et Leoncl. pro ἐκ τῶν ὄπ. — μάχην B. margg. Steph. et Leoncl. pro τὴν μάχην. — A. C. E. F. Ald. Iunt. Cast. om. δὴ post οἱ μέν.

§. 17. V. ἄστεος pro στρατοπέδου. — C. E. F. Ald. Iunt. Cast. om. τὰς ante τάξεις. — ἐπιγιγνομένης B. D. V. Dind. pro ἐπιγινομένης.

§. 18. B. om. ἰδὼν — στρατεύματος. — C. ἐπὶ τῆς pro ὑπὲρ τῆς. F. Ald. ἐποιοῦντο pro ἐποιεῖτο.

αὐτοῖς] Arcadibus, qui, quum eos pars tantum copiarum Argivarum sequeretur, se non pares rati Lacedaemoniis, antequam pugnam cum his inirent, cum Mantineensibus coniungere se volebant.

ἔπειθον] suadere studebant. V. ad III, 5, 18.

τούτοις] Arcadibus et Argivis.

κατα κέρας] a latere.

ἐκ τοῦ δικαίου καὶ φανεροῦ] iustam pugnam in aperto campo.

§. 18. συλλεγομένους] Mantineenses paullatim se colligentes.

ἑαυτῶν] De plurali v. ad IV, 8, 24.

δὲ ἔχων καὶ τὰ ὅπλα πρὸς τοὺς πολεμίους φαίνων, ἀναστρέψαντας ἐκέλευε τοὺς ἀπ' οὐρᾶς εἰς δόρυ ὄπισθεν τῆς φάλαγγος ἡγεῖσθαι πρὸς αὐτόν· καὶ οὕτως ἅμα ἔκ τε τοῦ στενοῦ ἐξῆγε καὶ ἰσχυροτέραν ἀεὶ τὴν φάλαγγα ἐποιεῖτο. Ἐπειδὴ δὲ ἐδεδίπλωτο ἡ φάλαγξ, οὕτως 19
ἔχοντι τῷ ὁπλιτικῷ προελθὼν εἰς τὸ πεδίον ἐξέτεινε πάλιν ἐπ' ἐννέα ἢ δέκα τὸ στράτευμα ἀσπίδων. Οἱ μέντοι Μαντινεῖς οὐκέτι ἐξῄεσαν· καὶ γὰρ οἱ Ἠλεῖοι συστρατευόμενοι αὐτοῖς ἔπειθον μὴ ποιεῖσθαι μάχην, πρὶν οἱ Θηβαῖοι παραγένοιντο· εὖ δὲ εἰδέναι ἔφασαν, ὅτι παρέσοιντο· καὶ γὰρ δέκα τάλαντα δεδανεῖσθαι αὐτοὺς παρὰ σφῶν εἰς τὴν βοήθειαν. Οἱ μὲν δὴ Ἀρκάδες 20
ταῦτα ἀκούσαντες ἡσυχίαν εἶχον ἐν τῇ Μαντινείᾳ· ὁ δ' Ἀγησίλαος καὶ μάλα βουλόμενος ἀπάγειν τὸ στράτευμα, καὶ γὰρ ἦν μέσος χειμών, ὅμως ἐκεῖ κατέμεινε τρεῖς ἡμέρας, οὐ πολὺ ἀπέχων τῆς Μαντινέων πόλεως, ὅπως μὴ δοκοίη φοβούμενος σπεύδειν τὴν ἄφοδον. Τῇ δὲ τετάρτῃ πρωῒ ἀριστοποιησάμενος ἀπῆγεν ὡς στρατοπεδευσόμενος ἔνθαπερ τὸ πρῶτον ἀπὸ τῆς Εὐταίας ἐξωρμήσατο. Ἐπεὶ δὲ οὐδεὶς ἐφαίνετο τῶν Ἀρκάδων, ἦγε 21
τὴν ταχίστην εἰς τὴν Εὔταιαν, καίπερ μάλα ὀψίζων, βουλόμενος ἀπαγαγεῖν τοὺς ὁπλίτας, πρὶν καὶ τὰ πυρὰ

§. 19. F. δὲ inserit post προελθὼν et τῶν ante ἀσπίδων. — συστρατευόμενοι B. C. D. E. F. I. marg. Steph. Leoncl. Dind. pro στρατοπεδευόμενοι.

§. 20. Ante Μαντινέων om. τῶν. B. — V. σπεύδων. — Dind. πρῳ pro πρωί.

τὰ ὅπλα — φαίνων] arma — obvertens.

ἀναστρέψαντας — εἰς δόρυ] conversos dextrorsum iubet qui proximi erant hostibus se collocare post eam aciei partem, in qua ipse erat. Quo fit, ut novissimum agmen, quod, ut collocati erant, simul erat laevum cornu, periculo eripiatur simulque tota phalanx, iam duplicata, magis firmetur eodem tempore, quo ex convalle exit.

§. 19. ἀσπίδων] V. ad VI, 4, 12.

οὐκέτι ἐξῄεσαν] Mantineenses, qui antequam Lacedaemoniorum conversio facta est et dum fit, urbe egrediebantur et in montibus se colligebant, iam ubi confectam vident conversionem, non amplius exeunt. Non igitur opus est emendatione Cobeti οὐκ ἐπεξῄεσαν.

§. 20. ἀπὸ τῆς Εὐταίας] ubi primum castra, quum movisset Eutaea, habuerat. V. §. 12.

ἐξωρμήσατο] rarior forma quam ἐξωρμήθη.

§. 21. πρὶν — τὰ πυρὰ — ἰδεῖν] h. e. ante noctem. Etenim si nocte abduxisset exerci-

τῶν πολεμίων ἰδεῖν, ἵνα μή τις εἴποι, ὡς φεύγων ἀπαγάγοι. Ἐκ γὰρ τῆς πρόσθεν ἀθυμίας ἐδόκει τι ἀνειληφέναι τὴν πόλιν, ὅτι καὶ ἐμβεβλήκει εἰς τὴν Ἀρκαδίαν καὶ δῃοῦντι τὴν χώραν οὐδεὶς ἠθελήκει μάχεσθαι. Ἐπεὶ δ' ἐν τῇ Λακωνικῇ ἐγένετο, τοὺς μὲν Σπαρτιάτας ἀπέλυσεν οἴκαδε, τοὺς δὲ περιοίκους ἀφῆκεν ἐπὶ τὰς ἑαυτῶν πόλεις.

22 Οἱ δὲ Ἀρκάδες, ἐπεὶ ὁ Ἀγησίλαος ἀπεληλύθει καὶ
1. a. 369. ᾔσθοντο διαλελυμένον αὐτῷ τὸ στράτευμα, αὐτοὶ δὲ ἠθροισμένοι ἐτύγχανον, στρατεύουσιν ἐπὶ τοὺς Ἡραιέας, ὅτι τε οὐκ ἤθελον τοῦ Ἀρκαδικοῦ μετέχειν καὶ ὅτι συνειςβεβλήκεσαν εἰς τὴν Ἀρκαδίαν μετὰ τῶν Λακεδαιμονίων. Ἐμβαλόντες δὲ ἐνεπίμπρων τε τὰς οἰκίας καὶ ἔκοπτον τὰ δένδρα.

Ἐπεὶ δὲ οἱ Θηβαῖοι βεβοηθηκότες παρεῖναι ἐλέγοντο εἰς τὴν Μαντίνειαν, οὕτως ἀπαλλάττονται ἐκ τῆς Ἡραί-
23 ας καὶ συμμιγνύουσι τοῖς Θηβαίοις. Ὡς δ' ὁμοῦ ἐγένοντο, οἱ μὲν Θηβαῖοι καλῶς σφίσιν ᾤοντο ἔχειν, ἐπεὶ ἐβεβοηθήκεσαν μέν, πολέμιον δὲ οὐδένα ἔτι ἑώρων ἐν τῇ χώρᾳ, καὶ ἀπιέναι παρεσκευάζοντο· οἱ δὲ Ἀρκάδες καὶ Ἀργεῖοι καὶ Ἠλεῖοι ἔπειθον αὐτοὺς ἡγεῖσθαι ὡς τάχιστα εἰς τὴν Λακωνικήν, ἐπιδεικνύοντες μὲν τὸ ἑαυτῶν πλῆθος, ὑπερεπαινοῦντες δὲ τὸ τῶν Θηβαίων στράτευμα. Καὶ γὰρ οἱ μὲν Βοιωτοὶ ἐγυμνάζοντο πάντες περὶ τὰ ὅπλα, ἀγαλλόμενοι τῇ ἐν Λεύκτροις νίκῃ· ἠκο-

§. 21. εἴποι B. D. Dind. pro εἴπῃ. — Dind. ἐνεβεβλήκει, V. ἐμβεβλήκοι. — F. αὐτοῦ pro ἑαυτῶν.
§. 22. Dind. συνειςεβεβλήκεσαν, A. Ald. Iunt. Cast. συνειςβεβήκεσαν.
§. 23. F. ἡγοῦντο pro ᾤοντο. — A. edd. ante Dind. praeter Steph. omnes ἐπιδεικνύντες. — B. D. I. V. πάντες παρὰ τά. — Μηλιεῖς

tum, metu hoc fecisse dici potuisset, quod evitavit Agesilaus, ne cives sui in eam maestitiam, ex qua vix recreati erant, denuo reciderent. Cf. Plut. Ages. XXX: βουλόμενος δὲ τὴν παροῦσαν ἀθυμίαν καὶ κατήφειαν ἀφελεῖν τῶν νέων, ἐνέβαλεν εἰς Ἀρκαδίαν —, ἑλὼν δὲ πολίχνην τινὰ τῶν Μαντινέων καὶ τὴν χώραν ἐπιδραμὼν ἐλαφροτέραν ἐποίησε ταῖς ἐλπίσι καὶ ἡδίω τὴν πόλιν, ὡς οὐ παντάπασιν ἀπεγνωσμένην.

ἑαυτῶν] Rarius pronomen reflexivum refertur ad obiectum. V. Kuehner. ad Anab. IV, 5, 35.

§. 22. Ἡραιέας] De hac forma v. ad III, 5, 6.

οὐκ ἤθελον — μετέχειν] V. §. 11.

συνειςβεβλήκεσαν] V. ad I, 5, 10. IV, 1, 3.

οὕτως] V. ad III, 2, 12.

λούθουν δ᾽ αὐτοῖς καὶ Φωκεῖς ὑπήκοοι γεγενημένοι καὶ Εὐβοεῖς ἀπὸ πασῶν τῶν πόλεων καὶ Λοκροὶ ἀμφότεροι καὶ Ἀκαρνᾶνες καὶ Ἡρακλεῶται καὶ Μηλιεῖς· ἠκολούθουν δ᾽ αὐτοῖς καὶ ἐκ Θετταλίας ἱππεῖς τε καὶ πελτασταί. Ταῦτα δὴ συνειδόμενοι καὶ τὴν ἐν Λακεδαίμονι ἐρημίαν λέγοντες ἱκέτευον μηδαμῶς ἀποτρέπεσθαι, πρὶν ἐμβαλεῖν εἰς τὴν τῶν Λακεδαιμονίων χώραν.
Οἱ δὲ Θηβαῖοι ἤκουον μὲν ταῦτα, ἀντελογίζοντο δέ, ὅτι 24
δυςεμβολωτάτη μὲν ἡ Λακωνικὴ ἐλέγετο εἶναι, φρουρὰς δὲ καθεστάναι ἐνόμιζον ἐπὶ τοῖς εὐπροςοδωτάτοις. Καὶ γὰρ ἦν Ἰσχόλαος μὲν ἐν Οἰῷ τῆς Σκιρίτιδος, ἔχων νεοδαμώδεις τε φρουροὺς καὶ τῶν Τεγεατῶν φυγάδων τοὺς νεωτάτους περὶ τετρακοσίους· ἦν δὲ καὶ ἐπὶ Λεύκτρῳ ὑπὲρ τῆς Μαλεάτιδος ἄλλη φρουρά. Ἐλογίζοντο δὲ καὶ τοῦτο οἱ Θηβαῖοι, ὡς καὶ συνελθοῦσαν ἂν ταχέως τὴν τῶν Λακεδαιμονίων δύναμιν καὶ μάχεσθαι ἂν αὐτοὺς οὐδαμοῦ ἄμεινον ἢ ἐν τῇ ἑαυτῶν. Ἃ δὴ πάντα λογιζόμενοι οὐ πάνυ προπετεῖς ἦσαν εἰς τὸ ἰέναι εἰς τὴν Λακεδαίμονα. Ἐπεὶ μέντοι ἧκον ἔκ τε Καρυῶν 25

Both. Dind. pro *Μαλιεῖς*. — *δὴ* post *ταῦτα* addunt B. Leoncl. Steph. Schneid. Dind. — B. C. D. E. Leoncl. Wells. *συνηδόμενοι* pro *συνειδόμενοι*.

§. 24. *καθεστάναι* Schaef. Dind. pro *καθιστάναι*. — *Οἰῷ* et §. 25 *Οἰὸν* B. C. D. E. F. V. Schneid. Dind. pro *Ἰῷ* et *Ἰὸν*. — *Λεύκτρῳ* Wolf. Schneid. Dind. pro *Λεύκτρων*.

§. 23. *Λοκροὶ ἀμφότεροι*] V. IV, 2, 17.

*συνειδόμενοι*] considerantes, si sana est lectio. Exstant certe *προειδόμενος* et *ὑπειδόμενος*, de quibus formis v. Poppo. ad Thuc. IV, 64, 1.

*ἐρημίαν*] praesidii inopiam, ut §. 25.

§. 24. *δυςεμβολωτάτη*] Diod. XV, 63: *ὁρῶντες τὴν τῶν Λακεδαιμονίων χώραν δυςείςβολον οὖσαν*. Eurip. apud Strab. VIII, p. 366 de Sparta: *κοίλη γάρ, ὄρεσι περίδρομος, τραχεῖά τε, δυςείςβολός τε πολεμίοις*. Schneider.

*ἐπὶ Λεύκτρῳ*] Plut. Pelop. XX: *ἐπεὶ καὶ τῆς Λακωνικῆς πολίχνιον πρὸς τῇ θαλάττῃ Λεῦκτρον ὀνομάζεται καὶ πρὸς Μεγαλοπόλει τῆς Ἀρκαδίας τόπος ἐστὶν ὁμώνυμος*. Posterius, non prius Leuctrum intelligendum. Nam in eo est, ut irrumpant Arcades cum sociis ex sua terra in Laconicam. Idem oppidum Plut. Cleom. VI. Thuc. V, 54. *Λεῦκτρα* appellatur.

*ὡς — συνελθοῦσαν ἄν*] Haec idem valent quod *συνελθεῖν ἄν*. De *ὡς* c. accus. abs. v. ad VI, 3, 10. Deinceps pergitur per *καὶ μάχεσθαι* quasi non *ὡς καὶ συνελθοῦσαν*, sed *καὶ ὡς συν.* antecesserit, nisi mavis statuere, infinitivum referendum esse ad *ὡς*, ut III, 4, 27.

*εἰς τὸ ἰέναι εἰς*] Repetitae eiusdem praepositionis exempla collegit Kuehner. ad Comment.

λέγοντες τὴν ἐρημίαν καὶ ὑπισχνούμενοι αὐτοὶ ἡγήσεσθαι καὶ κελεύοντες, ἄν τι ἐξαπατῶντες φαίνωνται, ἀποσφάττειν σφᾶς, παρῆσαν δέ τινες καὶ τῶν περιοίκων ἐπικαλούμενοι καὶ φάσκοντες ἀποστήσεσθαι, εἰ μόνον φανείησαν εἰς τὴν χώραν, ἔλεγον δέ, ὡς καὶ νῦν καλούμενοι οἱ περίοικοι ὑπὸ τῶν Σπαρτιατῶν οὐκ ἐθέλοιεν βοηθεῖν· πάντα οὖν ταῦτα ἀκούοντες καὶ παρὰ πάντων οἱ Θηβαῖοι ἐπείσθησαν, καὶ αὐτοὶ μὲν κατὰ Καρύας ἐνέβαλον, οἱ δὲ Ἀρκάδες κατὰ Οἰὸν τῆς Σκιρί-
26 τιδος. Καὶ εἰ μὲν ἐπὶ τὰ δύσβατα προελθὼν ὁ Ἰσχόλαος ὑφίστατο, οὐδένα ἂν ταύτῃ γε ἔφασαν ἀναβῆναι· νῦν δὲ βουλόμενος τοῖς Οἰάταις συμμάχοις χρῆσθαι ἔμεινεν ἐν τῇ κώμῃ· οἱ δὲ ἀνέβησαν παμπληθεῖς Ἀρκάδες. Ἐνταῦθα δὴ ἀντιπρόσωποι μὲν μαχόμενοι οἱ περὶ τὸν Ἰσχόλαον ἐπεκράτουν· ἐπεὶ δὲ καὶ ὄπισθεν καὶ ἐκ πλαγίου καὶ ἀπὸ τῶν οἰκιῶν ἀναβαίνοντες ἔπαιον καὶ ἔβαλλον αὐτούς, ἐνταῦθα ὅ τε Ἰσχόλαος ἀποθνήσκει καὶ οἱ ἄλλοι πάντες, εἰ μή τις ἀμφιγνοηθεὶς διέφυγε.
27 Διαπραξάμενοι δὲ ταῦτα οἱ Ἀρκάδες ἐπορεύοντο πρὸς τοὺς Θηβαίους ἐπὶ τὰς Καρύας. Οἱ δὲ Θηβαῖοι ἐπεὶ ᾔσθοντο τὰ πεπραγμένα ὑπὸ τῶν Ἀρκάδων, πολὺ δὴ θρασύτερον κατέβαινον. Καὶ τὴν μὲν Σελλασίαν εὐθὺς

§. 25. A. B. C. ἡγήσασθαι.

§. 26. C. προϊὼν pro προελθών. — Οἰάταις B. C. D. E. F. V. Schneid. Dind. pro Ἰάταις. — C. ἔφασαν ταύτῃ γε. — A. edd. vett. ἔβαλον αὐτοὺς. — V. καὶ pro εἰ μή.

§. 27. V. καὶ εἰς τὰς pro ἐπὶ τάς. — πολὺ δὴ B. D. I. V. Leoncl.

I, 3, 4: παρὰ τὰ παρὰ τῶν θεῶν σημαινόμενα. Anab. V, 3, 8: ἐν δὲ τῷ ἐν Σκιλλοῦντι χωρίῳ. Cf. supra V, 2, 29.

§. 25. λέγοντες] V. ad λέγων III, 1, 19.

τὴν ἐρημίαν] V. §. 23.

καὶ νῦν] iam nunc, anteaquam hostes invaserunt Laconicam.

πάντα οὖν ταῦτα] Per epanalepsin inducitur apodosis. V. ad III, 2, 21—23.

καὶ παρὰ πάντων] iungenda sunt cum ἀκούοντες.

αὐτοὶ μὲν —, οἱ δὲ Ἀρκάδες] Diodoro XV, 64 auctore etiam Argivi et Elei diversis itineribus irrumpentes Sellasiam cum Thebanis et Arcadibus convenerunt.

§. 26. ἔφασαν] ut III, 5, 21. infra §. 29.

ἀπὸ τῶν οἰκιῶν ἀναβαίνοντες] a domibus, quas conscendebant. Dum enim alii a domibus iam iaculantur, alii adhuc conscendunt domos iaculaturi.

§. 27. Σελλασίαν] scil. χώραν.

ἔκαιον καὶ ἐπόρθουν· ἐπεὶ δὲ ἐν τῷ πεδίῳ ἐγένοντο ἐν τῷ τεμένει τοῦ Ἀπόλλωνος, ἐνταῦθα ἐστρατοπεδεύσαντο· τῇ δ᾽ ὑστεραίᾳ ἐπορεύοντο. Καὶ διὰ μὲν τῆς γεφύρας οὐδ᾽ ἐπεχείρουν διαβαίνειν ἐπὶ τὴν πόλιν· καὶ γὰρ ἐν τῷ τῆς Ἀλέας ἱερῷ ἐφαίνοντο ἐναντίοι οἱ ὁπλῖται· ἐν δεξιᾷ δ᾽ ἔχοντες τὸν Εὐρώταν παρῄεσαν κάοντες καὶ πορθοῦντες πολλῶν κἀγαθῶν μεστὰς οἰκίας.
Τῶν δ᾽ ἐκ τῆς πόλεως αἱ μὲν γυναῖκες οὐδὲ τὸν καπνὸν 28
ὁρῶσαι ἠνείχοντο, ἅτε οὐδέποτε ἰδοῦσαι πολεμίους· οἱ δὲ Σπαρτιᾶται ἀτείχιστον ἔχοντες τὴν πόλιν, ἄλλος ἄλλῃ διαταχθεὶς, μάλα ὀλίγοι καὶ ὄντες καὶ φαινόμενοι ἐφύλαττον. Ἔδοξε δὲ τοῖς τέλεσι καὶ προειπεῖν τοῖς εἵλωσιν, εἴ τις βούλοιτο ὅπλα λαμβάνειν καὶ εἰς τάξιν τίθεσθαι, τὰ πιστὰ λαμβάνειν, ὡς ἐλευθέρους ἐσομένους ὅσοι συμπολεμήσαιεν. Καὶ τὸ μὲν πρῶτον ἔφα- 29
σαν ἀπογράψασθαι πλέον ἢ ἑξακισχιλίους, ὥςτε φόβον αὖ οὗτοι παρεῖχον συντεταγμένοι καὶ λίαν ἐδόκουν πολλοὶ εἶναι· ἐπεὶ μέντοι ἔμενον μὲν οἱ ἐξ Ὀρχομενοῦ μισθοφόροι, ἐβοήθησαν δὲ τοῖς Λακεδαιμονίοις Φλιάσιοί τε καὶ Κορίνθιοι καὶ Ἐπιδαύριοι καὶ Πελληνεῖς καὶ ἄλλαι δέ τινες τῶν πόλεων, ἤδη καὶ τοὺς ἀπογεγραμμένους ἧττον ὠῤῥώδουν. Ὡς δὲ προϊὸν τὸ στρά- 30
τευμα ἐγένετο κατ᾽ Ἀμύκλας, ταύτῃ διέβαινον τὸν Εὐ-

Steph. Schneid. Dind. pro πολὺ. — Dind. ἔκαον pro ἔκαιον. — Post Ἀπόλλωνος addunt B. C. D. E. F. I. ἱερῷ.

§. 28. διαταχθεὶς B. D. E. F. I. V. marg. Leoncl. Dind. pro διαταχθέντες. — V. ὀλίγοι ὄντες. — B. I. προςειπεῖν.

§. 29. B. D. V. ἄλλαι δή τινες.

§. 30. προϊὸν Leoncl. Mor. edd. sqq., ceteri προςιὸν vel προςιὼν.

τῆς γεφύρας] Plut. Ages. XXXI, 1: ἐπυρπόλουν καὶ διήρπαζον ἄχρι τοῦ ποταμοῦ, τῆς πόλεως μηδενὸς ἐπεξιόντος. Separabantur Thebani progredientes Eurota flumine ab urbe Sparta.

τῆς Ἀλέας] Minervae. Paus. III, 19, 7: κατὰ δὲ τὴν ὁδὸν (ἐκ τῆς πόλεως ἐς Θεράπνην) Ἀθηνᾶς ξόανόν ἐστιν Ἀλέας, unde colligunt, inter Spartam et Therapnen olim templum fuisse Minervae Aleae idemque hoc h. l. intelligi.

§. 28. τῶν δ᾽ ἐκ τῆς πόλεως] De attractione v. ad III, 1, 18. 22.

τὸν καπνὸν ὁρῶσαι] Cf. Ages. XXXI, 3.

ἄλλος ἄλλῃ διαταχθείς] Anab. VII, 3, 47: οἱ ἱππεῖς — οἴχονται, ἄλλος ἄλλῃ διώκων. V. supra ad I, 7, 5. Frustra igitur Cobetus: διαταχθέντες.

ὡς — ἐσομένους] V. ad III, 4, 1. 23.

§. 29. οἱ ἐξ Ὀρχομενοῦ μισθοφόροι] V. §. 15.

§. 30. κατ᾽ Ἀμύκλας] e regione Amyclarum. Nam haec quoque urbs trans Eurotam sita est.

ρῶταν. Καὶ οἱ μὲν Θηβαῖοι, ὅπου στρατοπεδεύοιντο, εὐθὺς ὧν ἔκοπτον δένδρων κατέβαλλον πρὸ τῶν τάξεων ὡς ἐδύναντο πλεῖστα, καὶ οὕτως ἐφυλάττοντο· οἱ δὲ Ἀρκάδες τούτων τε οὐδὲν ἐποίουν, καταλιπόντες δὲ τὰ ὅπλα εἰς ἁρπαγὴν ἐπὶ τὰς οἰκίας ἐτρέποντο. Ἐκ τούτου δὴ ἡμέρᾳ τρίτῃ ἢ τετάρτῃ προῆλθον οἱ ἱππεῖς εἰς τὸν ἱππόδρομον εἰς Γαιαόχου κατὰ τάξεις, οἵ τε Θηβαῖοι πάντες καὶ οἱ Ἠλεῖοι καὶ ὅσοι Φωκέων ἢ Θετταλῶν ἢ Λοκρῶν ἱππεῖς παρῆσαν. Οἱ δὲ τῶν Λακεδαιμονίων ἱππεῖς, μάλα ὀλίγοι φαινόμενοι, ἀντιτεταγμένοι αὐτοῖς ἦσαν. Ἐνέδραν δὲ ποιήσαντες ὁπλιτῶν τῶν νεωτέρων ὅσον τριακοσίων ἐν τῇ τῶν Τυνδαριδῶν, ἅμα οὗτοι μὲν ἐξέθεον, οἱ δ' ἱππεῖς ἤλαυνον· οἱ δὲ πολέμιοι οὐκ ἐδέξαντο, ἀλλ' ἐνέκλιναν. Ἰδόντες δὲ ταῦτα πολλοὶ καὶ τῶν πεζῶν εἰς φυγὴν ὥρμησαν. Ἐπεὶ μέντοι οἵ τε διώκοντες ἐπαύσαντο καὶ τὸ τῶν Θηβαίων στράτευμα ἔμενε, πάλιν δὴ κατεστρατοπεδεύσαντο.

31 (beside line: λῶν ἢ Λοκρῶν ἱππεῖς παρῆσαν)

32 Καὶ τὸ μὲν μὴ πρὸς τὴν πόλιν προςβαλεῖν ἂν ἔτι αὐτοὺς

— B. V. καταλείποντες. — B. I. ἐτράποντο. — A. C. E. edd. ante Mor. προςῆλθον. — V. ὁπλῖται pro ἱππεῖς. — Γαιαόχου Leoncl. Schneid. edd. sqq., Γαιαούχου Mor., Γαιολόχου ceteri.

§. 31. B. ἐν τῷ τῶν Τυνδ.

§. 32. Suadente Leoncl., μὴ post μὲν om. Wells. Mor. — ἀπᾶραν

ὅπου στρατοπεδεύοιντο] V. ad VI, 4, 32: ὅποι — ἀφίκοιντο.

τούτων τε — ἐποίουν] Copulativam particulam excipit adversativa δέ, ut §. 34. V. ad IV, 5, 15. VII, 1, 24. et ad Cyrop. III, 3, 64.

τὰ ὅπλα] castra.

ἐτρέποντο] non ἐτράποντο. Faciebant enim hoc per illos dies saepius.

εἰς τὸν ἱππόδρομον εἰς Γαιαόχου] in hippodromum, qui locus est Neptuno sacer. Erat igitur ille hippodromus in luco vel agro Neptuno sacro. „Confert Morus Paus. II, 20, 2. 21, 8, qui Neptunum Γαιάοχον a Spartanis cultum memoravit. Idem III, 20, 2 inter Therapnen et Amyclas collocat templum, de quo Xenophon. Hippodromus fortasse idem, quem in hac regione nominat Paus. III, 14, 6.“ Schneider. De iterata praepositione v. ad IV, 3, 18.

οἵ τε Θηβαῖοι] De part. τε v. ad VI, 2, 1. Sed hic est: et quidem.

§. 31. ἐνέδραν] Insidias accuratius narrat Polyaen. II, 1, 27.

ποιήσαντες — οὗτοι μὲν —, οἱ δέ] De constructione v. ad IV, 4, 1. Cf. ad II, 3, 54.

ἐν τῇ τῶν Τυνδαριδῶν] prope domum Tyndaridarum. Nam domus, quam Castor et Pollux, antequam inter deos relati sunt, inhabitarunt, diu salva fuit et monstrata est. Paus. III, 16, 2. Morus.

§. 32. καὶ τὸ μὲν μὴ — θαῤῥαλεώτερον εἶναι] atque urbem non invasuros esse, iam aliquanto maior esse spes videbatur. Weiskius

ἤδη τι ἐδόκει θαῤῥαλεώτερον εἶναι· ἐκεῖθεν μέντοι ἀπᾶραν τὸ στράτευμα ἐπορεύετο τὴν ἐφ' Ἕλος καὶ Γύθειον. Καὶ τὰς μὲν ἀτειχίστους τῶν πόλεων ἐνεπίμπρασαν, Γυθείῳ δέ, ἔνθα τὰ νεώρια τοῖς Λακεδαιμονίοις ἦν, καὶ προςέβαλλον τρεῖς ἡμέρας. Ἦσαν δέ τινες τῶν περιοίκων οἳ καὶ ἐπέθεντο καὶ συνεστρατεύοντο τοῖς μετὰ Θηβαίων.

Ἀκούοντες δὲ ταῦτα οἱ Ἀθηναῖοι ἐν φροντίδι ἦσαν, 33
ὅ τι χρὴ ποιεῖν περὶ Λακεδαιμονίων, καὶ ἐκκλησίαν ἐποίησαν κατὰ δόγμα βουλῆς. Ἔτυχον δὲ παρόντες πρέσβεις Λακεδαιμονίων τε καὶ τῶν ἔτι ὑπολοίπων συμμάχων αὐτοῖς. Ὅθεν δὴ οἱ Λακεδαιμόνιοι Ἄρακος καὶ Ὤκυλλος καὶ Φάραξ καὶ Ἐτυμοκλῆς καὶ Ὀλονθεὺς σχεδὸν πάντες παραπλήσια ἔλεγον. Ἀνεμίμνησκόν τε γὰρ τοὺς Ἀθηναίους, ὡς ἀεί ποτε ἀλλήλοις ἐν τοῖς μεγίστοις καιροῖς παρίσταντο ἐπ' ἀγαθοῖς· αὐτοί τε γὰρ ἔφασαν τοὺς τυράννους συνεκβαλεῖν Ἀθήνηθεν, καὶ Ἀθηναίους, ὅτε αὐτοὶ ἐπολιορκοῦντο ὑπὸ Μεσσηνίων, προθύμως βοηθεῖν. Ἔλεγον δὲ καί, ὅσ' ἀγαθὰ εἴη, ὅτε 34
κοινῇ ἀμφότεροι ἔπραττον, ὑπομιμνήσκοντες μέν, ὡς τὸν βάρβαρον κοινῇ ἀπεμαχέσαντο, ἀναμιμνήσκοντες

V. Dind. pro ἀπάραν. — Post Ἕλος B. D. F. V. Dind. om. τε. — Γύθειον et Γυθείῳ B. C. D. E. F. V. Dind. pro Γύθιον et Γυθίῳ. — προςέβαλλον B. D. V. Dind. pro προςέβαλον.

§. 33. A. edd. ante Dind. καὶ τῶν ἄλλων συμμάχων τῶν ἔτι ὑπολοίπων αὐτοῖς. — Ἄρακος marg. Leoncl. Dind. pro Ἄρατος.

§. 34. ὅσ' ἀγαθὰ margg. Leoncl. et Steph. Schneid. edd. sqq. pro ὡς ἀγαθὰ. — A. edd. vett. ἀμφότερα et τῶν δὲ Λακεδαιμονίων. — συμβουλομένων bis dedit Dind. pro συμβουλευομένων.

comparat Thuc. II, 51, 6: ἤδη ἐν τῷ θαρσαλέῳ εἶναι. Inde patet etiam, ἤδη pertinere ad sequentia, non ad praecedentia, ad quae male refertur ab interpretibus.

Ἕλος καὶ Γύθειον] utrumque ad sinum Laconicum situm.

τινὲς τῶν περιοίκων] Cf. §. 25. VII, 2, 2. Grot. V. p. 483.

ἐπέθεντο] Γυθείῳ scil.

§. 33. ὅθεν δή] Haec quid sibi velint, non intelligo. Inde enim, quod in concione Atheniensium aderant Lacedaemoniorum eorumque sociorum legati, non sequebatur, ut omnes fere similia dicerent. Malim ἔνθα δή.

ἀνεμίμνησκόν τε] His respondent §. 34: ἔλεγον δέ. Nam in sequentibus opponi inter se αὐτοί τε et καὶ Ἀθηναίους per se patet. V. ad §. 30.

τοὺς τυράννους] Pisistratidas.

ἐπολιορκοῦντο ὑπὸ Μεσσηνίων] a. 464—55. Plut. Cim. XVI. sq. Thuc. I, 102. De verbo πολιορκεῖσθαι v. ad IV, 7, 1.

δέ, ὡς Ἀθηναῖοί τε ὑπὸ τῶν Ἑλλήνων ᾑρέθησαν ἡγεμόνες τοῦ ναυτικοῦ καὶ τῶν κοινῶν χρημάτων φύλακες, τῶν Λακεδαιμονίων ταῦτα συμβουλομένων, αὐτοί τε κατὰ γῆν ὁμολογουμένως ὑφ' ἁπάντων τῶν Ἑλλήνων ἡγεμόνες προκριθείησαν, συμβουλομένων αὖ ταῦτα
35 τῶν Ἀθηναίων. Εἷς δὲ αὐτῶν καὶ ὧδέ πως εἶπεν. Ἐὰν δὲ ὑμεῖς καὶ ἡμεῖς, ὦ ἄνδρες, ὁμονοήσωμεν, νῦν ἐλπὶς τὸ πάλαι λεγόμενον δεκατευθῆναι Θηβαίους. Οἱ μέντοι Ἀθηναῖοι οὐ πάνυ ἐδέξαντο, ἀλλὰ θροῦς τις τοιοῦτος διῆλθεν, ὡς νῦν ταῦτα λέγοιεν, ὅτε δὲ εὖ ἔπραττον, ἐπέκειντο ἡμῖν. Μέγιστον δὲ τῶν λεχθέντων παρὰ Λακεδαιμονίων ἐδόκει εἶναι, ὅτι, ἡνίκα κατεπολέμησαν αὐτούς, Θηβαίων βουλομένων ἀναστάτους ποιῆσαι τὰς
36 Ἀθήνας, σφίσιν ἐμποδὼν γένοιντο. Ὁ δὲ πλεῖστος ἦν λόγος, ὡς κατὰ τοὺς ὅρκους βοηθεῖν δέοι· οὐ γὰρ ἀδικησάντων σφῶν ἐπιστρατεύοιεν οἱ Ἀρκάδες καὶ οἱ μετ' αὐτῶν τοῖς Λακεδαιμονίοις, ἀλλὰ βοηθησάντων τοῖς

§. 35. A. Ald. Iunt. *Θήβας* pro *Ἀθήνας*.

§. 34. *χρημάτων φύλακες*] V. Thuc. I, 96, 2. Corn. Nep. Arist. III, 1.

*ᾑρέθησαν — προκριθείησαν*] De variatis modis v. ad III, 5, 23. V, 3, 12.

§. 35. *Ἐὰν δὲ ὑμεῖς*] Part. *δέ* ubi in initio orationis ponitur, aut ad ea referenda est, quae antea dicta sunt, aut ad alia quae menti oratoris obversantur. Cf. *ἀλλά ταῦτα μέν* §. 37. Kuehner. ad Anab. V, 5, 13.

*τὸ — λεγόμενον δεκατευθῆναι*] De his verbis v. ad VI, 3, 20.

*νῦν*] Ut efferatur oppositio, omittitur *μέν*, ut Plat. Cratyl. p. 433. A: *λελέξεταί γε τὸ πρᾶγμα καλῶς, ὅταν πάντα, κακῶς δὲ, ὅταν ὀλίγα (τὰ προσήκοντα ἔχῃ)* quem locum affert Hertlin. V. ad III, 3, 1.

*ὅτε δὲ — ἐπέκειντο ἡμῖν*] Obliqua oratio in rectam transit ut I, 1, 28. V, 1, 31.

*σφίσιν*] pro *αὐτοῖς* positum videtur, ut Anab. V, 4, 33: *νόμος γὰρ ἦν οὗτος σφίσι.* Thuc. V, 49, 1: *φάσκοντες σφᾶς ἐπὶ Φύρκον τε τεῖχος ὅπλα ἐπενεγκεῖν*, ubi v. Poppo. Kuehn. gr. §. 302. adn. 3. Tamen malim cum Dobraeo scribere *σφεῖς*; nam Thebanis opponuntur Lacedaemonii. Idem probat Cobetus.

§. 36. *πλεῖστος ἦν λόγος*] illud maxime urguebatur a Lacedaemoniis legatis.

*κατὰ τοὺς ὅρκους*] ex ratione foederis VI, 3, 18 facti. Hoc enim quanquam non violassent, nunc bello tamen vexari a Thebanis Lacedaemonios.

*οὐ γὰρ — ἐπιστρατεύοιεν*] De optativo v. ad III, 2, 23.

*τοῖς Λακεδαιμονίοις*] Haec ex mente Xenophontis in orationem obliquam, eadem ratione qua saepe *ἐκεῖνος* (v. ad VI, 4, 25), inferuntur. Quae si cum Cobeto omiseris, desiderabis aliquid. Nam respondent sibi *ἐπιστρατεύοιεν οἱ Ἀρκάδες τοῖς Λακεδαιμονίοις* et *οἱ Μαντινεῖς ἐπεστράτευσαν αὐτοῖς*. Dictum autem est neque *σφίσιν* neque *ἐκείνοις*, ut opponatur nomen nomini: *οἱ Ἀρκάδες — τοῖς Λακεδαιμονίοις*.

*Τεγεάταις, ὅτι οἱ Μαντινεῖς παρὰ τοὺς ὅρκους ἐπεστρά-
τευσαν αὐτοῖς. Διέθει οὖν καὶ κατὰ τούτους τοὺς λό-
γους θόρυβος ἐν τῇ ἐκκλησίᾳ· οἱ μὲν γὰρ δικαίως τοὺς
Μαντινέας ἔφασαν βοηθῆσαι τοῖς περὶ Πρόξενον ἀπο-
θανοῦσιν ὑπὸ τῶν περὶ τὸν Στάσιππον, οἱ δὲ ἀδικεῖν,
ὅτι ὅπλα ἐπήνεγκαν Τεγεάταις.*

*Τούτων δὲ διοριζομένων ὑπ' αὐτῆς τῆς ἐκκλησίας,* 37
*ἀνέστη Κλειτέλης Κορίνθιος καὶ εἶπε τάδε· Ἀλλὰ ταῦ-
τα μέν, ὦ ἄνδρες Ἀθηναῖοι, ἴσως ἀντιλέγεται, τίνες
ἦσαν οἱ ἄρξαντες ἀδικεῖν· ἡμῶν δέ, ἐπεὶ εἰρήνη ἐγένε-
το, ἔχει τις κατηγορῆσαι, ἢ ὡς ἐπὶ πόλιν τινὰ ἐστρατεύ-
σαμεν, ἢ ὡς χρήματά τινων ἐλάβομεν, ἢ ὡς γῆν ἀλλο-
τρίαν ἐδῃώσαμεν; Ἀλλ' ὅμως οἱ Θηβαῖοι εἰς τὴν χώραν
ἡμῶν ἐλθόντες καὶ δένδρα ἐκκεκόφασι καὶ οἰκίας κα-
τακεκαύκασι καὶ χρήματα καὶ πρόβατα διηρπάκασι.
Πῶς οὖν, ἐὰν μὴ βοηθῆτε οὕτω περιφανῶς ἡμῖν ἀδι-
κουμένοις, οὐ παρὰ τοὺς ὅρκους ποιήσετε; καὶ ταῦτα
ὧν αὐτοὶ ἐπεμελήθητε ὅρκων ὅπως πᾶσιν ὑμῖν πάντες
ἡμεῖς ὀμόσαιμεν; Ἐνταῦθα μέντοι οἱ Ἀθηναῖοι ἐπεθο-
ρύβησαν, ὡς ὀρθῶς τε καὶ δίκαια εἰρηκότος τοῦ Κλει-
τέλους. Ἐπὶ δὲ τούτῳ ἀνέστη Προκλῆς Φλιάσιος καὶ* 38
*εἶπεν· Ὅτι μέν, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ ἐκποδὼν γέ-
νοιντο Λακεδαιμόνιοι, ἐπὶ πρώτους ἂν ὑμᾶς στρατεύ-
σαιεν οἱ Θηβαῖοι, πᾶσιν οἶμαι τοῦτο δῆλον εἶναι· τῶν
γὰρ ἄλλων μόνους ἂν ὑμᾶς οἴονται ἐμποδὼν γενέσθαι
τοῦ ἄρξαι αὐτοὺς τῶν Ἑλλήνων. Εἰ δὲ οὕτως ἔχει,* 39
*ἐγὼ μὲν οὐδὲν μᾶλλον Λακεδαιμονίοις ἂν ὑμᾶς ἡγοῦ-
μαι στρατεύσαντας βοηθῆσαι ἢ καὶ ὑμῖν αὐτοῖς. Τὸ γὰρ
δυσμενεῖς ὄντας ὑμῖν Θηβαίους καὶ ὁμόρους οἰκοῦντας
ἡγεμόνας γενέσθαι τῶν Ἑλλήνων πολὺ οἶμαι χαλεπώ-*

§. 36. F. V. om. *τὸν* ante *Στάσιππον.*
§. 37. B. om. *ἡμεῖς* ante *ὀμόσαιμεν.* — F. om. *οἱ* ante *Ἀθηναῖοι.*
§. 38. *Προκλῆς* B. C. D. E. F. H. I. marg. Leoncl. Dind. pro *Πατροκλῆς.* — V. om. *ἂν* post *πρώτους.*
§. 39. C. *ἐγὼ μᾶλλον οὐδέν.* — *εἴχετε* B. D. H. V. Dind. pro *ἔχε-*

*παρὰ τοὺς ὅρκους*] V. §. 10.
§. 37. *ἀντιλέγεται*] controversia est, dubitari potest.
*καὶ ταῦτα*] et quidem. V. ad III, 2, 4.
*ὡς — εἰρηκότος*] V. ad III, 4, 1. 23.
§. 39. *ἐγὼ μέν*] V. ad IV, 1, 7.
*ἢ καὶ ὑμῖν*] De *καί* v. ad III, 4, 5.

τερον ἂν ὑμῖν φανῆναι, ἢ ὁπότε πόῤῥω τοὺς ἀντιπά-
λους εἴχετε. Συμφορώτερόν γε μεντἂν ὑμῖν αὐτοῖς
βοηθήσαιτε ἐν ᾧ ἔτι εἰσὶν οἳ συμμαχοῖεν ἄν, ἢ εἰ ἀπο-
λομένων αὐτῶν μόνοι ἀναγκάζοισθε διαμάχεσθαι πρὸς
40 τοὺς Θηβαίους. Εἰ δέ τινες φοβοῦνται, μή, ἐὰν νῦν
ἀναφύγωσιν οἱ Λακεδαιμόνιοι, ἔτι ποτὲ πράγματα πα-
ρέχωσιν ὑμῖν, ἐνθυμήθητε, ὅτι οὐχ οὓς ἂν εὖ, ἀλλ'
οὓς ἂν κακῶς τις ποιῇ φοβεῖσθαι δεῖ, μή ποτε μέγα δυ-
νασθῶσιν. Ἐνθυμεῖσθαι δὲ καὶ τάδε χρή, ὅτι κτᾶσθαι
μέν τι ἀγαθὸν καὶ ἰδιώταις καὶ πόλεσι προςήκει, ὅταν
ἐῤῥωμενέστατοι ὦσιν, ἵνα ἔχωσιν, ἐάν ποτ' ἀδύνατοι
41 γένωνται, ἐπικουρίαν τῶν προπεπονημένων. Ὑμῖν δὲ
νῦν ἐκ θεῶν τινος καιρὸς παραγεγένηται, ἐὰν δεομένοις
βοηθήσητε Λακεδαιμονίοις, κτήσασθαι τούτους εἰς τὸν
ἅπαντα χρόνον φίλους ἀπροφασίστους. Καὶ γὰρ δὴ
οὐκ ἐπ' ὀλίγων μοι δοκοῦσι μαρτύρων νῦν ἂν εὖ πα-
θεῖν ὑφ' ὑμῶν· ἀλλ' εἴσονται μὲν ταῦτα θεοὶ οἱ πάντα
ὁρῶντες καὶ νῦν καὶ εἰς ἀεί, συνεπίστανται δὲ τὰ γιγνό-
μενα οἵ τε σύμμαχοι καὶ οἱ πολέμιοι, πρὸς δὲ τούτοις
καὶ ἅπαντες Ἕλληνές τε καὶ βάρβαροι· οὐδενὶ γὰρ τού-
42 των ἀμελές. Ὥςτε εἰ κακοὶ φανείησαν περὶ ὑμᾶς, τίς ἂν
ποτε ἔτι πρόθυμος εἰς αὐτοὺς γένοιτο; Ἐλπίζειν δὲ

τε. — *βοηθήσαιτε* B. D. V. Schneid. Dind. pro *βοηθήσητε*. — *οἳ συμμαχοῖεν ἂν* Dind. pro *οἱ σύμμαχοι ἄν*, Steph. Wells. *οἳ σύμμαχοι εἶεν*, Schneid. *οἳ συμμαχοῖεν*, Weisk. volebat *οἳ συμμαχήσειαν*. — E. F. om. *εἰ* post *ἤ*.

§. 40. E. *καί ποτε* pro *ἐάν ποτ'*. — *ποτ' ἀδύνατοι* H. et, ut videtur, F. Port. Leoncl. edd. sqq. pro *ποτε δυνατοί*. — *προπεπονημένων* B. D. H. I. V. margg. Steph. et Leoncl. Schneid. Dind. pro *πεπονημένων*.

§. 41. *νῦν* ante *ἐκ* ponunt B. C. D. E. F. H. I. V. Steph. Leoncl. Dind., post *παραγεγένηται* ceteri. — F. edd. vett. om. *θεῶν*, D. habet *θεοῖς*. — B. H. *οὐχ ὑπ' ὀλίγων*. — *καὶ* post *ὁρῶντες* addunt B.D. H. I. V. Steph. Leoncl. Wells. Schneid. Dind. — *οὐδενὶ* Dind. pro *οὐδέν*.

*τοὺς ἀντιπάλους*] Lacedaemonios.

§. 40. *ἀναφύγωσιν*] Idem verbum erat II, 3, 50.

*δυνασθῶσι*] De forma v. ad I, 4, 16.

*ἐπικουρίαν τῶν προπεπονημένων*] h. e. ut, si quando defecerint vires, antea comparata sint adminiculo. Quae quo sensu dicta sint, apparet ex seqq.

§. 41. *ὑμῖν δέ*] De part. *δέ* v. ad VI, 4, 30. Sententia generalis iam transfertur ad Athenienses.

*οὐκ ἐπ' ὀλίγων — μαρτύρων*] non paucos habebitis testes beneficiorum, quibus afficientur a vobis.

χρή, ὡς ἄνδρας ἀγαθοὺς μᾶλλον ἢ κακοὺς αὐτοὺς γενήσεσθαι· εἰ γάρ τινες ἄλλοι, καὶ οὗτοι δοκοῦσι διατετελεκέναι ἐπαίνου μὲν ὀρεγόμενοι, αἰσχρῶν δὲ ἔργων ἀπεχόμενοι. Πρὸς δὲ τούτοις ἐνθυμήθητε καὶ τάδε. 43
Εἴ ποτε πάλιν ἔλθοι τῇ Ἑλλάδι κίνδυνος ὑπὸ βαρβάρων, τίσιν ἂν μᾶλλον πιστεύσαιτε ἢ Λακεδαιμονίοις; τίνας δ' ἂν παραστάτας ἥδιον τούτων ποιήσαισθε, ὧν γε καὶ οἱ ταχθέντες ἐν Θερμοπύλαις ἅπαντες εἵλοντο μαχόμενοι ἀποθανεῖν μᾶλλον ἢ ζῶντες ἐπειςφρέσθαι τὸν βάρβαρον τῇ Ἑλλάδι; Πῶς οὖν οὐ δίκαιον ὧν τε ἕνεκα ἐγένοντο ἄνδρες ἀγαθοὶ μεθ' ὑμῶν καὶ ὧν ἐλπὶς καὶ αὖθις γενέσθαι πᾶσαν προθυμίαν εἰς αὐτοὺς καὶ ὑμᾶς καὶ ἡμᾶς παρέχεσθαι; Ἄξιον δὲ καὶ τῶν παρόντων 44
συμμάχων αὐτοῖς ἕνεκα προθυμίαν ἐνδείξασθαι. Εὖ γὰρ ἴστε, ὅτι οἵπερ τούτοις πιστοὶ διαμένουσιν ἐν ταῖς συμφοραῖς, οὗτοι καὶ ὑμῖν αἰσχύνοιντ' ἂν μὴ ἀποδιδόντες χάριτας. Εἰ δὲ μικραὶ δοκοῦμεν πόλεις εἶναι αἱ τοῦ κινδύνου μετέχειν αὐτοῖς ἐθέλουσαι, ἐνθυμήθητε, ὅτι, ἐὰν ἡ ὑμετέρα πόλις προςγένηται, οὐκέτι μι-

§. 42. ἔτι addunt B. D. H. I. V. Steph. Leoncl. Schneid. Dind. — F. γενήσεσθαι αὐτούς.

§. 43. Ante τῇ Ἑλλάδι om. ἐν B. C. D. E. F. H. V. Schneid. Dind. — πιστεύσαιτε Schneid. Dind., πιστεύσοιτε D. F. V., πιστεύσητε ceteri. — ποιήσαισθε B. D. H. V. Schneid. Dind., ποιοῖσθε C., ποιήσεσθε E. F. I., ποιήσητε ceteri. — ἐπειςφρέσθαι Cobet., ἐπειςφέρεσθαι B. D. E. F. I. V. marg. Leoncl. Dind., συνεπειςφέρεσθαι ceteri. — καὶ ante αὖθις addunt B. D. I. V. Schneid. Dind.

§. 44. αὐτοῖς post συμμ. ponunt B. D. V. Dind., post ἕνεκα ceteri. — ἕνεκα B. D. I. V. Dind. pro ἕνεκεν. — ἀποδιδόντες B. D. E. F. V. Schneid. Dind. pro ἀποδιδόναι.

§. 42. ὡς — γενήσεσθαι] V. ad II, 2, 2. VII, 5, 14.

§. 43. ὑπὸ βαρβάρων] non ἀπὸ βαρβ., quia ἔλθοι κίνδυνος idem valet, quod πόλεμος ἐπενεχθείη. Cf. ad V, 4, 31.

ἐπειςφρέσθαι τὸν βάρβαρον] id quod fecerunt Thebani. Aditum alicui patefacere vel aditum non prohibere aliquem nunquam est εἰςφέρεσθαι. Eo sensu I, 3, 19 erat εἰςέσθαι. De verbo ἐπειςφρεῖν de hac re propria v. Cobet. Var. Lect. p. 371.

ὧν τε ἕνεκα — καὶ ὧν] propterea quod — et quod. V. ad VI, 3, 13.

ἐλπίς] scil. ἐστι.

§. 44. παρόντων — αὐτοῖς] De traiecto participio v. ad III, 4, 1.

αἰσχύνοιντ' ἂν μὴ ἀποδιδόντες] Participium recte poni intelliges, si idem, quod εἰ μὴ ἀποδίδοιεν esse reputaveris. Buttm. §. 144. b. Rost. 8. addit. 2. b. aa. Kuehn. §. 311. 14. Cf. ad Cyrop. III, 2, 16.

45 καὶ πόλεις ἐσόμεθα αἱ βοηθοῦσαι αὐτοῖς. Ἐγὼ δέ, ὦ ἄνδρες Ἀθηναῖοι, πρόσθεν μὲν ἀκούων ἐζήλουν τήνδε τὴν πόλιν, ὅτι πάντας καὶ τοὺς ἀδικουμένους καὶ τοὺς φοβουμένους ἐνθάδε καταφεύγοντας ἐπικουρίας ἤκουον τυγχάνειν· νῦν δ' οὐκέτ' ἀκούω, ἀλλ' αὐτὸς ἤδη παρὼν ὁρῶ Λακεδαιμονίους τε τοὺς ὀνομαστοτάτους καὶ μετ' αὐτῶν τοὺς πιστοτάτους φίλους αὐτῶν πρὸς ὑμᾶς τε ἥκοντας καὶ δεομένους αὖ ὑμῶν ἐπι-
46 κουρῆσαι. Ὁρῶ δὲ καὶ Θηβαίους, οἳ τότε οὐκ ἔπεισαν Λακεδαιμονίους ἐξανδραποδίσασθαι ὑμᾶς, νῦν δεομένους ὑμῶν περιιδεῖν ἀπολομένους τοὺς σώσαντας ὑμᾶς. Τῶν μὲν οὖν ὑμετέρων προγόνων καλὸν λέγεται, ὅτε τοὺς Ἀργείων τελευτήσαντας ἐπὶ τῇ Καδμείᾳ οὐκ εἴασαν ἀτάφους γενέσθαι· ὑμῖν δὲ πολὺ κάλλιον ἂν γένοιτο, εἰ τοὺς ἔτι ζῶντας Λακεδαιμονίων μήτε ὑβρι-
47 σθῆναι μήτε ἀπολέσθαι ἐάσαιτε. Καλοῦ γε μὴν κἀκείνου ὄντος, ὅτε σχόντες τὴν Εὐρυσθέως ὕβριν διεσώσατε τοὺς Ἡρακλέους παῖδας, πῶς οὐκ ἐκείνου τόδε κάλλιον, εἰ μὴ μόνον τοὺς ἀρχηγέτας, ἀλλὰ καὶ ὅλην τὴν πόλιν περισώσαιτε; Πάντων δὲ κάλλιστον, εἰ ψήφῳ ἀκινδύνῳ σωσάντων ὑμᾶς τότε τῶν Λακεδαιμονίων,

§. 45. Post ἐπικουρίας B. D. E. F. I. V. Dind. om. δεομένους. — τοὺς πιστ. φίλους αὐτῶν B. D. I. V. Dind. pro τοὺς φίλ. αὐτῶν τοὺς πιστ., E. τοὺς φίλους πιστ. (om. αὐτῶν).

§. 46. Ante περιιδεῖν, monente Cast., delevit μὴ Dind. — ἐάσαιτε Schneid. Dind. pro ἐάσοιτε, B. ἐάσητε.

§. 47. I. V. et sec. m. B. οὐ καὶ ἐκείνου pro οὐκ ἐκείνου.

§. 45. τοὺς φοβουμένους] scil. μὴ ἀδικοῖντο.

καὶ — αὖ] Posterior particula prioris quasi intendit vim: atque etiam.

§. 46. τότε] De tempore audientibus noto, ut I, 4, 14. III, 2, 30. Dicit annum 404. a. Ch.

ὅτε] Cf. ad VI, 4, 5. Septem illi quum contra Thebas profecti cladem accepissent, Athenienses Adrasti, Argivorum regis, suasu armorum vi effecisse feruntur, ut caesis Argivis sepultura a Thebanis concederetur. Isocr. Paneg. 55.

§. 47. τοὺς Ἡρακλέους παῖδας] quos opibus suis ita adiuvabant Athenienses, ut Eurystheo victo et caeso Peloponnesum obtinerent. Isocr. Paneg. 56. Diod. IV, 57.

τοὺς ἀρχηγέτας] Admodum apte hoc vocabulo utitur orator, quod ut τοὺς Ἡρακλέους παῖδας, sic etiam reges Lacedaemoniorum ab Heraclidis ortos denotat. Cf. Plut. Lycurg. VI: Ἀρχαγέται δὲ οἱ βασιλεῖς λέγονται. Supra VI, 3, 6.

ψήφῳ ἀκινδύνῳ] Nullum tunc periculum obibant Lacedaemonii, quum Thebanis Athenas exscindere suadentibus obsisterent.

νῦν ὑμεῖς σὺν ὅπλοις τε καὶ διὰ κινδύνων ἐπικουρή-
σετε αὐτοῖς. Ὁπότε δὲ καὶ ἡμεῖς ἀγαλλόμεθα οἱ συνα- 48
γορεύοντες βοηθῆσαι ἀνδράσιν ἀγαθοῖς, ἦπου ὑμῖν γε
τοῖς ἔργῳ δυναμένοις βοηθῆσαι γενναῖα ἂν ταῦτα φα-
νείη, εἰ πολλάκις καὶ φίλοι καὶ πολέμιοι γενόμενοι Λα-
κεδαιμονίοις μὴ ὧν ἐβλάβητε μᾶλλον ἢ ὧν εὖ ἐπάθετε
μνησθείητε καὶ χάριν ἀποδοίητε αὐτοῖς μὴ ὑπὲρ ὑμῶν
αὐτῶν μόνον, ἀλλὰ καὶ ὑπὲρ πάσης τῆς Ἑλλάδος, ὅτι
ἄνδρες ἀγαθοὶ ὑπὲρ αὐτῆς ἐγένοντο.

Μετὰ ταῦτα ἐβουλεύοντο οἱ Ἀθηναῖοι καὶ τῶν μὲν 49
ἀντιλεγόντων οὐκ ἠνείχοντο ἀκούοντες, ἐψηφίσαντο δὲ
βοηθεῖν πανδημεί καὶ Ἰφικράτην στρατηγὸν εἵλοντο.
Ἐπεὶ δὲ τὰ ἱερὰ ἐγένετο καὶ παρήγγειλεν ἐν Ἀκαδημίᾳ
δειπνοποιεῖσθαι, πολλοὺς ἔφασαν προτέρους αὐτοῦ
Ἰφικράτους ἐξελθεῖν. Ἐκ δὲ τούτου ἡγεῖτο μὲν ὁ Ἰφι-
κράτης, οἱ δ᾽ ἠκολούθουν, νομίζοντες ἐπὶ καλόν τι ἔρ-
γον ἡγήσεσθαι. Ἐπεὶ δὲ ἀφικόμενος εἰς Κόρινθον διέ-
τριβέ τινας ἡμέρας, εὐθὺς μὲν ἐπὶ ταύτῃ τῇ διατριβῇ
πρῶτον ἔψεγον αὐτόν· ὡς δ᾽ ἐξήγαγέ ποτε, προθύμως
μὲν ἠκολούθουν ὅποι ἡγοῖτο, προθύμως δ᾽, εἰ πρὸς
τεῖχος προσάγοι, προσέβαλλον. Τῶν δ᾽ ἐν τῇ Λακεδαί- 50
μονι πολεμίων Ἀρκάδες μὲν καὶ Ἀργεῖοι καὶ Ἠλεῖοι πολ-
λοὶ ἀπεληλύθεσαν, ἅτε ὅμοροι οἰκοῦντες, οἱ μὲν ἄγον-

§. 49. V. ἐβουλεύσαντο pro ἐβουλεύοντο. — F. I. V. ἱερὰ ἐγένοντο. — Dind. Ἀκαδημείᾳ. V. ad II, 2, 8. — A. C. E. edd. vett. πρῶτον μὲν ἔψεγον. — A. edd. vett. ὅπου ἡγοῖτο; C. D. V. ὅποι ἡγεῖτο. — τεῖχος B. Dind. pro τὸ τεῖχος.

§. 50. Ante Schneid. edebatur ἀπεληλύθεισαν, quod est in A. F., ἐπεληλύθεισαν C. D. E., ἐπεληλύθησαν B.

§. 48. Ὁπότε] quandoquidem. V. ad Ages. VII, 5.

καὶ ἡμεῖς] vel nos.

βοηθῆσαι] pendet a συναγορεύοντες. Hertlinius autem, ut respondere sibi possint συναγορεύοντες βοηθῆσαι et ἔργῳ — βοηθῆσαι deleri articulum iubet ante συναγορεύοντες. Idem probat Cobetus simul damnans βοηθῆσαι.

§. 49. τῶν μὲν ἀντιλεγόντων] Orat. contr. Neaeram 27: ὅτε γὰρ Λακεδαιμονίους ὑμεῖς ἐσῴζετε πεισθέντες ὑπὸ Καλλιστράτου, τότε ἀντειπὼν ὁ ποιητὴς ἐωνημένος τὴν πεντηκοστὴν τοῦ σίτου ἐν εἰρήνῃ, καὶ δέον αὐτὸν καταβάλλειν τὰς καταβολὰς εἰς τὸ βουλευτήριον κατὰ πρυτανείαν, καὶ οὔσης αὐτῷ ἀτελείας ἐκ τῶν νόμων, οὐκ ἐξελθὼν ἐκείνην τὴν στρατείαν, γραφεὶς ὑπὸ Στεφάνου τούτου ἀστρατείας καὶ διαβληθεὶς τῷ λόγῳ ἐν τῷ δικαστηρίῳ ἥλω καὶ ἠτιμώθη. Schneider.

τὰ ἱερὰ ἐγένετο] V. ad III, 1, 17.

παρήγγειλεν] Iphicrates.

τες, οἱ δὲ φέροντες ὅ τι ἡρπάκεσαν. Οἱ δὲ Θηβαῖοι καὶ οἱ ἄλλοι τὰ μὲν καὶ διὰ τοῦτο ἀπιέναι ἐβούλοντο ἐκ τῆς χώρας, ὅτι ἑώρων ἐλάττονα τὴν στρατιὰν καθ' ἡμέραν γιγνομένην, τὰ δέ, ὅτι σπανιώτερα τὰ ἐπιτήδεια ἦν· τὰ μὲν γὰρ ἀνήλωτο, τὰ δὲ διήρπαστο, τὰ δὲ ἐξεκέχυτο, τὰ δὲ κατεκέκαυντο· πρὸς δ' ἔτι καὶ χειμὼν ἦν, ὥςτ' ἤδη
51 πάντες ἀπιέναι ἐβούλοντο. Ὡς δ' ἐκεῖνοι ἀπεχώρουν ἐκ τῆς Λακεδαίμονος, οὕτω δὴ καὶ ὁ Ἰφικράτης τοὺς Ἀθηναίους ἀπῆγεν ἐκ τῆς Ἀρκαδίας εἰς Κόρινθον. Εἰ μὲν οὖν ἄλλο τι καλῶς ἐστρατήγησεν, οὐ ψέγω· ἐκεῖνα μέντοι, ἃ ἐν τῷ χρόνῳ ἐκείνῳ ἔπραξε, πάντα εὑρίσκω τὰ μὲν μάτην, τὰ δὲ καὶ ἀσυμφόρως πεπραγμένα αὐτῷ. Ἐπιχειρήσας μὲν γὰρ φυλάττειν ἐπὶ τῷ Ὀνείῳ, ὅπως μὴ δύναιντο οἱ Βοιωτοὶ ἀπελθεῖν οἴκαδε, παρέλιπεν ἀφύλακτον τὴν καλλίστην παρὰ Κεγχρείας πάροδον.
52 Μαθεῖν δὲ βουλόμενος, εἰ παρεληλυθότες εἶεν οἱ Θηβαῖοι τὸ Ὄνειον, ἔπεμψε σκοποὺς τούς τε Ἀθηναίων ἱππέας καὶ τοὺς Κορινθίων ἅπαντας. Καίτοι ἰδεῖν μὲν οὐδὲν ἧττον ὀλίγοι τῶν πολλῶν ἱκανοί· εἰ δὲ δέοι ἀποχωρεῖν, πολὺ ῥᾷον τοῖς ὀλίγοις ἢ τοῖς πολλοῖς καὶ ὁδοῦ εὐπόρου τυχεῖν καὶ καθ' ἡσυχίαν ἀποχωρῆσαι· τὸ δὲ πολλούς τε προςάγειν καὶ ἥττονας τῶν ἐναντίων πῶς οὐ πολλὴ ἀφροσύνη; Καὶ γὰρ δὴ ἅτε ἐπὶ πολὺ παραταξάμενοι χωρίον οἱ ἱππεῖς διὰ τὸ πολλοὶ εἶναι, ἐπεὶ ἔδει ἀποχωρεῖν, πολλῶν καὶ χαλεπῶν χωρίων ἐπελάβοντο· ὥςτε οὐκ ἔλαττον ἀπώλοντο εἴκοσιν ἱππέων. Καὶ τότε μὲν οἱ Θηβαῖοι ὅπως ἐβούλοντο ἀπῆλθον.

§. 51. V. ἦγεν pro ἀπῆγεν. — δύναιντο B. D. F. marg. Leoncl. Schneid. Dind. pro δύνωνται.
§. 52. εἰ δὲ δέοι B. D. F. I. V. marg. Leoncl. Schneid. Dind. pro καὶ εἰ δέοι, E. εἰ δέοι — Marg. Leoncl. τοὺς δὲ πολλοὺς, B. (teste Gailio) τὸ δὲ τοὺς πολλοὺς pro τὸ δὲ πολλούς. — B. edd. ante Dind. ἐλάττους pro ἔλαττον. — A. Ald. Iunt. ἢ εἴκοσιν.

§. 51. ὅπως μὴ — οἴκαδε] Hoc non voluisse Iphicratem, demonstrare et Xenophontis de Iphicrate iudicium corrigere conatur Grot. H. Gr. V, p. 497. sq.

§. 52. ἔλαττον] V. ad III, 2, 19. 4, 13. IV, 2, 7. De re cf. Diod. XV, 63. Plut. Pelop. XXIV.

# LIBER SEPTIMUS.

## CAPUT I.

---

### ARGUMENTUM.

Iam nova legatio Lacedaemoniorum venit Athenas deliberatum, quibus legibus societas esset ineunda. Hic etsi prudens Proclis oratio magna laude ab omnibus excepta est, suaserat autem, ut Athenienses mari, Lacedaemonii terra gererent imperium: tamen in Cephisodoti sententiam decreverunt, ut alternis per quinos dies utrique summam rerum tenerent. Lacedaemonii cum Atheniensibus ad Corinthum congregati difficillimam Onei montis partem defendendam suscipiunt. Sed Thebani sub diluculum oppressos inde deiiciunt, et deinde cum Arcadibus, Eleis et Argivis coniuncti multa vastant: Corinthum vero invasuri graviter accipiuntur. Interim a Dionysio veniunt triremes viginti. Quum ergo e Corintho ad mare Thebani agros obsiderent, Atheniensibus et Corinthiis nihil audentibus, quinquaginta fere Dionysii equites illos mire vexatos fatigabant. Paucis post diebus Thebani redeunt domum. Iam vero Lycomedes Mantineensis magnos Arcadibus iniicit spiritus eosque deterruit, ne amplius sub Thebanis agerent, sed commune imperium postularent. Hinc facti sunt Thebanis invisi et ob similem arrogantiam Eleis. Distractis iam eorum animis venit ab Ariobarzane cum magnis copiis Philiscus et Thebanos Lacedaemoniosque convocavit Delphos ad pacem restituendam. Hic quum Messenen Lacedaemonii liberam dimittere nollent, ad bellum iis faciendum Philiscus magnum exercitum paravit. Auxilia iterum mittit Dionysius. Cum his et Lacedaemoniis Archidamus Caryas expugnat et incolas omnes trucidat et vastat Parrhasiorum agros. Iam Cissidas, dux Siculorum, quum profectionem pararet, hostes reditum eius intercludere conabantur: sed ab Archidamo incredibili clade sunt affecti, salvis omnibus ad unum Lacedaemoniis. Thebani imperium Graecorum dudum affectantes Pelopidam mittunt ad regem: qui consilio et eloquentia impetravit ab eo, ut pacis formulam scriberet, ex qua Messene a Lacedaemoniis libera esset, Athenienses naves subducerent, reliquae civitates haec armis defenderent. In hanc formulam quum Corinthii iurare nollent, complures aliae civitates huius exemplum secutae conatum Thebanorum

fecerunt irritum. Epaminondas civitates Achaiae partibus Thebanorum adiungere cupiens bello eas petit. Sed quum optimates statim cum eo se coniungerent, nihil aliud nisi foedus cum iis pepigit, ex quo socii Thebanorum essent in omni bello. Ili civitatum principes quum oppressa populari factione Lacedaemoniis studerent, Arcades in medio constituti ancipiti premebantur periculo. Apud Sicyonios Euphron populare imperium, ut videri volebat, instituit, sed re ipsa tyrannidem occupavit.

---

1 *Τῷ δὲ ὑστέρῳ ἔτει Λακεδαιμονίων καὶ τῶν συμμά-*
69 a. Ch. *χων πρέσβεις ἦλθον αὐτοκράτορες Ἀθήναζε βουλευσόμενοι, καθ' ὅ τι ἡ συμμαχία Λακεδαιμονίοις καὶ Ἀθηναίοις ἔσοιτο. Λεγόντων δὲ πολλῶν μὲν ξένων, πολλῶν δὲ Ἀθηναίων, ὡς δέοι ἐπὶ τοῖς ἴσοις καὶ ὁμοίοις τὴν συμμαχίαν εἶναι, Προκλῆς Φλιάσιος εἶπε τόνδε τὸν λόγον.*

2 *Ἐπείπερ, ὦ ἄνδρες Ἀθηναῖοι, ἀγαθὸν ὑμῖν ἔδοξε εἶναι Λακεδαιμονίους φίλους ποιεῖσθαι, δοκεῖ μοι χρῆναι τοῦτο σκοπεῖν, ὅπως ἡ φιλία ὅ τι πλεῖστον χρόνον συμμενεῖ. Ἐὰν οὖν, ῃ ἑκατέροις μάλιστα συνοίσει, ταύτῃ καὶ τὰς συνθήκας ποιησώμεθα, οὕτω κατά γε τὸ εἰκὸς μάλιστα συμμένοιμεν ἄν. Τὰ μὲν οὖν ἄλλα σχεδόν τι συνωμολόγηται, περὶ δὲ τῆς ἡγεμονίας νῦν ἡ σκέψις. Τῇ μὲν οὖν βουλῇ προβεβούλευται ὑμετέραν μὲν εἶναι τὴν κατὰ θάλατταν, Λακεδαιμονίων δὲ τὴν*

Cap. I. §. 1. *ὑστέρῳ* B. C. D. E. F. V. Schneid. Dind. pro *ὑστεραίῳ*. — *ἔσοιτο* post *Ἀθηναίοις* B. C. D. E. F. V. Dind., ante *Λακεδαιμονίοις* ceteri ponunt. — B. D. H. V. Dind. *τόνδε τὸν λόγον* pro *τὸν λόγον τόνδε.*

§. 2. B. D. E. V. *ἡμῖν* pro *ὑμῖν*. — *εἶναι* addunt B. D. F. H. I. V. marg. Leoncl. Dind. — *τοῦτο σκοπεῖν* B. C. D. E. F. H. Dind. pro *σκοπεῖν τοῦτο*. — E. F. edd. vett. om. *οὖν*. — *σχεδόν τι συνωμ.* B. C. D. E. F. I. V. marg. Leoncl. Schneid. Dind. pro *συνωμ. σχεδὸν*. —

Cap. I. §. 1. *Τῷ δὲ ὑστέρῳ ἔτει*] parum accurate dictum, quum idem annus intelligendus sit, ad quem pertinent superiori capite inde a §. 22 narrata. Haec quia per hiemem facta sunt, ita loquitur Xenophon, quasi cum aestate novus incipiat annus. Nam quae iam narraturus est, gesta sunt per aestatem anni 469.

*καθ' ὅ τι*] quibus conditionibus.

*ἡ συμμαχία*] ea, de qua VI, 5, 49. convenerat.

§. 2. *ἐὰν — ποιησώμεθα, οὕτω*] V. ad III, 2, 12.

*βουλῇ προβεβούλευται*] V. ad I, 7, 7.

κατὰ γῆν· ἐμοὶ δὲ καὶ αὐτῷ δοκεῖ ταῦτα οὐκ ἀνθρωπίνῃ μᾶλλον ἢ θείᾳ φύσει τε καὶ τύχῃ διωρίσθαι. Πρῶτον 3
μὲν γὰρ τόπον ἔχετε κάλλιστα πεφυκότα πρὸς τοῦτο· πλεῖσται γὰρ πόλεις τῶν δεομένων τῆς θαλάττης περὶ τὴν ὑμετέραν πόλιν οἰκοῦσι, καὶ αὗται πᾶσαι ἀσθενέστεραι τῆς ὑμετέρας. Πρὸς τούτοις δὲ λιμένας ἔχετε, ὧν ἄνευ οὐχ οἷόν τε ναυτικῇ δυνάμει χρῆσθαι. Ἔτι δὲ τριήρεις κέκτησθε πολλάς, καὶ πάτριον ὑμῖν ἐστι ναυτικὸν ἐπικτᾶσθαι. Ἀλλὰ μὴν τάς γε τέχνας τὰς περὶ 4
ταῦτα πάσας οἰκείας ἔχετε. Καὶ μὴν ἐμπειρίᾳ γε πολὺ προέχετε τῶν ἄλλων περὶ τὰ ναυτικά· ὁ γὰρ βίος τοῖς πλείστοις ὑμῶν ἀπὸ τῆς θαλάττης· ὥςτε τῶν ἰδίων ἐπιμελόμενοι ἅμα καὶ τῶν κατὰ θάλατταν ἀγώνων ἔμπειροι γίγνεσθε. Ἔτι δὲ καὶ τόδε· οὐδαμόθεν ἂν τριήρεις πλείους ἀθρόαι ἐκπλεύσειαν ἢ παρ' ὑμῶν. Ἔστι δὲ τοῦτο οὐκ ἐλάχιστον πρὸς ἡγεμονίαν· πρὸς γὰρ τὸ πρῶτον ἰσχυρὸν γενόμενον ἥδιστα πάντες συλλέγονται. Ἔτι δὲ καὶ ἀπὸ τῶν θεῶν δέδοται ὑμῖν εὐτυχεῖν ἐν 5
τούτῳ· πλείστους γὰρ καὶ μεγίστους ἀγῶνας ἠγωνισμένοι κατὰ θάλατταν ἐλάχιστα μὲν ἀποτετυχήκατε, πλεῖστα δὲ κατωρθώκατε. Εἰκὸς οὖν καὶ τοὺς συμμάχους μεθ' ὑμῶν ἂν ἥδιστα τούτου τοῦ κινδύνου μετέχειν. Ὡς δὲ δὴ καὶ ἀναγκαία καὶ προςήκουσα ὑμῖν αὕτη ἡ ἐπιμέλεια ἐκ τῶνδε ἐνθυμήθητε. Λακεδαιμόνιοι ὑμῖν ἐπο-

δοκεῖ ταῦτα post αὐτῷ B. C. D. F. H. V. Schneid. Dind., post ἀνθρωπίνῃ ceteri ponunt.

§. 3. τῆς ante θαλάττης addunt B. D. H. I. V. Schneid. Dind. — Ante Schneid. edebatur ἡμετέραν. — V. τε τῇ ναυτ. et ἔτι δὲ καί.

§. 4. προέχετε τ. ἄλλων B. C. D. E. F. H. V. Dind. pro τ. ἄλλων προ. — ἐπιμελόμενοι B. D. I. Dind. pro ἐπιμελούμ.

§. 5. F. I. καθωρθώσατε.

latet simul consilii notio. Quapropter non opus est cum Plugersio post ἀνθρωπίνῃ interserere γνώμῃ.

§. 3. πρὸς τοῦτο] ad imperium maritimum.

οἰκοῦσι] habitantur. V. ad I, 6, 32.

ὧν ἄνευ] De collocatione praepositionis ἄνευ v. Buttm. gr. §. 146. adn. 2. Rost. gr. schol. §. 163. 7 a. Cyrop. VI, 1, 14.

§. 4. ἀλλὰ μὴν — γε] V. ad V, 2, 17.

καὶ μὴν — γε] V. ad III, 5, 10.

τῶν ἰδίων] Privatis negotiis rei nauticae peritia eaque res publica augetur.

ἔτι δὲ καὶ τόδε] accedit etiam hoc.

§. 5. ἀπὸ τῶν θεῶν δέδοται] V. ad V, 4, 60. VI, 3, 10.

φύσει τε καὶ τύχῃ] In his

λέμουν ποτὲ πολλὰ ἔτη καὶ κρατοῦντες τῆς χώρας οὐδὲν προὔκοπτον εἰς τὸ ἀπολέσαι ὑμᾶς. Ἐπεὶ δ' ὁ θεὸς ἔδωκέ ποτε αὐτοῖς κατὰ θάλατταν ἐπικρατῆσαι, εὐθὺς ὑπ' ἐκείνοις παντελῶς ἐγένεσθε. Οὐκοῦν εὔδηλον ἐν τούτοις ἐστίν, ὅτι ἐκ τῆς θαλάττης ἅπασα ὑμῖν ἤρτηται
7 ἡ σωτηρία. Οὕτως οὖν πεφυκότων πῶς ἂν ἔχοι καλῶς ὑμῖν Λακεδαιμονίοις ἐπιτρέψαι κατὰ θάλατταν ἡγεῖσθαι, οἳ πρῶτον μὲν καὶ αὐτοὶ ὁμολογοῦσιν ἀπειρότεροι ὑμῶν τούτου τοῦ ἔργου εἶναι, ἔπειτα δ' οὐ περὶ τῶν ἴσων ὁ κίνδυνός ἐστιν ἐν τοῖς κατὰ θάλατταν ἀγῶσιν. ἀλλ' ἐκείνοις μὲν περὶ τῶν ἐν ταῖς τριήρεσι μόνων ἀνθρώπων, ὑμῖν δὲ καὶ περὶ παίδων καὶ γυναικῶν καὶ
8 ὅλης τῆς πόλεως. Καὶ τὰ μὲν δὴ ὑμέτερα οὕτως ἔχει· τὰ δὲ δὴ τῶν Λακεδαιμονίων ἐπισκέψασθε. Πρῶτον μὲν γὰρ οἰκοῦσιν ἐν μεσογαίᾳ· ὥςτε τῆς γῆς κρατοῦντες καί, εἰ θαλάττης εἴργοιντο, δύναιντ' ἂν καλῶς διαζῆν. Ἐγνωκότες οὖν καὶ οὗτοι ταῦτα εὐθὺς ἐκ παίδων πρὸς τὸν κατὰ γῆν πόλεμον τὴν ἄσκησιν ποιοῦνται. Καὶ τὸ πλείστου δ' ἄξιον, τὸ πείθεσθαι τοῖς ἄρχουσιν, οὗτοι μὲν κράτιστοι κατὰ γῆν, ὑμεῖς δὲ κατὰ θάλατταν.
9 Ἔπειτα δὲ ὥςπερ ὑμεῖς ναυτικῷ, οὕτως αὖ ἐκεῖνοι κατὰ γῆν πλεῖστοι καὶ τάχιστ' ἂν ἐξέλθοιεν· ὥςτε πρὸς τού-

§. 6. Post ἐπολέμουν om. τε B. C. D. E. F. H. I. Schneid. Dind. — ἡ ante σωτηρία addunt H. Dind.

§. 7. πρῶτον B. D. F. H. I. V. Dind., ceteri πρῶτα. — μόνων B. D. F. H. V. Dind. pro μόνον.

§. 8. τὰ δὲ δὴ B. D. F. H. I. V. Leoncl. Steph. Wells. Dind. pro τὰ δέ. — καὶ οὗτοι B. C. D. E. F. H. Dind. pro καὶ αὐτοί. — εὐθὺς B. C. D. E. F. V. Dind. ante, ceteri post ἐκ παίδ. ponunt.

§. 9. Ante πλεῖστοι om. καὶ B. C. D. E. F. H. V. Dind. — πρὸς

ὑπ' ἐκείνοις — ἐγένεσθε] V. V, 2, 17.

§. 6. κρατοῦντες τῆς χώρας] V. ad I, 1, 33.

κατὰ θάλατταν ἐπικρατῆσαι] V. II, 1, 28.

§. 7. πεφυκότων] V. ad τοιούτων δὲ ὄντων II, 2, 16.

κίνδυνός ἐστι] Mutatur constructio. Exspectamus: κινδυνεύουσι —, ἀλλ' ἐκεῖνοι —, ὑμεῖς δὲ —. Sed quam saepe post relativa liberius formetur verborum structura, notum est.

§. 8. τὰ μὲν δὴ — · τὰ δὲ δή] Cf. Plat. Phaedr. p. 238 D: ὃ μὲν δὴ τυγχάνει ὂν περὶ οὗ βουλευτέον εἴρηταί τε καὶ ὥρισται· βλέποντες δὲ δὴ πρὸς αὐτὰ τὰ λοιπὰ λέγωμεν. Charm. p. 171 A. Tim. p. 66 D. Hertlin.

καὶ οὗτοι] Sunt quibus magis placeat καὶ αὐτοί. V. autem ad III, 1, 10.

τὸ πείθεσθαι τοῖς ἄρχουσιν] Sententiam comparat Schneider. cum Comment. III, 5, 16. IV, 4, 15.

τους αὖ εἰκὸς τοὺς συμμάχους εὐθαρσεστάτους προσ-
ιέναι. Ἔτι δὲ καὶ ὁ θεὸς αὐτοῖς δέδωκεν, ὥςπερ ὑμῖν
κατὰ θάλατταν εὐτυχεῖν, οὕτως ἐκείνοις κατὰ γῆν·
πλείστους γὰρ αὖ οὗτοι ἀγῶνας ἐν τῇ γῇ ἠγωνισμένοι
ἐλάχιστα μὲν ἐσφαλμένοι εἰσί, πλεῖστα δὲ κατωρθω-
κότες. Ὡς δὲ καὶ ἀναγκαία οὐδὲν ἧττον τούτοις ἡ 10
κατὰ γῆν ἐπιμέλεια ἢ ὑμῖν ἡ κατὰ θάλατταν ἐκ τῶν ἔρ-
γων ἔξεστι γιγνώσκειν. Ὑμεῖς γὰρ τούτοις πολλὰ ἔτη
πολεμοῦντες καὶ πολλάκις καταναυμαχοῦντες οὐδὲν
προὖργου ἐποιεῖτε πρὸς τὸ τούτους καταπολεμῆσαι·
ἐπεὶ δ' ἅπαξ ἡττήθησαν ἐν τῇ γῇ, εὐθὺς καὶ περὶ παί-
δων καὶ περὶ γυναικῶν καὶ περὶ ὅλης τῆς πόλεως κίν- 11
δυνος αὐτοῖς ἐγένετο. Πῶς οὖν οὐ τούτοις αὖ δεινὸν
ἄλλοις μὲν ἐπιτρέπειν κατὰ γῆν ἡγεῖσθαι, αὐτοὺς δὲ
ἄριστα τῶν κατὰ γῆν ἐπιμελεῖσθαι; Ἐγὼ μὲν οὖν, ὥςπερ
τῇ βουλῇ προβεβούλευται, ταῦτα εἴρηκά τε καὶ συμ-
φορώτατα ἡγοῦμαι ἀμφοῖν εἶναι· ὑμεῖς δὲ εὐτυχοῖτε
τὰ κράτιστα πᾶσιν ἡμῖν βουλευσάμενοι.

Ὁ μὲν ταῦτ' εἶπεν. Οἵ δ' Ἀθηναῖοί τε καὶ οἱ τῶν 12
Λακεδαιμονίων παρόντες ἐπῄνεσαν ἀμφότεροι ἰσχυρῶς
τὸν λόγον αὐτοῦ. Κηφισόδοτος δὲ παρελθών, Ἄνδρες
Ἀθηναῖοι, ἔφη, οὐκ αἰσθάνεσθε ἐξαπατώμενοι· ἀλλ'
ἐὰν ἀκούσητέ μου, ἐγὼ ὑμῖν αὐτίκα μάλα ἐπιδείξω.
Ἤδη γὰρ ἡγήσεσθε κατὰ θάλατταν· Λακεδαιμόνιοι δὲ

τούτους marg. Leoncl. Wells. Schneid. edd. sqq. pro πρὸς τούτοις. — αὐτοῖς δέδωκεν B. C. D. E. F. H. V. Dind. pro δεδ. αὐτοῖς.

§. 10. τούτοις post ἧττον B. D. H. Dind. pro αὐτοῖς. — Ante κίνδυνος delevi ὁ cum B. D. E. F. H. I. V.

§. 11. ἡγεῖσθαι, αὐτοὺς δὲ H. Leoncl. edd. sqq. pro ἡγεῖσθαι αὐτούς, καί; libri, excepto A., habent ἡγεῖσθαι, αὐτοῖς δέ. — A. C. E. πᾶσιν ὑμῖν.

§. 12. τε post Ἀθην. addunt B. D. F. H. I. V. Dind. — παρόντες

§. 9. *προσιέναι*] se adiungere, quo sensu saepius προσχωρεῖν usurpatur.

§. 10. *ἡττήθησαν ἐν τῇ γῇ*] V. VI, 4, 9. sqq.

§. 11. *αὐτοὺς δὲ — ἐπιμελεῖσθαι*] quum ipsi res terra gerendas optime procurent, tamen aliis terrestre imperium permittere.

§. 12. *Κηφισόδοτος*] ὁ ἐκ Κεραμέων, qui in contionibus tum regnavit, usque dum Demosthenes in eius auctoritatem successit. Schneider.

*ἤδη — ἡγήσεσθε*] ut nunc est, h. e. secundum ea, quae adhuc in hoc consilio acta sunt, mari vos duces eritis.

ὑμῖν ἐὰν συμμαχῶσι, δῆλον ὅτι πέμψουσι τοὺς μὲν
τριηράρχους Λακεδαιμονίους καὶ ἴσως τοὺς ἐπιβάτας,
οἱ δὲ ναῦται δῆλον ὅτι ἔσονται ἢ εἵλωτες ἢ μισθοφό-
13 ροι. Οὐκοῦν ὑμεῖς μὲν τούτων ἡγήσεσθε. Οἱ δὲ Λακε-
δαιμόνιοι ὅταν παραγγείλωσιν ὑμῖν κατὰ γῆν στρατείαν,
δῆλον ὅτι πέμψετε τοὺς ὁπλίτας καὶ τοὺς ἱππέας. Οὐ-
κοῦν οὕτως ἐκεῖνοι μὲν ὑμῶν αὐτῶν γίγνονται ἡγεμό-
νες, ὑμεῖς δὲ τῶν ἐκείνων δούλων καὶ ἐλαχίστου ἀξίων.
Ἀπόκριναι δέ μοι, ἔφη, ὦ Λακεδαιμόνιε Τιμόκρατες,
οὐκ ἄρτι ἔλεγες, ὡς ἐπὶ τοῖς ἴσοις καὶ ὁμοίοις ἥκοις τὴν
14 συμμαχίαν ποιούμενος; Εἶπον ταῦτα. Ἔστιν οὖν, ἔφη
ὁ Κηφισόδοτος, ἰσαίτερον ἢ ἐν μέρει μὲν ἑκατέρους
ἡγεῖσθαι τοῦ ναυτικοῦ, ἐν μέρει δὲ τοῦ πεζοῦ, καὶ ὑμᾶς
τε, εἴ τι ἀγαθόν ἐστιν ἐν τῇ κατὰ θάλατταν ἀρχῇ, τού-
των μετέχειν, καὶ ἡμᾶς ἐν τῇ κατὰ γῆν; Ἀκούσαντες
ταῦτα οἱ Ἀθηναῖοι μετεπείσθησαν καὶ ἐψηφίσαντο κατὰ
πενθήμερον ἑκατέρους ἡγεῖσθαι.

15 Στρατευομένων δ' ἀμφοτέρων αὐτῶν καὶ τῶν συμ-
a. Ch. μάχων εἰς Κόρινθον ἔδοξε κοινῇ φυλάττειν τὸ Ὄνειον.
Καὶ ἐπεὶ ἐπορεύοντο οἱ Θηβαῖοι καὶ οἱ σύμμαχοι, πα-

B. C. D. E. F. H. I. V. marg. Leoncl. Schneid. Dind. pro συμπαρόντες. — F. ὑμεῖς pro ὑμεῖς μὲν.

§. 13. ὁπλίτας κ. τ. ἱππέας B. D. F. V. Dind. pro ἱππέας κ. τ. ὁπλ. — αὐτῶν om. A. C. E. F. Ald. Iunt. Cast. — ἥκοις B. D. E. F. H. Schneid. Dind. pro ἥκεις.

§. 14. τούτων B. D. F. H. I. V. marg. Leoncl. pro τούτου; E. τούτῳ.

§. 15. κοινῇ B. Steph. edd. sqq. praeter Morum, qui retinuit cum

ἐπιβάτας — ναῦται] V. ad V, 1, 11.

§. 13. ὑμῶν αὐτῶν] civium Atheniensium, quibus opponuntur δοῦλοι Lacedaemoniorum.

δούλων] Genitivus pendet ab ἐκείνων. Cuius generis exempla collegi ad Hier. I, 10.

ποιούμενος] Stephanus maluit ποιησόμενος. Sed cf. III, 2, 13: ἐτύγχανε — ἀφιγμένος — διαμαρτυρόμενος. III, 5, 4.

§. 14. ἰσαίτερον] V. ad σῶφρον VI, 2, 39.

τούτων] De plurali numero ad εἴ τι relato v. ad ἅπαντα, ὅτι II, 2, 16. Oecon. VII, 37. IX, 16. XXI, 8.

καὶ ἡμᾶς ἐν τῇ] Nihil frequentius quam talis dicendi brevitas. Frustra post ἡμᾶς Cobet. interponit εἴ τι.

§. 15. τὸ Ὄνειον] Cf. VI, 5, 51. Vallo et fossa, a Cenchreis usque ad Lechaeum ducta, Boeotorum transitum impediturus fuisse Chabrias narratur Diod. XV, 68.

ϱαταξάμενοι ἐφύλαττον ἄλλοι ἄλλοθι τοῦ Ὀνείου, Λακεδαιμόνιοι δὲ καὶ Πελληνεῖς κατὰ τὸ ἐπιμαχώτατον. Οἱ δὲ Θηβαῖοι καὶ οἱ σύμμαχοι ἐπεὶ ἀπεῖχον τῶν φυλαττόντων τριάκοντα στάδια, κατεστρατοπεδεύσαντο ἐν τῷ πεδίῳ. Συντεκμηράμενοι δέ, ἡνίκ' ἂν ᾤοντο ὁρμηθέντες κατανύσαι ἅμα κνέφᾳ, πρὸς τὴν τῶν Λακεδαιμονίων φυλακὴν ἐπορεύοντο. Καὶ μέντοι οὐκ ἐψεύ- 16
σθησαν τῆς ὥρας, ἀλλ' ἐπιπίπτουσι τοῖς Λακεδαιμονίοις καὶ τοῖς Πελληνεῦσιν, ἡνίκα αἱ μὲν νυκτεριναὶ φυλακαὶ ἤδη ἔληγον, ἐκ δὲ τῶν στιβάδων ἀνίσταντο ὅποι ἐδεῖτο ἕκαστος. Ἐνταῦθα οἱ Θηβαῖοι προςπεσόντες ἔπαιον παρεσκευασμένοι ἀπαρασκευάστους καὶ συντεταγμένοι ἀσυντάκτους. Ὡς δὲ οἱ σωθέντες ἐκ τοῦ 17
πράγματος ἀπέφυγον ἐπὶ τὸν ἐγγύτατα λόφον, ἐξὸν τῷ Λακεδαιμονίων πολεμάρχῳ λαβόντι ὁπόσους μὲν ἐβούλετο τῶν συμμάχων ὁπλίτας, ὁπόσους δὲ πελταστάς, κατέχειν τὸ χωρίον, καὶ γὰρ τὰ ἐπιτήδεια ἐξῆν ἀσφαλῶς ἐκ Κεγχρειῶν κομίζεσθαι, οὐκ ἐποίησε ταῦτα, ἀλλὰ μάλα ἀπορούντων τῶν Θηβαίων, πῶς χρὴ ἐκ τοῦ πρὸς Σικυῶνα βλέποντος καταβῆναι ἢ πάλιν ἀπελθεῖν, σπονδὰς ποιησάμενος, ὡς τοῖς πλείστοις ἐδόκει, πρὸς Θη-

ceteris κοινῶς. — ἄλλοι ἄλλοθι Halberstma et Dind. pro ἄλλος ἄλλοθεν.

§. 16. A. C. E. F. Ald. Iunt. Cast. ἐμπίπτουσι pro ἐπιπίπτουσι. — ὅποι, iubente Schneid., Dind. pro ὅπου. — Leoncl. Wells. Mor. Schneid. ἔκειτο pro ἐδεῖτο.

κατανύσαι] τὴν ὁδόν, ut V, 4, 20, scil. triginta stadiorum.

ἅμα κνέφᾳ] primo diluculo. Nam nocte profecti mane advenerunt Thebani ad castra hostium. Aliter Polyaen. II, 2, 9: ἐπεὶ δὲ ὑπέλαμψεν ἡ ἕως, ἀναστήσας τὸ στρατόπεδον ἐπέθετο τοῖς φύλαξιν. Eodem sensu rariori κνέφας est apud Aristoph. Eccl. v. 290. Cf. Vesp. v. 123: νύκτωρ κατέκλινεν αὐτὸν εἰς Ἀσκληπιοῦ, ὁ δ' ἀνεφάνη κνεφαῖος ἐπὶ τῇ κιγκλίδι, quem locum comparat Cobet. Cum eodem comma post κατανύσαι delevi, sed ante πρὸς posui quod ille ante ἐπορεύοντο posuit. Vertas: Postquam computaverunt, qua hora castra movenda essent, ut sub diluculum iter triginta stadiorum conficere possent, versus Lacedaemoniorum excubias proficiscebantur.

§. 16. ὅποι] V. ad II, 4, 6.

§. 17. ἐκ τοῦ πράγματος] V. ad IV, 4, 4.

τοῦ — βλέποντος] Intelligas eam montis partem, quae Sicyonem spectat. Cf. ὁρῶντος VII, 2, 6.

πρὸς Θηβαίων] ex Thebanorum commodo.

*βαίων μᾶλλον ἢ πρὸς ἑαυτῶν, οὕτως ἀπῆλθε καὶ τοὺς
μεθ' αὐτοῦ ἀπήγαγεν.*

18 *Οἱ δὲ Θηβαῖοι ἀσφαλῶς καταβάντες καὶ συμμίξαν-
τες τοῖς ἑαυτῶν συμμάχοις, Ἀρκάσι τε καὶ Ἀργείοις καὶ
Ἠλείοις, εὐθὺς μὲν προςέβαλον πρὸς Σικυῶνα καὶ
Πελλήνην· στρατευσάμενοι δὲ εἰς Ἐπίδαυρον ἐδῄωσαν
αὐτῶν πᾶσαν τὴν χώραν. Ἀναχωροῦντες δὲ ἐκεῖθεν
μάλα πάντων ὑπεροπτικῶς τῶν ἐναντίων, ὡς ἐγένοντο
ἐγγὺς τοῦ τῶν Κορινθίων ἄστεος, δρόμῳ ἐφέροντο
πρὸς τὰς πύλας τὰς ἐπὶ Φλιοῦντα ἰόντι, ὡς, εἰ ἀνεῳ-
19 γμέναι τύχοιεν, εἰςπεσούμενοι. Ἐκβοηθήσαντες δέ τι-
νες ψιλοὶ ἐκ τῆς πόλεως ἀπαντῶσι τῶν Θηβαίων τοῖς
ἐπιλέκτοις οὐδὲ τέτταρα πλέθρα ἀπέχουσι τοῦ τείχους·
καὶ ἀναβάντες ἐπὶ τὰ μνήματα καὶ τὰ ὑπερέχοντα χω-
ρία, βάλλοντες καὶ ἀκοντίζοντες ἀποκτείνουσι τῶν
πρώτων καὶ μάλα συχνούς, καὶ τρεψάμενοι ἐδίωκον ὡς
τρία ἢ τέτταρα στάδια. Τούτου δὲ γενομένου οἱ Κορίν-
θιοι τοὺς νεκροὺς πρὸς τὸ τεῖχος ἑλκύσαντες καὶ ὑπο-
σπόνδους ἀποδόντες τρόπαιον ἔστησαν. Καὶ ταύτῃ
μὲν ἀνεψύχθησαν οἱ τῶν Λακεδαιμονίων σύμμαχοι.*

20 *Ἅμα τε δὴ πεπραγμένων τούτων καταπλεῖ Λακεδαι-
μονίοις ἡ παρὰ Διονυσίου βοήθεια, τριήρεις πλέον ἢ*

§. 17. B. D. V. Ald. Iunt. Cast. *μετ' αὐτοῦ* pro *μεθ' αὐτοῦ*.
§. 18. B. D. V. *τοῖς τε αὐτῶν*, E. F. *τοῖς τε ἑαυτῶν* pro *τοῖς ἑαυτῶν*. — F. *προςέβαλλον*. — B. om. *τῶν* ante *Κορινθ.* — *ἰόντι* B. C. D. E. F. I. Dind., *ἰούσας* V., ceteri *ἰόντι ὁρώσας*.
§. 19. Post *ταύτῃ μὲν* B. D. E. F. V. Dind. om. *δή*, quod habet E., sed om. *μέν*.

*ἑαυτῶν*] De plurali v. ad IV, 8, 24.
§. 18. *πρὸς Σικυῶνα*] Hanc urbem et Phliuntem cepit secundum Diod. XV, 69.
*αὐτῶν*] Epidauriorum. V. ad *αὐτοῖς* I, 5, 19.
*ὑπεροπτικῶς*] cum genitivo iungitur ut verbum *ὑπερορᾶν* VII, 3, 7. Sed v. etiam ad V, 4, 25.
*ἰόντι*] non aliter accipiendum quam Thuc. I, 24, 1: *πόλις ἐν δεξιᾷ ἐςπλέοντι τὸν Ἰόνιον κόλπον*, ubi v. Poppo. Dindorf. affert Thuc. II, 96, 1: *τοὺς ὑπερβάντι Αἷμον Γέτας*. Buttm. §. 145. 5. ann. 3. Rost. §. 161. 5. addit. Kuehn. §. 284. 10. a.
§. 19. *ἐκβοηθήσαντες δέ τινες*] Cf. Diod. XV, 69, qui haec paullo aliter narrat.
*μνήματα*] V. ad III, 2, 14.
*καὶ μάλα*] V. ad IV, 7, 2.
§. 20. *Ἅμα τε — πεπραγμένων*] V. ad IV, 3, 14. Infra §. 21. De part. *τε* v. ad VI, 2, 1. Ita habes *ἅμα δέ*, *ἅμα τε* et *καὶ ἅμα* sequente participio.
*καταπλεῖ*] Diod. XV, 70: *κατέπλευσαν εἰς Κόρινθον*, ubi videas plura de hac re.

εἴκοσιν· ἦγον δὲ Κελτούς τε καὶ Ἴβηρας καὶ ἱππεῖς ὡς πεντήκοντα. Τῇ δ' ὑστεραίᾳ οἱ Θηβαῖοί τε καὶ οἱ ἄλλοι αὐτῶν σύμμαχοι διαταξάμενοι καὶ ἐμπλήσαντες τὸ πεδίον μέχρι τῆς θαλάττης καὶ μέχρι τῶν ἐχομένων τῆς πόλεως γηλόφων ἔφθειρον εἴ τι χρήσιμον ἦν ἐν τῷ πεδίῳ. Καὶ οἱ μὲν τῶν Ἀθηναίων καὶ οἱ τῶν Κορινθίων ἱππεῖς οὐ μάλα ἐπλησίαζον τῷ στρατεύματι, ὁρῶντες ἰσχυρὰ καὶ πολλὰ τἀντίπαλα· οἱ δὲ παρὰ τοῦ Διονυ- 21
σίου ἱππεῖς, ὅσοιπερ ἦσαν, οὗτοι διεσκεδασμένοι ἄλλες ἄλλῃ παραθέοντες ἠκόντιζόν τε προσελαύνοντες καί, ἐπεὶ ὥρμων ἐπ' αὐτούς, ἀνεχώρουν, καὶ πάλιν ἀναστρέφοντες ἠκόντιζον. Καὶ ταῦτα ἅμα ποιοῦντες κατέβαινον ἀπὸ τῶν ἵππων καὶ ἀνεπαύοντο. Εἰ δὲ καταβεβηκόσιν ἐπελαύνοιέν τινες, εὐπετῶς ἀναπηδῶντες ἀνεχώρουν. Εἰ δ' αὖ τινες διώξειαν αὐτοὺς πολὺ ἀπὸ τοῦ στρατεύματος, τούτους, ὁπότε ἀποχωροῖεν, ἐπικείμενοι καὶ ἀκοντίζοντες δεινὰ εἰργάζοντο καὶ πᾶν τὸ στράτευμα ἠνάγκαζον ἑαυτῶν ἕνεκα καὶ προϊέναι καὶ ἀναχωρεῖν. Μετὰ ταῦτα μέντοι οἱ Θηβαῖοι μείναντες οὐ πολλὰς ἡμέ- 22
ρας ἀπῆλθον οἴκαδε, καὶ οἱ ἄλλοι δὲ ἕκαστος οἴκαδε. Ἐκ δὲ τούτου ἐμβάλλουσιν οἱ παρὰ Διονυσίου εἰς Σικυῶνα καὶ μάχῃ μὲν νικῶσι τοὺς Σικυωνίους ἐν τῷ πεδίῳ καὶ ἀπέκτειναν περὶ ἑβδομήκοντα· Δέρας δὲ τεῖχος κατὰ κράτος αἱροῦσι. Καὶ ἡ μὲν παρὰ Διονυσίου πρώτη βοήθεια ταῦτα πράξασα ἀπέπλευσεν εἰς Συρακούσας.

§. 20. V. Dind. Ἅμα δὲ δή. — Dind. ἱππέας pro ἱππεῖς. — τἀντίπ. B. C. D. E. V. Schneid. Dind. pro τὰ ἀντίπ.

§. 21. F. om. οὗτοι. — B. D. F. I. L. V. διεσκευασμένοι pro διεσκεδασμ. — A. edd. vett. ἐλαύνοιεν pro ἐπελαύνοιεν. — In B. exciderunt omnia inde ab ἀκοντί(ζοντες) usque ad ἔπιπτον §. 31. — F. καὶ ἀνεχώρουν.

§. 22. οἱ ante Θηβαῖοι addunt C. D. E. F. I. V. Schneid. Dind. — F. καὶ ἄλλοι. — Δέρας D. I. V. Steph. Leoncl. Wells. Schneid. Dind. pro Γέρας; E. F. Δαίρας. — ταῦτα D. F. I. V. marg. Leoncl. Dind. pro τοιαῦτα. — Ante Θηβαίων delent τῶν D. I. V. Dind.

αὐτῶν] ponendum post σύμμαχοι videtur. V. ad III, 4, 12.

τῆς πόλεως] Corinthi.

§. 21. ὥρμων] Thebani. De subiecto subito mutato v. ad III, 2, 4.

ἐπελαύνοιεν — διώξειαν] De optativo v. ad III, 5, 24.

§. 22. οἴκαδε] De repetito verbo v. ad IV, 5, 17.

νικῶσι — ἀπέκτειναν] De mutatione temporum v. ad II, 1, 15.

ἡ — πρώτη βοήθεια] De altera v. §. 28.

*Θηβαῖοι δὲ καὶ πάντες οἱ ἀποστάντες ἀπὸ Λακεδαιμο-*
*νίων μέχρι μὲν τούτου τοῦ χρόνου ὁμοθυμαδὸν καὶ*
23 *ἔπραττον καὶ ἐστρατεύοντο ἡγουμένων Θηβαίων. Ἐγ-*
*γενόμενος δέ τις Λυκομήδης Μαντινεύς, γένει τε οὐδε-*
*νὸς ἐνδεὴς χρήμασί τε προήκων καὶ ἄλλως φιλότιμος,*
*οὗτος ἐνέπλησε φρονήματος τοὺς Ἀρκάδας λέγων, ὡς*
*μόνοις μὲν αὐτοῖς πατρὶς Πελοπόννησος εἴη, μόνοι γὰρ*
*αὐτόχθονες ἐν αὐτῇ οἰκοῖεν, πλεῖστον δὲ τῶν Ἑλληνι-*
*κῶν φῦλον τὸ Ἀρκαδικὸν εἴη καὶ σώματα ἐγκρατέστατα*
*ἔχοι. Καὶ ἀλκιμωτάτους δὲ αὐτοὺς ἀπεδείκνυε τεκμή-*
*ρια παρεχόμενος, ὡς, ἐπικούρων ὁπότε δεηθεῖέν τινες,*
*οὐδένας ᾑροῦντο ἀντ' Ἀρκάδων. Ἔτι δὲ οὔτε Λακε-*
*δαιμονίους πώποτε ἄνευ σφῶν ἐμβαλεῖν εἰς τὰς Ἀθή-*
*νας οὔτε νῦν Θηβαίους ἐλθεῖν ἄνευ Ἀρκάδων εἰς Λακε-*
24 *δαίμονα. Ἐὰν οὖν σωφρονῆτε, τοῦ ἀκολουθεῖν ὅποι*
*ἄν τις παρακαλῇ φείσεσθε· ὡς πρότερόν τε Λακεδαιμο-*
*νίοις ἀκολουθοῦντες ἐκείνους ηὐξήσατε, νῦν δέ, ἂν*
*Θηβαίοις εἰκῇ ἀκολουθῆτε καὶ μὴ κατὰ μέρος ἡγεῖσθαι*
*ἀξιῶτε, ἴσως τάχα τούτους ἄλλους Λακεδαιμονίους εὑ-*

§. 23. *Ἐγγενόμενος* D. V. Dind. pro *Ἐγγιν.* — *γένει* D. F. I. V. Steph. Leoncl. Wells. Dind. pro *γένος.* — *πάτρις Πελοπ.* D. E. F. I. V. Dind. pro *Πελοπ. πάτρις.* — *τῶν Ἑλλ. φῦλον* C. D. Dind. pro *φῦλον τῶν Ἑλλ.*, E. F. V. *τῶν Ἑλλ. φύλων.* — *πώποτε ἄνευ σφῶν* D. E. F. V. Dind. pro *ἄνευ σφῶν πώπ.*

§. 24. *Ἐὰν* D. E. F. I. V. Dind. pro *Ἂν.* — *παρακαλῇ* D. E. F. V. Schneid. Dind. pro *παρακαλοῖ.* — E. F. Dind. om. *τε* post *πρότερον.* — *ἡγεῖσθαι ἀξιῶτε* D. E. F. V. Dind. pro *ἀξ. ἡγ.* — *ἀκούσαντες* D. pro *ἀκούοντες.* — *ἐκεῖνος* D. V. Dind. pro *κἀκεῖνος.*

§. 23. *γένει — οὐδενὸς ἐνδεής*] In adiectivo *ἐνδεής* comparationis latet notio. Thuc. I, 70, 3: *τῆς δυνάμεως ἐνδεᾶ*, viribus vestris inferiora. Ad quem locum et I, 102, 2. v. Poppo. Vertas igitur: genere nulli secundus. Sed IV, 1, 6. erat comparativus.

*μόνοι γὰρ — οἰκοῖεν*] De optativo v. ad III, 2, 23.

*αὐτόχθονες*] V. Herod. VIII, 73. Thuc. I, 2, 3.

*ἐπικούρων*] Hinc Hermippus Athenaei I, p. 27. F. (cap. 49): *ἀνδράποδ' ἐκ Φρυγίας, ἀπὸ δ' Ἀρκαδίας ἐπικούρους.* Schneider.

*ἐλθεῖν*] Cobetus temere addit *ἄν*. Revera nunc non sine Arcadum ope Lacedaemonem ingressos esse Thebanos dicit Lycomedes.

§. 24. *ἐὰν οὖν σωφρονῆτε*] Transitur ad rectam orationem. V. ad I, 1, 27. V, 1, 31.

*ὡς πρότερόν τε*] nam et antea. De part. *τε*, quam deinceps excipit *δέ*, ubi posterior enuntiatio gravius efferenda est, v. Kuehn. ad Anab. V, 5, 8. VII, 8, 11. Etiam Saupp. ad Comment. II, 1, 28 tuetur h. l. *τε*, quod Dindorf. immerito expunxit. Cf. supra ad IV, 5, 15.

ρήσετε. Οἱ μὲν δὴ Ἀρκάδες ταῦτα ἀκούσαντες ἀνεφυ-
σῶντό τε καὶ ὑπερεφίλουν τὸν Λυκομήδην καὶ μόνον
ἄνδρα ἡγοῦντο· ὥςτε ἄρχοντας ἔταττον οὕςτινας ἐκεῖ-
νος κελεύοι. Καὶ ἐκ τῶν συμβαινόντων δὲ ἔργων ἐμε-
γαλύνοντο οἱ Ἀρκάδες· ἐμβαλόντων μὲν γὰρ εἰς Ἐπί-
δαυρον τῶν Ἀργείων καὶ ἀποκλεισθέντων τῆς ἐξόδου 25
ὑπό τε τῶν μετὰ Χαβρίου ξένων καὶ Ἀθηναίων καὶ Κο-
ρινθίων, βοηθήσαντες μάλα πολιορκουμένους ἐξελύ-
σαντο τοὺς Ἀργείους, οὐ μόνον τοῖς ἀνδράσιν, ἀλλὰ
καὶ τοῖς χωρίοις πολεμίοις χρώμενοι. Στρατευσάμενοι
δὲ καὶ εἰς Ἀσίνην τῆς Λακαίνης ἐνίκησάν τε τὴν τῶν
Λακεδαιμονίων φρουρὰν καὶ τὸν Γεράνορα τὸν πολέ-
μαρχον [Σπαρτιάτην γεγενημένον] ἀπέκτειναν καὶ τὸ
προάστειον τῶν Ἀσιναίων ἐπόρθησαν. Ὅπου δὲ βου-
ληθεῖεν ἐξελθεῖν, οὐ νύξ, οὐ χειμών, οὐ μῆκος ὁδοῦ,
οὐκ ὄρη δύςβατα ἀπεκώλυεν αὐτούς· ὥςτε ἐν ἐκείνῳ
τῷ χρόνῳ πολὺ ᾤοντο κράτιστοι εἶναι. Οἱ μὲν δὴ Θη- 26
βαῖοι διὰ ταῦτα ὑποφθόνως καὶ οὐκέτι φιλικῶς εἶχον
πρὸς τοὺς Ἀρκάδας. Οἵ γε μὴν Ἠλεῖοι ἐπεὶ ἀπαιτοῦν-
τες τὰς πόλεις τοὺς Ἀρκάδας, ἃς ὑπὸ Λακεδαιμονίων
ἀφηρέθησαν, ἔγνωσαν αὐτοὺς τοὺς μὲν ἑαυτῶν λόγους
ἐν οὐδενὶ λόγῳ ποιουμένους, τοὺς δὲ Τριφυλίους καὶ
τοὺς ἄλλους τοὺς ἀπὸ σφῶν ἀποστάντας περὶ παντὸς

§. 25. Ante Dind. pro *Λακαίνης* legebatur *Λακωνικῆς*, quod ex libris unus A. habet. — *ἐν ἐκείνῳ τῷ χρόνῳ* D. E. F. V. Dind. pro *ἔν γε τῷ χρόνῳ ἐκείνῳ*. — C. F. *πολλοὶ* (i. e. *πολλῷ*) pro *πολύ*.
§. 26. F. om. *τοὺς* ante *Ἀρκάδας*. — D. F. *Τριφυλλίους*.

*καὶ ἐκ τῶν — δέ*] V. ad V, 1, 16.

§. 25. *οὐ μόνον — χρώμενοι*] quum non homines tantum, sed loca etiam adversa experirentur.

*Λακαίνης*] ut §. 29. Herod. VII, 235: *τὴν Λάκαιναν χώρην*. Ceterum poetarum magis propria est haec forma de terra vel urbibus Laconicis. Exempla v. apud Lobeck. ad Phryn. p. 341.

[*Σπαρτιάτην γεγενημένον*]] additamentum videtur esse, ortum ab eo, qui, quanta virtute Arcades fuissent, monere lectores vellet.

*ὅπου*] V. ad *οὗ* II, 3, 54. Hier. III, 2.

§. 26. *ὑποφθόνως*] Pluygersius praeter necessitatem, referente Dindorfio, coniicit *ἐπιφθόνως*.

*ἃς — ἀφηρέθησαν*] De hac re v. III, 2, 30.

*λόγους ἐν — λόγῳ*] Eadem paronomasia est Isocr. Panath. p. 208, 16: *λόγους ποιούμενος περὶ ἀνθρώπων, οὓς οὐδεὶς ὑπείληφεν ἀξίους εἶναι λόγου*, quem locum affert Kuehner. ad Comment. I, 5, 8.

*ποιουμένους, ὅτι Ἀρκάδες ἔφασαν εἶναι, ἐκ τούτων αὖ καὶ οἱ Ἠλεῖοι δυσμενῶς εἶχον πρὸς αὐτούς.*

27 *Οὕτω δ' ἑκάστων μέγα ἐφ' ἑαυτοῖς φρονούντων τῶν συμμάχων, ἔρχεται Φιλίσκος Ἀβυδηνὸς παρ' Ἀριοβαρζάνους χρήματα ἔχων πολλά. Καὶ πρῶτα μὲν εἰς Δελφοὺς συνήγαγε περὶ εἰρήνης Θηβαίους καὶ τοὺς συμμάχους καὶ τοὺς Λακεδαιμονίους. Ἐκεῖ δὲ ἐλθόντες τῷ μὲν θεῷ οὐδὲν ἀνεκοινώσαντο, ὅπως ἂν ἡ εἰρήνη γένοιτο, αὐτοὶ δὲ ἐβουλεύοντο. Ἐπεὶ δὲ οὐ συνεχώρουν οἱ Θηβαῖοι Μεσσήνην ὑπὸ Λακεδαιμονίοις εἶναι, ξενικὸν πολὺ συνέλεγεν ὁ Φιλίσκος, ὅπως πολεμοίη μετὰ Λακεδαιμονίων.*

28 *Τούτων δὲ πραττομένων, ἀφικνεῖται καὶ ἡ παρὰ*
367. *Διονυσίου δευτέρα βοήθεια. Λεγόντων δὲ Ἀθηναίων μέν, ὡς χρεὼν εἴη αὐτοὺς ἰέναι εἰς Θετταλίαν τἀναντία Θηβαίοις, Λακεδαιμονίων δέ, ὡς εἰς τὴν Λακωνικήν, ταῦτα ἐν τοῖς συμμάχοις ἐνίκησεν. Ἐπεὶ δὲ περιέπλευσαν οἱ παρὰ Διονυσίου εἰς Λακεδαίμονα, λαβὼν αὐτοὺς Ἀρχίδαμος μετὰ τῶν πολιτικῶν ἐστρατεύετο. Καὶ Καρύας μὲν αἱρεῖ κατὰ κράτος καὶ ὅσους ζῶντας ἔλαβεν ἀπέσφαξεν· ἐκεῖθεν δὲ εὐθὺς στρατευσάμενος εἰς*

§. 27. *μέγα ἐφ' ἑαυτοῖς* D. V. Dind. pro *ἐφ' ἑαυτοῖς μέγα.* — *ἀνεκοινώσαντο* Dind., *ἐνεκοιν.* D. V. pro *ἐκοινώσαντο.* — F. om. *ἡ* ante *εἰρήνη.*

§. 28. *μὲν* post *Ἀθηναίων* ponunt I. Steph. Dind., post *χρεὼν* ceteri. — *ἰένοι* addunt V. Dind. — D. om. *ὡς* ante *εἰς τὴν.* — Ante *Ἀρχιδ.* D. Dind. om. *ὁ.* — *αἱρεῖ* D., *ἐξαιρεῖ* ceteri. — *Παρρασίους* Clin-

§. 27. *Ἀριοβαρζάνους*] De quo v. ad V, 1, 28.

*συνήγαγε*] Hoc ius convocandi cum auctoritate suadendae tuendaeque pacis habuit rex Persiae per foedus illud nobile, de quo supra V, 1, 28. Morus.

*Μεσσήνην*] Messenen regionem et novam ab Epaminonda conditam urbem intelligi patet. Hanc post primam in Laconicam expeditionem Epaminondas praesidio firmatam, veluti liberam, conquisitis undique Messeniis civibus, restituit, narrantibus Diod. XVI, 66. Paus. IV, 26. Schneider.

*ξενικὸν πολύ*] V. Diodor. XV, 70: *ὁ μὲν Φιλίσκος καταλιπὼν τοῖς Λακεδαιμονίοις δισχιλίους ἐπιλέκτους μισθοφόρους, ἔχοντας τοὺς μισθούς, ἀπῆλθεν εἰς τὴν Ἀσίαν.*

§. 28. *αὐτούς*] referendum ad *βοήθεια*, de qua synesi v. ad I, 4, 12. 5, 19.

*εἰς Θετταλίαν*] Thebanorum opes potissimum in Thessalia creverant, postquam Thessali contra Alexandrum Pheraeum auxilio eos vocaverat. Diod. XV, 67. 71. Plut. Pelop. XXVI. sqq. Morus.

*εἰς τὴν Λακωνικήν*] in quam irruptionem fecerant Arcades §. 25.

*Καρύας*] Cf. VI, 5, 25. 27.

*Παῤῥασίους τῆς Ἀρκαδίας μετ᾿ αὐτῶν ἐδῄου τὴν χώ-*
*ραν. Ἐπεὶ δ᾿ ἐβοήθησαν οἱ Ἀρκάδες καὶ οἱ Ἀργεῖοι,*
*ἐπαναχωρήσας ἐστρατοπεδεύσατο ἐν τοῖς ὑπὲρ Μηδέας*
*γηλόφοις. Ἐνταῦθα δ᾿ ὄντος αὐτοῦ Κισσίδας ὁ ἄρ-*
*χων τῆς παρὰ Διονυσίου βοηθείας ἔλεγεν, ὅτι ἐξήκοι*
*αὐτῷ ὁ χρόνος, ὃς εἰρημένος ἦν παραμένειν. Καὶ ἅμα*
*ταῦτ᾿ ἔλεγε καὶ ἀπῄει τὴν ἐπὶ Σπάρτης. Ἐπεὶ δὲ ἀπο-* 29
*πορευόμενον ὑπετέμνοντο αὐτὸν οἱ Μεσσήνιοι ἐπὶ στε-*
*νὸν τῆς ὁδοῦ, ἐνταῦθα δὴ ἔπεμπεν ἐπὶ τὸν Ἀρχίδαμον*
*καὶ βοηθεῖν ἐκέλευε· κἀκεῖνος μέντοι ἐβοήθει. Ὡς δ᾿*
*ἐγένοντο ἐν τῇ ἐπ᾿ Εὐτρησίους ἐκτροπῇ, οἱ μὲν Ἀρκά-*
*δες καὶ Ἀργεῖοι προςέβαινον εἰς τὴν Λάκαιναν, καὶ οὗ-*
*τοι ὡς ἀποκλείσοντες αὐτὸν τῆς ἐπ᾿ οἶκον ὁδοῦ. Ὁ δέ,*
*οὗπέρ ἐστι χωρίον ἐπίπεδον ἐν ταῖς συμβολαῖς τῆς τε*
*ἐπ᾿ Εὐτρησίων καὶ τῆς ἐπὶ Μηδέας ὁδοῦ, ἐνταῦθα ἐκ-*
*βὰς παρετάξατο ὡς μαχούμενος. Ἔφασαν δ᾿ αὐτὸν καὶ* 30
*πρὸ τῶν λόχων παριόντα τοιάδε παρακελεύσασθαι. Ἄν-*
*δρες πολῖται, νῦν ἀγαθοὶ γενόμενοι ἀναβλέψωμεν ὀρ-*

ton. Dind. pro vulg. *Παρρασίας*, alii vel *Παρουσίας* vel *Παρρησίας*. — F. *ἐδῄουν* et *ἐστρατοπεδεύσαντο*; D. *ἐστρατεύσατο*. — *ὑπὲρ Μηδέας* Dind. pro *ἐπὶ Μιδέας*; C. D. E. F. V. hic *ὑπὸ Μηδέας*, §. 29 *ἐπὶ Μηδέας*. — *εἰρημένος ἦν* D. E. F. V. Dind. pro *ἦν εἰρημ.*, C. om. *ἦν*.

§. 29. Ante Schneid. edebatur *ἀπετέμνοντο*, quod ex libris solus A. habet. — *Εὐτρησίους* D. E. F. V. Leoncl. Steph. Wells. Schneid. edd. sqq., ceteri *Εὐκτρησίους*. — Ante *Ἀργεῖοι* omisi *οἱ* cum C. D. E. F. I. — *οὗπερ* Leoncl. Schneid. edd. sqq. pro *ὅπερ*. — F. *ἐμβὰς* pro *ἐκβὰς*.

§. 30. F. *τοιαῦτα* pro *τοιάδε*.

*μετ᾿ αὐτῶν*] h. e. *μετὰ τῶν παρὰ Διονυσίου*.

*Μηδέας*] locus aliunde non notus.

*ἐξήκοι*] praeteriisse, ut VII, 5, 18. Anab. VI, 3, 26.

*ὃς εἰρημένος ἦν παραμένειν*] quo adesse (Lacedaemoniis) iussus fuisset. Cf. Cyrop. VI, 2, 38: *τῶν μὲν προειρημένων ἡμερῶν τὰ ἐπιτήδεια ἔχειν*, h. e. intra dies, quorum habere necessaria praefinitum est.

*καὶ ἅμα — καί*] V. Buttm. §. 150. 27.

§. 29. *ὑπετέμνοντο*] Idem verbum I, 6, 15. Cyrop. I, 4, 19. 21. De vi imperfecti v. ad III, 5, 18.

*ἐπὶ στενόν*] Reiskius interpretatur: „eum ita intercipiebant, ut in angustias compulsus nesciret, quo se verteret." Non dissimile est *ἑάλωσαν εἰς Ἀθήνας* I, 1, 23.

*οἱ μὲν Ἀρκάδες καὶ Ἀργεῖοι*] Cf. §. 44: *πρὸς τοὺς Ἀργείους καὶ Ἀρκάδας* et VII, 2, 5: *τῶν Ἀρκάδων καὶ Ἠλείων*.

*εἰς τὴν Λάκαιναν*] versus Laconicam.

*καὶ οὗτοι*] Nam idem volebant Messenii.

*αὐτὸν*] Archidamum.

*ἐκβάς*] ex angustiis.

θοῖς ὄμμασιν· ἀποδῶμεν τοῖς ἐπιγιγνομένοις τὴν πα-
τρίδα οἵανπερ παρὰ τῶν πατέρων παρελάβομεν· παυ-
σώμεθα αἰσχυνόμενοι καὶ παῖδας καὶ γυναῖκας καὶ πρε-
σβυτέρους καὶ ξένους, ἐν οἷς πρόσθεν γε πάντων τῶν
31 Ἑλλήνων περιβλεπτότατοι ἦμεν. Τούτων δὲ ῥηθέντων
ἐξ αἰθρίας ἀστραπάς τε καὶ βροντὰς λέγουσιν αἰσίους
αὐτῷ φανῆναι· συνέβη δὲ καὶ πρὸς τῷ δεξιῷ κέρατι τέ-
μενός τι καὶ ἄγαλμα Ἡρακλέους [, οὗ δὴ καὶ ἀπόγονος
λέγεται,] εἶναι. Τοιγαροῦν ἐκ τούτων πάντων οὕτω
πολὺ μένος καὶ θάρσος τοῖς στρατιώταις φασὶν ἐμπε-
σεῖν, ὥςτε ἔργον εἶναι τοῖς ἡγεμόσιν ἀνείργειν τοὺς
στρατιώτας ὠθουμένους εἰς τὸ πρόσθεν. Ἐπεὶ μέντοι
ἡγεῖτο ὁ Ἀρχίδαμος, ὀλίγοι μὲν τῶν πολεμίων δεξάμε-
νοι εἰς δόρυ αὐτοὺς ἀπέθανον· οἱ δ' ἄλλοι φεύγοντες
ἔπιπτον, πολλοὶ μὲν ὑπὸ ἱππέων, πολλοὶ δὲ ὑπὸ τῶν
32 Κελτῶν. Ὡς δὲ ληξάσης τῆς μάχης τρόπαιον ἐστήσατο,
εὐθὺς ἔπεμψεν οἴκαδε ἀγγελοῦντα Δημοτέλη τὸν κή-
ρυκα τῆς τε νίκης τὸ μέγεθος καὶ ὅτι Λακεδαιμονίων
μὲν οὐδὲ εἷς τεθναίη, τῶν δὲ πολεμίων παμπληθεῖς.
Τοὺς μέντοι ἐν Σπάρτῃ ἔφασαν ἀκούσαντας ἀρξαμέ-
νους ἀπὸ Ἀγησιλάου καὶ τῶν γερόντων καὶ τῶν ἐφό-
ρων πάντας κλαίειν· οὕτω κοινόν τι ἄρα χαρᾷ καὶ λύ-

§. 31. *τέμενός τι καὶ* D. Dind. pro *τέμ. τε καὶ.* — Dind. *θάρρος.* — *εἰς δόρυ αὐτοὺς* C. D. E. F. V. Dind. pro *αὐτοὺς εἰς δόρυ.*

§. 32. V. *Ὡς δὴ ληξ.* — Dind. *Δημοτέλην.* — Ante *νίκης* Koeppen. *τε* delere, Leoncl. Wolf. *τῆςδε* scribere volebant, quod fecit Schneid. — *ὅτι* inserunt Steph. Dind. — *οὐδὲ εἷς* B. C. D. E. F. V. Schneid. Dind. pro *οὐδεὶς.* — Dind. *κλάειν.* — *τι* post *πολύ* addunt B. D. E. V. Schneid. Dind. — Ante *Θηβαῖοι* om. *οἱ* B. D. I. V. Dind.

§. 30 *ἔφασαν*] V. ad III, 5, 21.

§. 31. [*οὗ δὴ καὶ ἀπόγονος λέγεται*]] Haec pro spuriis merito habet Cobetus. Nam non solus Archidamus, sed omnes reges Spartani ab Hercule originem ducebant. Praeterea hoc emblemate verbum *εἶναι* ab iis, ad quae pertinet, plus aequo separatur.

*δεξάμενοι εἰς δόρυ*] ad telorum usque ictum eos excipientes. Cf. ad IV, 3, 17.

*τῶν Κελτῶν*] V. §. 20.

§. 32. *Δημοτέλη*] De hac forma v. ad IV, 4, 9; 8, 13.

*νίκης τὸ μέγεθος*] Diod. XV, 72: *μετὰ γὰρ τὴν ἐν Λεύκτροις ἧτταν ἓν τοῦτο πρῶτον αὐτοῖς παράδοξον εὐτύχημα ἐγένετο. Ἔπεσον γὰρ Ἀρκάδων μὲν ὑπὲρ τοὺς μυρίους, Λακεδαιμονίων δὲ οὐδείς. Προεῖπον δ' αὐτοῖς αἱ Δωδονίας ἱέρειαι, διότι πόλεμος οὗτος Λακεδαιμονίοις ἄδακρυς ἔσται.* Plutarch. Ages. XXXIII, 2.

*ἀρξαμένους ἀπὸ Ἀγησιλάου*] initio ab Agesilao facto. Cf. V, 2, 6.

πῃ δάκρυά ἐστιν. Ἐπὶ μέντοι τῇ τῶν Ἀρκάδων τύχῃ οὐ πολύ τι ἧττον Λακεδαιμονίων ἥσθησαν Θηβαῖοί τε καὶ Ἠλεῖοι· οὕτως ἤδη ἤχθοντο ἐπὶ τῷ φρονήματι αὐτῶν.

Συνεχῶς δὲ βουλευόμενοι Θηβαῖοι, ὅπως ἂν τὴν 33
ἡγεμονίαν λάβοιεν τῆς Ἑλλάδος, ἐνόμισαν, εἰ πέμψειαν πρὸς τὸν Περσῶν βασιλέα, πλεονεκτῆσαι ἄν τι ἐν ἐκείνῳ. Καὶ ἐκ τούτου παρακαλέσαντες ἤδη τοὺς συμμάχους ἐπὶ προφάσει, ὅτι καὶ Εὐθυκλῆς ὁ Λακεδαιμόνιος εἴη παρὰ βασιλεῖ, ἀναβαίνουσι Θηβαίων μὲν Πελοπίδας, Ἀρκάδων δὲ Ἀντίοχος ὁ παγκρατιαστής, Ἠλείων δὲ Ἀρχίδαμος· ἠκολούθει δὲ καὶ Ἀργεῖος. Καὶ οἱ Ἀθηναῖοι ἀκούσαντες ταῦτα ἀνέπεμψαν Τιμαγόραν τε καὶ Λέοντα. Ἐπεὶ δ' ἐκεῖ ἐγένοντο, πολὺ ἐπλεονέκτει ὁ Πε- 34
λοπίδας παρὰ τῷ Πέρσῃ. Εἶχε γὰρ λέγειν, καὶ ὅτι μόνοι τῶν Ἑλλήνων βασιλεῖ συνεμάχοντο ἐν Πλαταιαῖς, καὶ ὅτι ὕστερον οὐδεπώποτε στρατεύσαιντο ἐπὶ βασιλέα, καὶ ὡς Λακεδαιμόνιοι διὰ τοῦτο πολεμήσειαν αὐτοῖς, ὅτι οὐκ ἐθελήσαιεν μετ' Ἀγησιλάου ἐλθεῖν ἐπ' αὐτόν, οὐδὲ θῦσαι ἐάσαιεν αὐτὸν ἐν Αὐλίδι τῇ Ἀρτέμιδι, ἔνθαπερ, ὅτε Ἀγαμέμνων εἰς τὴν Ἀσίαν ἐξέπλει, θύσας εἷλε Τροίαν. Μέγα δὲ συνεβάλλετο τῷ Πελο- 35
πίδᾳ εἰς τὸ τιμᾶσθαι, καὶ ὅτι ἐνενικήκεσαν οἱ Θηβαῖοι

§. 33. Ante Θηβαῖοι om. οἱ B. D. I. Dind. — F. τὸν τῶν Περσ. — ἐν ἐκείνῳ B. D. I. V. Dind., παρ' ἐκείνῳ Schneid. pro ἐκείνῳ; marg. Bryl. δι' ἐκεῖνον. — B. marg. Leoncl. ἠβουλήθη pro ἠκολούθει. — Post Ἀθηναῖοι om. δὲ B. D. I. V. Dind. — ἀνέπεμψαν B. D. V. marg. Leoncl. Schneid. Dind. pro ἀντέπ.

§. 34. οὐδεπώποτε B. D. V. Brunck. Schneid. pro οὐδέποτε. — V. ἔπλει pro ἐξέπλει. — Ante Τροίαν om. τὴν B. D. I. Dind.

οὐ πολύ τι] V. ad III, 2, 1.

§. 33. ἐν ἐκείνῳ] Morus et Schneider. praeferunt παρ' ἐκείνῳ cl. §. 34. At recte habet ἐν. Sensus est: sperabant, se in illo adminiculum esse habituros.

Ἀργεῖος] Eleus idem videtur esse, qui commemoratur VII, 4, 15.

§. 34. Πελοπίδας] Plura v. apud Plut. Pelop. XXX.

μόνοι] Thebanos, cives suos, dicit.

θῦσαι — ἐν Αὐλίδι] V. III, 4, 3. sqq.

ὅτε Ἀγαμέμνων] Exspectamus cum Cobeto Ἀγαμέμνων ὅτε.

§. 35. εἰς τὸ τιμᾶσθαι] De summis honoribus, quibus ornabatur apud regem Epaminondas cf. Plut. Pelop. XXX. Ibidem de donis, quae accepit Timagoras.

*μάχῃ ἐν Λεύκτροις, καὶ ὅτι πεπορθηκότες τὴν χώραν τῶν Λακεδαιμονίων ἐφαίνοντο. Ἔλεγε δὲ ὁ Πελοπίδας, ὅτι οἱ Ἀργεῖοι καὶ οἱ Ἀρκάδες μάχῃ ἡττημένοι εἶεν ὑπὸ Λακεδαιμονίων, ἐπεὶ αὐτοὶ οὐ παρεγένοντο. Συνεμαρτύρει δ᾽ αὐτῷ ταῦτα πάντα ὡς ἀληθῆ λέγοι ὁ Ἀθηναῖος Τιμαγόρας, καὶ ἐτιμᾶτο δεύτερος μετὰ τὸν Πελο-*
36 *πίδαν. Ἐκ δὲ τούτου ἐρωτώμενος ὑπὸ βασιλέως ὁ Πελοπίδας, τί βούλοιτο ἑαυτῷ γραφῆναι, εἶπεν, ὅτι Μεσσήνην τε αὐτόνομον εἶναι ἀπὸ Λακεδαιμονίων καὶ Ἀθηναίους ἀνέλκειν τὰς ναῦς· εἰ δὲ ταῦτα μὴ πείθοιντο, στρατεύειν ἐπ᾽ αὐτούς· εἴ τις δὲ πόλις μὴ ἐθέλοι ἀκο-*
37 *λουθεῖν, ἐπὶ ταύτην πρῶτον ἰέναι. Γραφέντων δὲ τούτων καὶ ἀναγνωσθέντων τοῖς πρέσβεσιν, εἶπεν ὁ Λέων ἀκούοντος τοῦ βασιλέως, Νὴ Δία, ὦ Ἀθηναῖοι, ὥρα γε ὑμῖν, ὡς ἔοικεν, ἄλλον τινὰ φίλον ἀντὶ βασιλέως ζητεῖν. Ἐπεὶ δὲ ἀπήγγειλεν ὁ γραμματεὺς ἃ εἶπεν ὁ Ἀθηναῖος, πάλιν ἐξήνεγκε προςγεγραμμένα· εἰ δέ τι δικαιότερον τούτων γιγνώσκουσιν οἱ Ἀθηναῖοι, ἰόντας πρὸς βασι-*
38 *λέα διδάσκειν. Ἐπεὶ δὲ ἀφίκοντο οἱ πρέσβεις οἴκαδε ἕκαστοι, τὸν μὲν Τιμαγόραν ἀπέκτειναν οἱ Ἀθηναῖοι, κατηγοροῦντος τοῦ Λέοντος, ὡς οὔτε συσκηνοῦν ἑαυτῷ ἐθέλοι μετά τε Πελοπίδου πάντα βουλεύοιτο. Τῶν δὲ ἄλλων πρέσβεων ὁ μὲν Ἠλεῖος Ἀρχίδαμος, ὅτι προυτίμησε τὴν Ἦλιν πρὸ τῶν Ἀρκάδων, ἐπῄνει τὰ τοῦ βασι-*

§. 35. *οἱ Ἀργ. καὶ οἱ Ἀρκ.* V. Dind. pro *Ἀργ. καὶ Ἀρκ.*, D. C. D. E. F. I. *Ἀργ. κ. οἱ Ἀρκ.* — *λέγοι* B. C. D. V. Schneid. Dind. pro *λέγει.* — *Ἀθην. Τιμ.* B. C. D. E. F. V. Dind. pro *Τιμ. Ἀθην.* — *δεύτερος* B. D. F. V. Dind. pro *δεύτερα*; margg. Steph. et Leoncl. *δευτέρως.*
§. 36. V. *πρώτην* pro *πρῶτον.*
§. 37. Dind. om. *τοῦ* ante *βασιλέως.* — D. *Δία γε, ὦ.*
§. 38. *οἴκαδε ἕκαστοι* et *ἑαυτῷ ἐθέλοι* B. D. E. F. V. Dind. pro *ἕκ. οἴκ.* et *ἐθ. ἑαυτῷ.* — F. *Πελοπίδα.* — Dind. *τὰ βασιλέως.* — Post

§. 36. *ἑαυτῷ γραφῆναι*] V. ad VI, 3, 12. *ἑαυτῷ* pertinet ad Pelopidam.

*εἶπεν, ὅτι*] scil. *βούλοιτο γραφῆναι*, unde pendent sequentes infinitivi. Cf. ad III, 2, 20.

§. 37. *ἀπήγγειλεν*] interpretatus est.

*ἐξήνεγκε*] ex scribarum, ut videtur, cubiculo, ut publice legerentur legatis.

*προςγεγραμμένα*] subiuncta iis, quae antea erant perscripta. Inde intelligitur, quid sibi velit part. *δέ* in verbis subsequentibus.

§. 38. *Τιμαγόραν ἀπέκτειναν*] Cf. Demosth. De fals. leg. 137. Plut. Artax. XXII. Pelop. XXX.

*προυτίμησε*] rex Persarum.

λέως, ὁ δὲ Ἀντίοχος, ὅτι ἠλαττοῦτο τὸ Ἀρκαδικόν, οὔτε τὰ δῶρα ἐδέξατο ἀπήγγειλέ τε πρὸς τοὺς μυρίους, ὅτι βασιλεὺς ἀρτοκόπους μὲν καὶ ὀψοποιοὺς καὶ οἰνοχόους καὶ θυρωροὺς παμπληθεῖς ἔχοι, ἄνδρας δέ, οἳ μάχοιντ' ἂν Ἕλλησι, πάνυ ζητῶν οὐκ ἔφη δύνασθαι ἰδεῖν. Πρὸς δὲ τούτοις καὶ τὸ τῶν χρημάτων πλῆθος ἀλαζονείαν οἶ γε δοκεῖν ἔφη εἶναι, ἐπεὶ καὶ τὴν ὑμνουμένην ἂν χρυσῆν πλάτανον οὐχ ἱκανὴν ἔφη εἶναι τέττιγι σκιὰν παρέχειν.

39 Ὡς δὲ οἱ Θηβαῖοι συνεκάλεσαν ἀπὸ τῶν πόλεων ἁπασῶν ἀκουσομένους τῆς παρὰ βασιλέως ἐπιστολῆς, καὶ ὁ Πέρσης ὁ φέρων τὰ γράμματα δείξας τὴν βασιλέως σφραγῖδα ἀνέγνω τὰ γεγραμμένα, οἱ μὲν Θηβαῖοι ὀμνύναι ταῦτα ἐκέλευον βασιλεῖ καὶ ἑαυτοῖς τοὺς βουλομένους φίλους εἶναι, οἱ δὲ ἀπὸ τῶν πόλεων ἀπεκρίναντο, ὅτι οὐκ ὀμούμενοι, ἀλλ' ἀκουσόμενοι πεμφθείησαν· εἰ δέ τι ὅρκων δέοιντο, πρὸς τὰς πόλεις πέμπειν ἐκέλευον. Ὁ μέντοι Ἀρκὰς Λυκομήδης καὶ τοῦτο ἔλεγεν, ὅτι οὐδὲ τὸν σύλλογον ἐν Θήβαις δέοι εἶναι, ἀλλ'

ὁ δ' in B. lacuna est usque ad finem cap. — ἀπήγγειλέ τε C. D. I. Schneid. Dind., ἀπήγγειλε δὲ Cast., καὶ ἀπήγγειλε marg. Leoncl., ἀπήγγειλε ceteri. — V. τοὺς Ἀρκάδας μυρίους. — μὲν post ἀρτοκόπους addunt D. E. F. Schneid. Dind. — Inter οὐκ et ἔφη delevit ἂν Dind. — οἶ γε C. D. F. I. V. Leoncl. Steph., edd. vett. αὐτοῦ γε, quod Mor. et Weisk. mutabant in αὐτῷ γε.

§. 39. συνεκάλεσαν D. E. F. I. V. Schneid. Dind. pro ἐκάλεσαν.

οὔτε — ἐδέξατο] non receperat quae offerebantur.

τοὺς μυρίους] senatum Arcadum ex consilio Lycomedis institutum ἐξ ἀνδρῶν μυρίων, qui de pace et bello decerneret. V. Diod. XV, 59. Demosth. De fals. leg. c. 11. 198. Infra VII, 4, 2. 33. 34. Schneider.

οἶ] accentu notandum esse apparet ex subsequenti part. γε, quod raro fit. Exempla v. in Kruegeri gr. §. 51. I. adn. 4.

ἂν — ἱκανὴν — εἶναι] In recta oratione dicendum erat: ἂν — ἱκανὴ εἴη, ne audacius loqui videretur Antiochus. Usitatior autem verborum collocatio esset: οὐκ ἂν ἱκανὴν ἔφη εἶναι, quae eo consilio a Xenophonte mutata videtur, ut verbum ὑμνουμένην magis efferretur subiuncto ἄν.

§. 39. σφραγῖδα] Cf. I, 4, 3. V, 1, 30.

ὀμνύναι ταῦτα] Excidisse putant κατά. Sed ταῦτα referendum est non ad ipsa τὰ γράμματα, sed ad leges, quae in illis perscriptae sunt. Vertas: *Dieses zu schwören, diesen Schwur zu thun.* V. ad Oecon. XVI, 6. Cf. infra VII, 4, 10: συμμαχίαν ὀμνύναι.

βασιλεῖ καὶ ἑαυτοῖς] Haec ita sunt collocata, ut dativi pariter ad φίλους atque ad ὀμνύναι referri possent.

Λυκομήδης] V. §. 23. sqq.

ἔνθα ἂν ᾖ ὁ πόλεμος. Χαλεπαινόντων δ' αὐτῷ τῶν
Θηβαίων καὶ λεγόντων, ὡς διαφθείροι τὸ συμμαχικόν,
οὐδ' εἰς τὸ συνέδριον ἤθελε καθίζειν, ἀλλ' ἀπιὼν ᾤχε-
40 το, καὶ μετ' αὐτοῦ πάντες οἱ ἐξ Ἀρκαδίας πρέσβεις. Ὡς
δ' ἐν Θήβαις οὐκ ἠθέλησαν οἱ συνελθόντες ὀμόσαι,
ἔπεμπον οἱ Θηβαῖοι πρέσβεις ἐπὶ τὰς πόλεις, ὀμνύναι
κελεύοντες ποιήσειν κατὰ τὰ βασιλέως γράμματα, νο-
μίζοντες ὀκνήσειν μίαν ἑκάστην τῶν πόλεων ἀπεχθάνε-
σθαι ἅμα ἑαυτοῖς τε καὶ βασιλεῖ. Ἐπεὶ μέντοι εἰς Κό-
ρινθον πρῶτον αὐτῶν ἀφικομένων ὑπέστησαν οἱ Κο-
ρίνθιοι καὶ ἀπεκρίναντο, ὅτι οὐδὲν δέοιντο πρὸς βασι-
λέα κοινῶν ὅρκων, ἐπηκολούθησαν καὶ ἄλλαι πόλεις
κατὰ ταὐτὰ ἀποκρινόμενοι. Καὶ αὕτη μὲν ἡ Πελοπί-
δου καὶ τῶν Θηβαίων τῆς ἀρχῆς περιβολὴ οὕτω διε-
λύθη.

41 Αὖθις δ' Ἐπαμεινώνδας, βουληθεὶς τοὺς Ἀχαιοὺς
a. Ch. προςαγαγέσθαι, ὅπως μᾶλλον σφίσι καὶ οἱ Ἀρκάδες καὶ
οἱ ἄλλοι σύμμαχοι προςέχοιεν τὸν νοῦν, ἔγνω ἐκστρα-
τευτέον εἶναι ἐπὶ τὴν Ἀχαΐαν. Πεισίαν οὖν τὸν Ἀρ-
γεῖον στρατηγοῦντα ἐν τῷ Ἄργει πείθει προκαταλαβεῖν

— ἔνθα ἂν ᾖ Steph. Schaef. Dind. pro ἔνθα ᾖ ἂν, I. ἔνθα ᾖ, F. ἔνθα εἰ. — διαφθείροι C. D. E. F. V. Schneid. Dind. pro διαφθείρει.

§. 40. συνελθόντες D. V. Dind. pro συνεληλυθότες. — A. F. edd. ποιῆσαι pro ποιήσειν, quod verbum edd. vett. cum Y. post βασιλέως ponunt. — Post ἄλλαι cum D. V. omisi πολλαί. — κατὰ ταὐτὰ V. Port. Dind. pro κατὰ ταῦτα.

§. 41. Ἐπαμεινώνδας A. C. D. V. Ald. Dind. pro Ἐπαμιν. — προςαγαγέσθαι C. D. E. F. V. Dind., πρὸς ὑπαγαγέσθαι Schneid., προϋπαγαγέσθαι ceteri. — ἔγνω ἐκστρατευτέον Hertlin. Dind. pro ἔγνωκε στρατ. — τὰ ante ἐπιτήδεια addunt D. E. V. Schneid. Dind.

§. 40. *ὑπέστησαν*] obstiterunt.

*κοινῶν ὅρκων*] Non probanda est Hertlinii opinio, qui *καινῶν ὅρκων* aptius dici existimat. Nam non novas, sed omnino quae proponantur a rege conditiones nunc respuunt Corinthii reliquaeque praeter Thebanos graecae civitates. Ceterum non eaedem conditiones sunt §. 36. et V, 1, 31.

*περιβολή*] Supra IV, 8, 18. περιβάλλεσθαι erat: sibi assumere, comparare. In Anab. VI, 3, 3. Cyrop. I, 4, 17. III, 3, 23. est similiter positum. Hinc περιβολή h. l. est conatus, studium imperii acquirendi. Schneider.

§. 41. *προςαγαγέσθαι*] Diod. XV, 75: τοὺς Ἀχαιοὺς καί τινας ἄλλας πόλεις προςήγαγε.

*σφίσι*] Thebanis. V. ad αὐτῶν IV, 8, 24.

τὸ Ὄνειον. Καὶ ὁ Πεισίας μέντοι καταμαθὼν ἀμελουμένην τὴν τοῦ Ὀνείου φυλακὴν ὑπό τε Ναυκλέους, ὅς ἦρχε τοῦ ξενικοῦ τῶν Λακεδαιμονίων, καὶ ὑπὸ Τιμομάχου τοῦ Ἀθηναίου, καταλαμβάνει νύκτωρ μετὰ διςχιλίων ὁπλιτῶν τὸν ὑπὲρ Κεγχρειῶν λόφον, ἔχων ἑπτὰ ἡμερῶν τὰ ἐπιτήδεια. Ἐν δὲ ταύταις ταῖς ἡμέραις ἐλ- 42
θόντες οἱ Θηβαῖοι ὑπερβαίνουσι τὸ Ὄνειον, καὶ στρατεύουσι πάντες οἱ σύμμαχοι ἐπ' Ἀχαΐαν, ἡγουμένου Ἐπαμεινώνδου. Προςπεσόντων δ' αὐτῷ τῶν βελτίστων ἐκ τῆς Ἀχαΐας, ἐνδυναστεύει ὁ Ἐπαμεινώνδας, ὥςτε μὴ φυγαδεῦσαι τοὺς κρατίστους, μηδὲ πολιτείαν μεταστῆσαι, ἀλλὰ πιστὰ λαβὼν παρὰ τῶν Ἀχαιῶν ἦ μὴν συμμάχους ἔσεσθαι καὶ ἀκολουθήσειν ὅποι ἂν Θηβαῖοι ἡγῶνται, οὕτως ἀπῆλθεν οἴκαδε. Κατηγορούντων δὲ 43
αὐτοῦ τῶν τε Ἀρκάδων καὶ τῶν ἀντιστασιωτῶν, ὡς Λακεδαιμονίοις κατεσκευακὼς τὴν Ἀχαΐαν ἀπέλθοι, ἔδοξε Θηβαίοις πέμψαι ἁρμοστὰς εἰς τὰς Ἀχαΐδας πόλεις. Οἱ δ' ἐλθόντες τοὺς μὲν βελτίστους σὺν τῷ πλήθει ἐξέβαλον, δημοκρατίας δὲ ἐν τῇ Ἀχαΐᾳ κατέστησαν. Οἱ μέντοι ἐκπεσόντες συστάντες ταχύ, ἐπὶ μίαν ἑκάστην τῶν πόλεων πορευόμενοι, ὄντες οὐκ ὀλίγοι, κατῆλθόν τε καὶ κατέσχον τὰς πόλεις. Ἐπεὶ δὲ κατελθόντες οὐκέτι ἐμέσευον, ἀλλὰ προθύμως συνεμάχουν τοῖς Λακεδαιμονίοις, ἐπιέζοντο οἱ Ἀρκάδες ἔνθεν μὲν

§. 42. Edd. vett. ταύταις οἱ Θηβ. ταῖς ἡμέραις ἐλθόντες. — A. Ἀχαιοὺς pro Ἀχαΐαν. — Ἐπαμειν. Dind. cum libris pro Ἐπαμιν. — μηδὲ Dind. pro μήτε. — λαβὼν D. I. V. Schneid. Dind. pro λαβεῖν. — ὅποι C. D. E. F. V. Dind. pro ὅπῃ. — Ante οὕτως om. καὶ D. F. I. Schneid. Dind. — ἀπῆλθεν D. Schneid. Dind. pro ἀπῆλθον.

§. 43. αὐτοῦ V. Bryl. Cast. edd. sqq., αὐτῶν ceteri. — ἀντιστασιωτῶν C. D. E. F. I. V. Leoncl. Steph. Wells. Dind. pro στασιωτῶν. — ἐπιέζοντο οἱ Dind., ἐπιέζ. γὰρ οἱ D. V., ἐπιέζ. μὲν οἱ E., ἐπιέζ. μὲν οὖν οἱ marg. Leoncl., ἐπιέζ. μὲν γὰρ οἱ ceteri.

§. 42. **προςπεσόντων δ' αὐτῷ**] quum eum supplices rogarent.

**ἐνδυναστεύει**] auctoritate et opibus suis perficit.

**τοὺς κρατίστους**] idem quod antea *τῶν βελτίστων*. Cf. ad II, 3, 32. Utrumque iuxta ponitur VII, 3, 4: *τῶν βελτίστων — τοὺς κρατίστους*.

**ἦ μήν**] V. ad III, 4, 5.

§. 43. **τῶν ἀντιστασιωτῶν**] Hi sunt qui ex Achaeis adversarii erant Epaminondae. Optimatibus, qui a parte Spartanorum stabant, nimis favisse videbatur, quum res Achaeorum firmaret.

**σὺν τῷ πλήθει**] adiuvante plebe.

44 ὑπὸ Λακεδαιμονίων, ἔνθεν δὲ ὑπὸ Ἀχαιῶν. Ἐν δὲ τῷ Σικυῶνι τὸ μὲν μέχρι τούτου κατὰ τοὺς ἀρχαίους νόμους ἡ πολιτεία ἦν. Ἐκ δὲ τούτου βουλόμενος ὁ Εὔφρων, ὥςπερ παρὰ τοῖς Λακεδαιμονίοις μέγιστος ἦν τῶν πολιτῶν, οὕτω καὶ παρὰ τοῖς ἐναντίοις αὐτῶν πρωτεύειν, λέγει πρὸς τοὺς Ἀργείους καὶ πρὸς Ἀρκάδας, ὡς, εἰ μὲν οἱ πλουσιώτατοι ἐγκρατεῖς ἔσοιντο τοῦ Σικυῶνος, σαφῶς, ὅταν τύχῃ, πάλιν λακωνιεῖ ἡ πόλις· ἐὰν δὲ δημοκρατία γένηται, εὖ ἴστε, ὅτι διαμενεῖ ὑμῖν ἡ πόλις. Ἐὰν οὖν μοι παραγένησθε, ἐγὼ ἔσομαι ὁ συγκαλῶν τὸν δῆμον καὶ ἅμα ἐγὼ ὑμῖν ταύτην πίστιν ἐμαυτοῦ δώσω καὶ τὴν πόλιν βέβαιον ἐν τῇ συμμαχίᾳ παρέξω. Ταῦτα δ', ἔφη, ἐγὼ πράττω εὖ ἴστε ὅτι πάλαι μὲν χαλεπῶς φέρων, ὥςπερ ὑμεῖς, τὸ φρόνημα τῶν Λακεδαιμονίων, ἄσμενος δ' ἂν τὴν δουλείαν ἀποφυγών.
45 Οἱ οὖν Ἀρκάδες καὶ οἱ Ἀργεῖοι ἡδέως ταῦτ' ἀκούσαντες παρεγένοντο αὐτῷ. Ὁ δ' εὐθὺς ἐν τῇ ἀγορᾷ παρόντων τῶν Ἀργείων καὶ τῶν Ἀρκάδων συνεκάλει τὸν δῆμον, ὡς τῆς πολιτείας ἐσομένης ἐν τοῖς ἴσοις καὶ ὁμοίοις. Ἐπεὶ δὲ συνῆλθον, στρατηγοὺς ἐκέλευσεν ἑλέσθαι οὕςτινας αὐτοῖς δοκοίη· οἱ δ' αἱροῦνται αὐτόν τε τὸν Εὔφρονα καὶ Ἱππόδαμον καὶ Κλέανδρον καὶ Ἀκρίσιον καὶ

§. 44. ἀρχαίους D. E. V. Dind., Ἀχαιοὺς C. F., ceteri Ἀχαιῶν. — μέγιστος ἦν D. F. V. Dind. pro ἦν μέγ. — A. C. E. F. edd. vett. πρεσβεύειν pro πρωτεύειν. — καὶ πρὸς Ἀρκ. D., καὶ πρὸς τοὺς Ἀρκ. C. E. F. I., καὶ τοὺς Ἀρκ. ceteri. — Ante ἐγκρατεῖς om. σαφῶς D. E. F. V. Schneid. Dind. — σαφῶς C. D. E. F. Schneid. Dind. pro ἀτεχνῶς. — Post ἴστε cum D. omisi ἔφη. — Post ταύτην om. τὴν D. V. Dind. — δώσω D. E. F. I. V. margg. Leoncl. et Steph. Wells. Schn. Dind., σώσω ceteri.

§. 45. Schneid. Οἱ μὲν οὖν. — ἀκούσαντες C. D. E. I. V. Dind. pro ἀκούοντες. — αἱροῦνται C. D. F. V. Dind. pro ᾑροῦντο.

§. 44. *Σικυῶνι*] quae urbs Thebanis tum parebat. V. ad §. 18.

*μέγιστος*] VII, 3, 7 φιλαίτατος Λακεδαιμονίοις dici monet Schneider.

*πρὸς τοὺς Ἀργείους καὶ πρὸς Ἀρκ.*] De non iterato articulo v. ad §. 29.

*ὅταν τύχῃ*] V. ad IV, 1, 34.

*ἐὰν δὲ — γένηται, εὐ ἴστε*] Transitur ad rectam orationem. V. ad §. 24.

*ταύτην*] Noli addere articulum. V. ad V, 2, 17. 3, 10. Obiectum verbi est ταύτην, cui per appositionem subiungitur πίστιν.

*ἂν — ἀποφυγών*] In enuntiatione per se constanti dicendum erat ἂν — ἀποφύγοιμι.

§ 45. *ὡς — ἐσομένης*] V. ad III, 4, 1. 23.

*Λύσανδρον. Ὡς δὲ ταῦτα ἐπέπρακτο, καὶ ἐπὶ τὸ ξενι-*
*κὸν καθίστησιν Ἀδέαν τὸν αὑτοῦ υἱόν, Λυσιμένην τὸν*
*πρόσθεν ἄρχοντα ἀποστήσας. Καὶ εὐθὺς μὲν τούτων* 46
*τῶν ξένων ὁ Εὔφρων πιστούς τινας εὖ ποιῶν ἐποιή-*
*σατο καὶ ἄλλους προςελάμβανεν οὔτε τῶν δημοσίων*
*οὔτε τῶν ἱερῶν χρημάτων φειδόμενος. Καὶ ὅσους δ'*
*ἐξέβαλεν ἐπὶ λακωνισμῷ, καὶ τοῖς τούτων χρήμασιν*
*ἐχρῆτο. Καὶ τῶν συναρχόντων δὲ τοὺς μὲν δόλῳ ἀπέ-*
*κτεινε, τοὺς δὲ ἐξέβαλεν· ὥςτε πάντα ὑφ' ἑαυτῷ ἐποιή-*
*σατο καὶ σαφῶς τύραννος ἦν. Ὅπως δὲ ταῦτα ἐπιτρέ-*
*ποιεν αὐτῷ οἱ σύμμαχοι, τὰ μέν τι καὶ χρήμασι διεπράτ-*
*τετο, τὰ δὲ καί, εἴ ποι στρατεύοιντο, προθύμως ἔχων*
*τὸ ξενικὸν συνηκολούθει.*

---

## CAPUT II.

### ARGUMENTUM.

Phliasii ab Argivis et Sicyonis commeatu privati firmam cum Lacedaemoniis amicitiam tuebantur. Huius fidei et fortitudinis plura documenta etiam e superioribus annis proferuntur, in quibus illud, quod quum exsules ab Eleorum Arcadumque manu adiuti dolo in urbem irruissent et captam iam tenerent acropolin, eos inde effugere et partim e muris desilire coegerunt.

---

*Οὕτω δὲ τούτων προκεχωρηκότων, καὶ τῶν τε Ἀρ-* 1
*γείων ἐπιτετειχικότων τῷ Φλιοῦντι τὸ ὑπὲρ τοῦ Ἡραί-*

§. 46. Ald. om. *καὶ* ante *ἄλλους*. — C. E. *ἐξέβαλλεν*. — *μέν τι* Schaef. Dind. pro *μέντοι*. — *χρήμασι* C. D. E. F. Leoncl. Steph. edd. sqq. (praeter Weisk.) pro *χρήσιμα*. — *ποι* Dind. pro *που*.

Cap. II. §. 1. *τῷ Φλιοῦντι* Dind. pro *ἐν τῷ Φλ.* — *Τρικάρανον*

§. 46. *ἐποιήσατο*] iungendum cum *πιστούς*, et *εὖ ποιῶν* cum *τινας*.

*ὑφ' ἑαυτῷ ἐποιήσατο*] V. ad V, 4, 64.

*ὅπως — ἐπιτρέποιεν*] Haec scribens Xenophon enuntiationis primariae minus priorem (*διεπράττετο*) quam posteriorem partem (*ἔχων — συνηκολούθει*) in animo habebat. Nam *διαπράττεσθαι* iungi solet non cum *ὅπως*, sed cum *ὥςτε* vel cum mero infinitivo.

*τὰ μέν τι καὶ — τὰ δὲ καί*] partim — partim. *τι* est aliquantum. Cf. Anab. IV, 1, 14: *οὕτως ἐπορεύθησαν τὰ μέν τι μαχόμενοι, τὰ δὲ καὶ ἀναπαυόμενοι*, ubi item varia lectio est *τοι* pro *τι*.

Cap. II. §. 1. *τῷ Φλιοῦντι*]

ου Τρικάρανον, καὶ τῶν Σικυωνίων ἐπὶ τοῖς ὁρίοις αὐ-
τῶν τειχιζόντων τὴν Θυαμίαν, μάλα ἐπιέζοντο οἱ Φλιά-
σιοι καὶ ἐσπάνιζον τῶν ἐπιτηδείων· ὅμως δὲ διεκαρτέ-
ρουν ἐν τῇ συμμαχίᾳ. Ἀλλὰ γὰρ τῶν μὲν μεγάλων πό-
λεων, εἴ τι καλὸν ἔπραξαν, ἅπαντες οἱ συγγραφεῖς μέ-
μνηνται· ἐμοὶ δὲ δοκεῖ, καὶ εἴ τις μικρὰ πόλις οὖσα
πολλὰ καὶ καλὰ ἔργα διαπέπρακται, ἔτι μᾶλλον ἄξιον
2 εἶναι ἀποφαίνειν. Φλιάσιοι τοίνυν φίλοι μὲν ἐγένοντο
a.Ch. Λακεδαιμονίοις, ὅτ' ἐκεῖνοι μέγιστοι ἦσαν· σφαλέντων
δ' αὐτῶν ἐν τῇ ἐν Λεύκτροις μάχῃ, καὶ ἀποστάντων μὲν
πολλῶν περιοίκων, ἀποστάντων δὲ πάντων τῶν εἱλώ-
των, ἔτι δὲ τῶν συμμάχων πλὴν πάνυ ὀλίγων, ἐπιστρα-
τευόντων δ' αὐτοῖς ὡς εἰπεῖν πάντων τῶν Ἑλλήνων,
πιστοὶ διέμειναν καὶ ἔχοντες πολεμίους τοὺς δυνατω-
τάτους τῶν ἐν Πελοποννήσῳ Ἀρκάδας καὶ Ἀργείους
ὅμως ἐβοήθησαν αὐτοῖς καὶ διαβαίνειν τελευταῖοι λα-
χόντες εἰς Πρασιὰς τῶν συμβοηθησάντων, ἦσαν δ' οὗ-
τοι Κορίνθιοι, Ἐπιδαύριοι, Τροιζήνιοι, Ἑρμιονεῖς,
3 Ἁλιεῖς, Σικυώνιοι καὶ Πελληνεῖς, οὐ γάρ πω τότε ἀφέ-
στασαν, ἀλλ' οὐδ' ἐπεὶ ὁ ξεναγὸς τοὺς προδιαβεβῶτας
λαβὼν ἀπολιπὼν αὐτοὺς ᾤχετο, οὐδ' ὣς ἀπεστράφη-

C. D. E. F. I. V. margg. Steph. et Leoncl. edd. sqq., *Τρίκρανον* ceteri. — *ἐσπάνιζον* C. D. E. F. I. V. margg. Steph. et Leoncl. Dind. pro *ἐσπανίζοντο*.

§. 2. *Ἀρκ. καὶ Ἀργ.* C. D. E. F. V. Dind. pro *Ἀργ. καὶ Ἀρκ.* — E. F. *εἰς Πρ. λαχόντες*.

§. 3. *τότε* Hertlin. Dind. pro *ποτε*. — *ἀπεστράφησαν* D. Schneid. Dind. pro *ἐπεστρ.*

Recte deletum est *ἐν*. Nam dativus requirit verbum *ἐπιτειχίζειν*, de quo v. ad III, 2, 1. Infra §. 20.

*τὴν Θυαμίαν*] Locorum situm diligenter notatum videbis in tabula Peloponnesi ab O. Muellero descripta.

*Ἀλλὰ γάρ*] De his particulis, quibus digressio ad res Phliasiorum ante hoc tempus gestas accuratius quam historiae tenor postulabat enarrandas introducitur, v. ad Oecon. I, 16.

§. 2. *ὡς εἰπεῖν πάντων*] fere omnium. V. ad Oecon. XII, 8: *πάντες — ὡς εἰπεῖν ἄνθρωποι.*

*τελευταῖοι λαχόντες*] Sors Phliasiis ita acciderat, ut sociorum ultimi Prasias proficiscerentur. Eo, si voluissent, facilius officium Lacedaemoniis succurrendi subterfugere potuissent. Pertinent haec ad id tempus, quo primam Thebani in Laconicam fecerunt invasionem. V. VI, 5, 29.

§. 3. *οὐ γάρ πω τότε ἀφέστασαν*] id quod postea factum est. V. VII, 1, 18.

*ἀλλ' οὐδ'*] Propter parenthesin, quam efficiunt verba *ἦσαν — ἀφέστασαν*, infertur *ἀλλά*, quasi non *λαχόντες*, sed *ἔλαχον* ante-

σαν, ἀλλ' ἡγεμόνα μισθωσάμενοι ἐκ Πρασιῶν, ὄντων
τῶν πολεμίων περὶ Ἀμύκλας, ὅπως ἐδύναντο διαδύντες
εἰς Σπάρτην ἀφίκοντο. Καὶ μὴν οἱ Λακεδαιμόνιοι ἄλ-
λως τε ἐτίμων αὐτοὺς καὶ βοῦν ξένια ἔπεμψαν. Ἐπεὶ 4
δ' ἀναχωρησάντων τῶν πολεμίων ἐκ τῆς Λακεδαίμονος
οἱ Ἀργεῖοι ὀργιζόμενοι τῇ τῶν Φλιασίων περὶ τοὺς Λα-
κεδαιμονίους προθυμίᾳ ἐνέβαλον πανδημεὶ εἰς* τὸν
Φλιοῦντα καὶ τὴν χώραν αὐτῶν ἐδῄουν, οὐδ' ὣς ὑφί-
εντο, ἀλλὰ καὶ ἐπεὶ ἀπεχώρουν φθείραντες ὅσα ἐδύ-
ναντο, ἐπεξελθόντες οἱ τῶν Φλιασίων ἱππεῖς ἐπηκολού-
θουν αὐτοῖς, καὶ ὀπισθοφυλακούντων τοῖς Ἀργείοις
τῶν ἱππέων ἁπάντων καὶ λόχων τῶν μετ' αὐτοὺς τε-
ταγμένων, ἐπιθέμενοι τούτοις ἑξήκοντα ὄντες ἐτρέ-
ψαντο πάντας τοὺς ὀπισθοφύλακας· καὶ ἀπέκτειναν
μὲν ὀλίγους αὐτῶν, τρόπαιον μέντοι ἐστήσαντο ὁρών-
των τῶν Ἀργείων οὐδὲν διαφέρον, ἢ εἰ πάντας ἀπεκτό-
νεσαν αὐτούς.

Αὖθις δὲ Λακεδαιμόνιοι μὲν καὶ οἱ σύμμαχοι ἐφρού- 5
ρουν τὸ Ὄνειον, Θηβαῖοι δὲ προςῄεσαν ὡς ὑπερβησό- A. 368 a
μενοι. Πορευομένων δὲ διὰ Νεμέας τῶν Ἀρκάδων καὶ
Ἠλείων, ὅπως συμμίξαιεν τοῖς Θηβαίοις, προςήνεγκαν
μὲν λόγον τῶν Φλιασίων φυγάδες, ὡς, εἰ ἐθελήσειαν
ἐπιφανῆναι μόνον σφίσι, λάβοιεν ἂν Φλιοῦντα· ἐπεὶ δὲ
ταῦτα συνωμολογήθη, τῆς νυκτὸς ὑπεκαθίζοντο ὑπ'
αὐτῷ τῷ τείχει κλίμακας ἔχοντες οἵ τε φυγάδες καὶ ἄλ-
λοι μετ' αὐτῶν ὡς ἑξακόσιοι. Ἐπεὶ δὲ οἱ μὲν σκοποὶ

§. 4. *ἐνέβαλον* D. V. Cast. Dind. pro *ἐνέβαλλον*. — *λόχων* Steph. edd. sqq. pro *λόχους*. — F. *τούτους* — *ὄντες*, edd. vett. *τούτους* — *ὄντας*. — D. om. *πάντας*. — *ὀπισθοφύλακας* D. Dind. pro *ὄπισθεν φύλακας*.

§. 5. *Ἀρκάδων κ. Ἠλείων* D. E. F. V. Dind. pro *Ἠλ. κ. Ἀρκ.* — *λόγον τῶν* F. V. Steph. edd. sqq. pro *λεγόντων*. — *ἐθελήσειαν* D.

cesserit. Cf. ad IV, 7, 5. V, 1, 28. VI, 1, 13.

*περὶ Ἀμύκλας*] V. VI, 5, 30.

§. 4. *εἰς τὸν Φλιοῦντα*] in agrum Phliasiorum.

*ἀπεχώρουν*] Argivi. De subiecto subito mutato v. ad III, 2, 4. 5, 20.

§. 5. *Αὖθις — τὸ Ὄνειον*] De hac re v. VII, 1, 15.

*πορευομένων — Ἠλείων*] Cf. §. 8. et VII, 1, 18. Unde Dobraeus post *Ἀρκάδων* addi volebat *καὶ Ἀργείων*.

*σφίσι*] exsulibus et iis, qui in urbe conspirabant cum exsulibus, qui mox *οἱ προδιδόντες* dicuntur.

*ὑπ' αὐτῷ τῷ τείχει*] proxime murum. Cyrop. V, 2, 29.

*ἄλλοι — ἑξακόσιοι*] Arcades

ἐσήμαινον ἀπὸ τοῦ Τρικαράνου ὡς πολεμίων ἐπιόντων, ἡ δὲ πόλις πρὸς τούτους τὸν νοῦν εἶχεν, ἐν δὴ τούτῳ οἱ προδιδόντες ἐσήμαινον τοῖς ὑποκαθημένοις ἀναβαί-
6 νειν. Οἱ δ᾽ ἀναβάντες καὶ λαβόντες τῶν φρουρῶν τὰ ὅπλα ἔρημα, ἐδίωκον τοὺς ἡμεροφύλακας ὄντας δέκα· ἀφ᾽ ἑκάστης δὲ τῆς πεμπάδος εἷς ἡμεροφύλαξ κατελείπετο· καὶ ἕνα μὲν ἔτι καθεύδοντα ἀπέκτειναν, ἄλλον δὲ καταφυγόντα πρὸς τὸ Ἡραιον. Φυγῇ δ᾽ ἐξαλλομένων κατὰ τοῦ τείχους τοῦ εἰς τὸ ἄστυ ὁρῶντος τῶν ἡμεροφυλάκων, ἀναμφισβητήτως εἶχον οἱ ἀναβάντες τὴν
7 ἀκρόπολιν. Ἐπεὶ δὲ κραυγῆς εἰς τὴν πόλιν ἀφικομένης ἐβοήθουν οἱ πολῖται, τὸ μὲν πρῶτον ἐπεξελθόντες ἐκ τῆς ἀκροπόλεως οἱ πολέμιοι ἐμάχοντο ἐν τῷ πρόσθεν τῶν εἰς τὴν πόλιν φερουσῶν πυλῶν· ἔπειτα πολιορκούμενοι ὑπὸ τῶν προσβοηθούντων ἐχώρουν πάλιν πρὸς

Dind. pro *θελήσειαν*. — *πρὸς τούτους τὸν νοῦν εἶχεν* D. V. Dind. pro *τὸν νοῦν εἶχε πρὸς τούτοις*, E. *τὸν νοῦν πρὸς τούτους εἶχεν*, F. *τὸν νοῦν πρὸς τούτοις εἶχε*. — *ἐν δὴ* margg. Leoncl. et Steph. edd. sqq. pro *ἐν δὲ*.

§. 6. *πεμπάδος* D. E. F. I. V. margg. Steph. et Leoncl. Dind. pro *πεμπτάδος*. — *κατὰ τοῦ* F. I. V. marg. Leoncl. Dind. pro *ἀπὸ τοῦ*; D. E. *κατὰ τούτου*. — *τοῦ* ante *εἰς τὸ* addunt D. E. Schneid. Dind. — *ὁρῶντας* Dind. pro *ὁρώντων*.

§. 7. *εἰς τὴν πόλιν ἀφικομένης* D. E. F. I. V. Dind. pro *γενομένης εἰς τὴν π.*, etiam marg. Leoncl. *ἀφικομένης*. — *ἐπεξελθόντες* D.

sine dubio et Elei, qui cum ducibus iisdem exsulibus, qui advocaverant illos, occultis viis ad muros urbis appropinquaverant.

*ἀπὸ τοῦ Τρικαράνου*] Hoc castellum hoc tempore (a. 368) Phliasii tenebant, non Argivi, a quibus a. 366 demum (§. 1) occupatum et munitum est. Collocati in illo monte speculatores quum hostium exercitum procul advenire signo monuissent oppidanos eorumque animi in illam regionem iam intenti essent, exsules cum sexcentis illis arcem ascendunt.

*ὡς — ἐπιόντων*] V. IV, 3, 14.

*οἱ προδιδόντες*] V. ad I, 7, 28. Cf. I, 3, 18.

*ἐν δὴ τούτῳ*] Corrigendum est quod de h. l. dixi ad II, 4, 13. Aliter se habet *ἐκ τούτου δέ* I, 6, 4. Ferri posset *ἐν τούτῳ δέ*, non *ἐν δὲ τούτῳ*.

§. 6. *τὰ ὅπλα*] stationes. Cf. ad II, 4, 6. IV, 5, 6.

*ἀφ᾽ ἑκάστης — εἷς*] Ex quinquaginta igitur relicti erant decem.

*ὁρῶντος*] Eodem sensu erat *βλέποντος* VII, 1, 17.

§. 7. *ἔπειτα*] V. ad IV, 4, 13. Adde Hier. II, 11. Comment. I, 2, 1. Cyrop. I, 4, 11.

*πολιορκούμενοι*] V. ad IV, 7, 1.

*ἐχώρουν*] Cobetus *ἀνεχώρουν*, praeter necessitatem, praesertim quum *πάλιν* subiunctum sit.

τὴν ἀκρόπολιν· οἱ δὲ πολῖται συνειςπίπτουσιν αὐτοῖς. Τὸ μὲν οὖν μέσον τῆς ἀκροπόλεως εὐθὺς ἔρημον ἐγένετο· ἐπὶ δὲ τὸ τεῖχος καὶ τοὺς πύργους ἀναβάντες οἱ πολέμιοι ἔπαιον καὶ ἔβαλλον τοὺς ἔνδον· οἱ δὲ χαμόθεν ἠμύνοντο καὶ κατὰ τὰς ἐπὶ τὸ τεῖχος φερούσας κλίμακας προςεμάχοντο. Ἐπεὶ δὲ τῶν ἔνθεν καὶ ἔνθεν πύρ- 8
γων ἐκράτησάν τινων οἱ πολῖται, ὁμόσε δὴ ἐχώρουν ἀπονενοημένως τοῖς ἀναβεβηκόσιν. Οἱ δὲ ὠθούμενοι ὑπ' αὐτῶν τῇ τόλμῃ τε καὶ τῇ μάχῃ εἰς ἔλαττον συνειλοῦντο. Ἐν δὲ τούτῳ τῷ καιρῷ οἱ μὲν Ἀρκάδες καὶ οἱ Ἀργεῖοι περὶ τὴν πόλιν ἐκυκλοῦντο καὶ κατὰ κεφαλὴν τὸ τεῖχος τῆς ἀκροπόλεως διώρυττον· τῶν δὲ ἔνδοθεν οἱ μὲν ἐπὶ τὸ τεῖχος, οἱ δὲ καὶ ἔξωθεν ἔτι ἐπαναβαίνοντας, ἐπὶ ταῖς κλίμαξιν ὄντας, ἔπαιον, οἱ δὲ πρὸς τοὺς ἀναβεβηκότας αὐτῶν ἐπὶ τοὺς πύργους ἐμάχοντο, καὶ πῦρ εὑρόντες ἐν ταῖς σκηναῖς ὑφῆπτον αὐτούς, προςφοροῦντες τῶν δραγμάτων ἃ ἔτυχον ἐξ αὐτῆς τῆς

F. V. Dind. pro ἐξελθ. — Libri οἱ δὲ ὁπλῖται pro οἱ δὲ πολῖται. — F. τοὺς πύργους καὶ τὸ τεῖχος.

§. 8. καὶ μάχῃ C. D. E. F. I. V. Dind. pro καὶ τῇ μάχῃ. — ἔξωθεν ἔτι D. E. V. Dind. pro ἔτι ἔξωθεν. — ἀναβεβηκότας D. V. pro ἐπαναβεβηκότας.

χαμόθεν] V. Lobeck. ad Phryn. p. 94.

§. 8. εἰς ἔλαττον] Scribendum videtur ἀεὶ εἰς ἔλαττον. Cf. VI, 2, 22: ἀεὶ δ' ἐλείπετο σὺν ἐλάττοσι.

οἱ μὲν Ἀρκ. καὶ οἱ Ἀργ.] Exspectaveris potius οἱ μὲν Ἀρκάδες καὶ οἱ Ἠλεῖοι. Nam intelligendus est haud dubie exercitus, cuius adventus a custodibus in Tricarano collocatis signo nuntiatus erat Phliasiis §. 5. Argivos autem antea non commemoratos esse mireris. Hos tamen ut Arcades et Eleos in haec loca advenisse, ut cum Thebanis se coniungerent, narratum est VII, 1, 18.

κατὰ κεφαλήν] Vertunt: desuper, ex loco superiori, ut est §. 11. Rectius fortasse Steph. in thes. summum arcis murum intelligit.

διώρυττον] perfodere conabantur. V. ad III, 5, 18.

τῶν δὲ ἔνδοθεν οἱ μὲν —, οἱ δὲ —, οἱ δέ] Sensus est: Ex Phliasiis, qui τὸ μέσον τῆς ἀκροπόλεως tenebant, alii pugnant contra Arcades et Argivos, qui vel iam ascenderant in murum, vel per scalas adhuc ascensuri erant, alii contra eos hostes, qui §. 7 in turres confugerant. Ergo cum Leonclavio οἱ μὲν τοὺς ἐπὶ τοῦ τείχους scribendum est. Cf. quae mox sequuntur οἱ δὲ ἐπὶ τῶν τειχῶν. Deinceps ante ἔξωθεν, quod iam Schneider. voluit, τοὺς est inserendum. De ἔνδοθεν pro ἔνδον per attractionem dicto v. ad III, 1, 18.

αὐτῶν] Delendum videtur, nisi forte ab οἱ δέ genitivum pendere putas, ut VII, 4, 34: τῶν ἐπαρίτων pluribus verbis remotum est ab οἱ μέν.

ἔτυχον] De plurali v. ad I, 3, 23. IV, 2, 7.

ἀκροπόλεως τεθεριςμένα. Ἐνταῦθα δὴ οἱ μὲν ἀπὸ τῶν
πύργων τὴν φλόγα φοβούμενοι ἐξήλλοντο, οἱ δὲ ἐπὶ
9 τῶν τειχῶν ὑπὸ τῶν ἀνδρῶν παιόμενοι ἐξέπιπτον. Ἐπεὶ
δ' ἅπαξ ἤρξαντο ὑπείκειν, ταχὺ δὴ πᾶσα ἡ ἀκρόπολις
ἔρημος τῶν πολεμίων ἐγεγένητο. Εὐθὺς δὲ καὶ οἱ ἱπ-
πεῖς ἐξήλαυνον· οἱ δὲ πολέμιοι ἰδόντες αὐτοὺς ἀπεχώ-
ρουν, καταλιπόντες τάς τε κλίμακας καὶ τοὺς νεκρούς,
ἐνίους δὲ καὶ ζῶντας ἀποκεχωλευμένους. Ἀπέθανον
δὲ τῶν πολεμίων οἵ τε ἔνδον μαχόμενοι καὶ οἱ ἐξαλλό-
μενοι οὐκ ἐλάττους τῶν ὀγδοήκοντα. Ἔνθα δὴ θεά-
σασθαι παρῆν ἐπὶ τῆς σωτηρίας τοὺς μὲν ἄνδρας δε-
ξιουμένους ἀλλήλους, τὰς δὲ γυναῖκας πιεῖν τε φερού-
σας καὶ ἅμα χαρᾷ δακρυούσας· πάντας δὲ τοὺς παρόν-
τας τότε γε τῷ ὄντι κλαυσίγελως εἶχεν.
10 Ἐνέβαλον δὲ καὶ τῷ ὑστέρῳ ἔτει εἰς τὸν Φλιοῦντα
Ch. οἵ τε Ἀργεῖοι καὶ οἱ Ἀρκάδες ἅπαντες. Αἴτιον δ' ἦν
τοῦ ἐπικεῖσθαι αὐτοὺς ἀεὶ τοῖς Φλιασίοις, ὅτι ἅμα μὲν
ὠργίζοντο αὐτοῖς, ἅμα δὲ ἐν μέσῳ εἶχον καὶ ἐν ἐλπίδι
ἦσαν ἀεὶ διὰ τὴν ἀπορίαν τῶν ἐπιτηδείων παραστήσε-
σθαι αὐτούς. Οἱ δ' ἱππεῖς καὶ οἱ ἐπίλεκτοι τῶν Φλια-

§. 9. ἐξαλλόμενοι Dobr. Dind., ἔξω ἀλλόμενοι C. D. E. F. marg. Leoncl. Wells., ἔξω ἁλόμενοι Leoncl. Steph., ἔξω ἁλώμενοι Mor. Schneid., ἔξω ἁλώμενοι edd. vett.

§. 10. F. καὶ ἐπίλεκτοι. — A. edd. vett. ἐποιήσαντο τοὺς. — ἐπὶ τὰς D. Dind. pro ὑπὸ τάς.

οἱ μὲν ἀπὸ τῶν πύργων] qui erant in testibus. V. ad III, 1, 22.

§. 9. ἐγεγένητο] Plusquamperfectum de re celerrime facta ponitur etiam Comment. II, 9, 5. Cyrop. I, 4, 5.

οἱ ἱππεῖς] Phliasiorum equites ad persequendos hostes urbe exeunt.

ἐξαλλόμενοι] Vulgata scriptura ἔξω ἀλλ. defendi videtur iis, quae adnotavi ad I, 5, 11. IV, 8, 28.

τῶν ὀγδοήκοντα] De articulo cf. V, 2, 20. VII, 4, 23. Ages. I, 34: πλεῖον τῶν ἑκατὸν ταλάντων. II, 28: ἔτη ἀμφὶ τὰ ὀγδοήκοντα. Oecon. XX, 16. 18.

πιεῖν] substantivi instar verbi obiectum est etiam Cyrop. I, 3, 9: πιεῖν ἐγχέας. IV, 5, 1: ὄψον δὲ μὴ πέμπητε μηδὲ πιεῖν.

κλαυσίγελως] Auctore Polluce II, 64. hoc verbum ex Hom. Il. VI, 484. δακρυόεν γελάσασα ductum esse monet Schneider. Atque si non proverbiale, nobile certe alius dictum hic respici, indicat τῷ ὄντι. Eodem modo ponitur τῷ ὄντι Hier. III, 5: νομίζω τῷ ὄντι αὐτόματα τἀγαθὰ τῷ φιλουμένῳ γίγνεσθαι. Symp. II, 24: τῷ γὰρ ὄντι ὁ οἶνος ἄρδων τὰς ψυχὰς τὰς μὲν λύπας ὥσπερ ὁ μανδραγόρας τοὺς ἀνθρώπους κοιμίζει, quos locos affert Dindorf.

§. 10. ἐν μέσῳ εἶχον] αὐτούς, inter se medios habebant Phliasios.

σίων καὶ ἐν ταύτῃ τῇ ἐμβολῇ ἐπὶ τῇ διαβάσει τοῦ ποταμοῦ ἐπιτίθενται σὺν τοῖς παροῦσι τῶν Ἀθηναίων ἱππεῦσι· καὶ κρατήσαντες ἐποίησαν τοὺς πολεμίους τὸ λοιπὸν τῆς ἡμέρας ἐπὶ τὰς ἀκρωρείας ὑποχωρεῖν, ὥςπερ ἀπὸ φιλίου καρποῦ τοῦ ἐν τῷ πεδίῳ φυλαττομένους, μὴ καταπατήσειαν.

Αὖθις δέ ποτε ἐστράτευσεν εἰς τὸν Φλιοῦντα ὁ ἐν 11
τῷ Σικυῶνι ἄρχων Θηβαῖος ἄγων οὕς τε αὐτὸς εἶχε φρουροὺς καὶ Σικυωνίους καὶ Πελληνέας· ἤδη γὰρ τότε ἠκολούθουν τοῖς Θηβαίοις· καὶ Εὔφρων δὲ τοὺς αὑτοῦ ἔχων μισθοφόρους περὶ δισχιλίους συνεστρατεύετο. Οἱ μὲν οὖν ἄλλοι αὐτῶν διὰ τοῦ Τρικαράνου κατέβαινον ἐπὶ τὸ Ἥραιον ὡς τὸ πεδίον φθεροῦντες· κατὰ δὲ τὰς εἰς Κόρινθον φερούσας πύλας ἐπὶ τοῦ ἄκρου κατέλιπε Σικυωνίους τε καὶ Πελληνέας, ὅπως μὴ ταύτῃ περιελθόντες οἱ Φλιάσιοι κατὰ κεφαλὴν αὐτῶν γένοιντο ὑπὲρ τοῦ Ἡραίου. Ὡς δ' ἔγνωσαν οἱ ἐκ 12
τῆς πόλεως τοὺς πολεμίους ἐπὶ τὸ πεδίον ὡρμημένους, ἀντεξελθόντες οἵ τε ἱππεῖς καὶ οἱ ἐπίλεκτοι τῶν Φλιασίων ἐμάχοντο καὶ οὐκ ἀνίεσαν εἰς τὸ πεδίον αὐτούς. Καὶ τὸ μὲν πλεῖστον τῆς ἡμέρας ἐνταῦθα ἀκροβολιζόμενοι διῆγον, οἱ μὲν περὶ τὸν Εὔφρονα ἐπιδιώκοντες μέχρι τοῦ ἱππασίμου, οἱ δὲ ἔνδοθεν μέχρι τοῦ Ἡραίου. Ἐπεὶ δὲ καιρὸς ἐδόκει ἰέναι, ἀπῄεσαν οἱ πολέμιοι κύ- 13
κλῳ τοῦ Τρικαράνου· ὥςτε γὰρ τὴν σύντομον πρὸς τοὺς Πελληνέας ἀφικέσθαι ἡ πρὸ τοῦ τείχους φάραγξ

§. 11. εἰς τὸν Φλ. C. D. E. F. I. V. Schneid. Dind. pro ἐπὶ Φλ. — ἐν τῷ Σικ. D. E. F. V. Schneid. Dind., C. ἐπὶ τῷ Σικ., ceteri ἐν Σικ. — Θηβαῖος, monente Moro, Schneid. edd. sqq. pro Θηβαίους.
§. 13. καιρὸς D. E. F. I. V. marg. Leoncl. Dind. pro ὥρα. —

τοῦ ποταμοῦ] Asopi.
ὥςπερ — φυλαττομένους] Haec ironice adduntur. Nam contrarium voluerant Argivi et Arcades.
μὴ καταπατήσειαν] τὸν καρπόν.
§. 11. ἤδη — ἠκολούθουν] V. VII, 1, 18.
Εὔφρων] V. VII, 1, 44.
κατὰ δὲ τὰς — πύλας] in monte, qui erat e regione eius portae Phliuntis, quae Corinthum ducebat.

§. 12. οἱ ἐκ τῆς] De hac attractione v. ad III, 1, 18. 22.
μέχρι τοῦ ἱππασίμου] usque ad loca equitibus idonea. Nam metuebant Phliasiorum equitatum.
οἱ δὲ ἔνδοθεν] Phliasii.
§. 13. ὥςτε — ἀφικέσθαι εἶργε] Haec dici posse inde intelligitur, quod εἶργε idem valet quod ἐποίει οὐ πρακτόν. V. ad III, 4, 17. Vertas: ut — pervenirent, propter vallem — fieri non poterat.

εἶργε. Μικρὸν δ᾽ αὐτοὺς πρὸς τὸ ὄρθιον προπέμψαντες οἱ Φλιάσιοι ἀποτρεπόμενοι ἵεντο τὴν παρὰ τὸ τεῖ-
14 χος ἐπὶ τοὺς Πελληνέας καὶ τοὺς μετ᾽ αὐτῶν. Καὶ οἱ περὶ τὸν Θηβαῖον δὲ αἰσθόμενοι τὴν σπουδὴν τῶν Φλιασίων ἡμιλλῶντο, ὅπως φθάσειαν τοῖς Πελληνεῦσι βοηθήσαντες. Ἀφικόμενοι δὲ πρότεροι οἱ ἱππεῖς ἐμβάλλουσι τοῖς Πελληνεῦσι. Δεξαμένων δὲ τὸ πρῶτον, ἐπαναχωρήσαντες πάλιν σὺν τοῖς παραγεγενημένοις τῶν πεζῶν ἐνέβαλον καὶ ἐκ χειρὸς ἐμάχοντο. Καὶ ἐκ τούτου δὴ ἐγκλίνουσιν οἱ πολέμιοι, καὶ ἀποθνήσκουσι τῶν τε Σικυωνίων τινὲς καὶ τῶν Πελληνέων μάλα πολ-
15 λοὶ καὶ ἄνδρες ἀγαθοί. Τούτων δὲ γενομένων, οἱ μὲν Φλιάσιοι τρόπαιον ἵσταντο λαμπρὸν παιανίζοντες, ὥσπερ εἰκός· οἱ δὲ περὶ τὸν Θηβαῖον καὶ τὸν Εὔφρονα περιεώρων ταῦτα, ὥσπερ ἐπὶ θέαν παραδεδραμηκότες. Τούτων δὲ πραχθέντων, οἱ μὲν ἐπὶ Σικυῶνος ἀπῆλθον, οἱ δ᾽ εἰς τὸ ἄστυ ἀπεχώρησαν.

16 Καλὸν δὲ καὶ τοῦτο διεπράξαντο οἱ Φλιάσιοι· τὸν γὰρ Πελληνέα Πρόξενον ζῶντα λαβόντες, καίπερ πάντων σπανιζόμενοι ἀφῆκαν ἄνευ λύτρων. Γενναίους μὲν δὴ καὶ ἀλκίμους πῶς οὐκ ἄν τις φαίη εἶναι τοὺς τοιαῦτα διαπραττομένους;

17 Ὥς γε μὴν καὶ διὰ καρτερίας τὴν πίστιν τοῖς φίλοις διέσωζον, περιφανές· οἳ ἐπεὶ εἴργοντο τῶν ἐκ τῆς γῆς

Schneid. ὥςτε γὰρ μὴ τὴν. — A. C. Ald. Iunt. Cast. πρὸς τὸ ὄρθριον. — A. Ald. τὴν περὶ τὸ τεῖχος.

§. 14. βοηθήσαντες Steph. Dind. pro βοηθήσοντες. — πρότεροι D. E. Leoncl. Dind. pro πρότερον.

§. 15. παραδεδραμ., suadente Moro, Dind. pro περιδεδραμ.

§. 16. Πρόξενον Schneid. edd. sqq. pro πρόξενον. — V. ὄντα pro ζῶντα. — Ante τοιαῦτα om. τὰ D. F. V. Dind.

§. 17. τὴν πίστιν τοῖς φίλοις D. F. V. Dind. pro τοῖς φ. τὴν π.

§. 14. *Καὶ — δέ*] Verum etiam. V. ad V, 1, 16.

*δεξαμένων*] αὐτῶν. V. I, 1, 29.

§. 15. *λαμπρόν*] cum παιονίζοντες iungendum, velut adverbium, qui usus poetarum magis est proprius. V. Buttm. gr. §. 128. ann. 4.

*ὥςπερ ἐπὶ θέαν*] quasi (non ad adiuvandos Pellenenses, sed) ad spectaculum accurrissent. Tam tarde scilicet advenerunt. Inde vides, absurdum esse περιδεδραμηκότες.

§. 16. *τοῦτο*] spectat sequentia.

§. 17. *διὰ καρτερίας*] magna constantia.

καρπῶν, ἔζων τὰ μὲν ἐκ τῆς πολεμίας λαμβάνοντες, τὰ δὲ ἐκ Κορίνθου ὠνούμενοι, διὰ πολλῶν κινδύνων ἐπὶ τὴν ἀγορὰν ἰόντες, χαλεπῶς μὲν τιμὴν πορίζοντες, χαλεπῶς δὲ τοὺς πορίζοντας διαπραττόμενοι, γλίσχρως δ' ἐγγυητὰς καθιστάντες τῶν ἀξόντων ὑποζυγίων.
18 Ἤδη δὲ παντάπασιν ἀποροῦντες Χάρητα διεπράξαντο σφίσι παραπέμψαι τὴν παραπομπήν. Ἐπεὶ δ' ἐν Φλιοῦντι ἐγένοντο, ἐδεήθησαν αὐτοῦ καὶ τοὺς ἀχρείους συνεκπέμψαι εἰς τὴν Πελλήνην. Κἀκείνους μὲν ἐκεῖ κατέλιπον, ἀγοράσαντες δὲ καὶ ἐπισκευασάμενοι ὅποσα ἐδύναντο ὑποζύγια νυκτὸς ἀπῄεσαν, οὐκ ἀγνοοῦντες, ὅτι ἐνεδρεύσοιντο ὑπὸ τῶν πολεμίων, ἀλλὰ νομίζοντες χαλεπώτερον εἶναι τοῦ μάχεσθαι τὸ μὴ ἔχειν τἀπιτήδεια.
19 Καὶ προῄεσαν μὲν οἱ Φλιάσιοι μετὰ Χάρητος· ἐπεὶ δὲ ἐνέτυχον τοῖς πολεμίοις, εὐθὺς ἔργου τε εἴχοντο καὶ παρακελευσάμενοι ἀλλήλοις ἐνέκειντο, καὶ ἅμα Χάρητα ἐπιβοηθεῖν ἐβόων. Νίκης δὲ γενομένης καὶ ἐκβληθέν-

§. 18. τἀπιτήδεια D. Dind. pro τὰ ἐπιτ.

ἐπὶ τὴν ἀγοράν] non ad forum, sed ad mercatum.

τιμήν] pretium, pecuniam.

τοὺς πορίζοντας] Schneider. intelligit τὰ ἐπιτήδεια, quae interpretatio minime convenit eiusdem vocis repetitioni. Sensus est: difficulter conquirebant pecuniam, difficulter (si ipsis conquirendi non erat copia) conciliabant qui sibi (aliunde) conquirerent.

ἐγγυητάς] Praedibus ac sponsoribus opus erat. Periculum enim erat, ne iumenta et vehicula, quae ad advehendum Corintho commeatum conducenda erant, praeda fierent hostium, praesertim postquam Tricaranum in Argivorum, Thyamia in Sicyoniorum erat potestate. V. §. 1.

ἀξόντων] τὴν ἀγοράν, frumenta.

§. 18. Χάρητα] Atheniensem. Quanquam Athenienses equites Phliunte fuisse §. 10 commemoratum est, apparet tamen ex sequentibus verbis, tum arcessitum esse ducem Atheniensium. Nam ἐπεὶ — ἐγένοντο nihil esse potest nisi: quum Chares cum suis Phliuntem advenisset.

ἀχρείους] turbam inutilem, quam nutrire in summa commeatus inopia difficile erat.

εἰς τὴν Πελλήνην] Amicitiae inter Phliasios et Pellenenses reconciliatae mentio fit VII, 4, 17.

ἐνεδρεύσοιντο] passive: insidias sibi structum iri.

§. 19. ἔργου — εἴχοντο] proprie: pugnae adhaerebant, h. e. acriter pugnabant. Cf. Kuehner. ad Anab. VI, 3, 17: σωτηρίας ἔχεσθαι. De voce ἔργου cf. supra V, 3, 2. Cyrop. VII, 1, 27.

ἐπιβοηθεῖν ἐβόων] „Verba clamandi, omnino verba dicendi saepissime vi iubendi usurpantur.“ Kuehner. ad Anab. IV, 3, 22. V, 2, 32: ἐβόα βοηθεῖν. Inde apparet, cur accusativus non minus quam dativus cum verbo βοᾶν iungi possit.

των ἐκ τῆς ὁδοῦ τῶν πολεμίων, οὕτω δὴ οἴκαδε καὶ ἑαυτοὺς καὶ ἃ ἦγον ἀπέσωσαν. Ὡς δὲ τὴν νύκτα ἠγρύ-
20 πνησαν, ἐκάθευδον μέχρι πόῤῥω τῆς ἡμέρας. Ἐπεὶ δὲ ἀνέστη ὁ Χάρης, προςελθόντες οἵ τε ἱππεῖς καὶ οἱ χρησιμώτατοι τῶν ὁπλιτῶν ἔλεγον, Ὦ Χάρης, ἔξεστί σοι τήμερον κάλλιστον ἔργον διαπράξασθαι. Χωρίον γὰρ ἐπὶ τοῖς ὅροις ἡμῖν οἱ Σικυώνιοι τειχίζουσιν, οἰκοδόμους μὲν πολλοὺς ἔχοντες, ὁπλίτας δὲ οὐ πάνυ πολλούς. Ἡγησόμεθα μὲν οὖν ἡμεῖς οἱ ἱππεῖς καὶ τῶν ὁπλιτῶν οἱ ἐῤῥωμενέστατοι· σὺ δὲ τὸ ξενικὸν ἔχων ἐὰν ἀκολουθῇς, ἴσως μὲν διαπεπραγμένα σοι καταλήψῃ, ἴσως δὲ ἐπιφανεὶς σὺ τροπήν, ὥςπερ ἐν Πελλήνῃ, ποιήσεις. Εἰ δέ τι δυςχερές σοί ἐστιν ὧν λέγομεν, ἀνακοίνωσαι τοῖς θεοῖς θυόμενος· οἰόμεθα γὰρ ἔτι σε μᾶλλον ἡμῶν τοὺς θεοὺς ταῦτα πράττειν κελεύσειν. Τοῦτο δὲ χρή, ὦ Χάρης, εὖ εἰδέναι, ὅτι, ἐὰν ταῦτα πράξῃς, τοῖς μὲν πολεμίοις ἐπιτετειχικὼς ἔσῃ, φιλίαν δὲ πόλιν διασεσωκώς, εὐκλεέστατος δὲ ἐν τῇ πατρίδι ἔσῃ, ὀνομαστότατος δὲ
21 καὶ ἐν τοῖς συμμάχοις καὶ πολεμίοις. Ὁ μὲν δὴ Χάρης πεισθεὶς ἐθύετο· τῶν δὲ Φλιασίων εὐθὺς οἱ μὲν ἱππεῖς

§. 19. D. *εἶχον*, E. F. *εἶγον* pro *ἦγον*.

§. 20. *οἵ τε* D. E. F. I. V. Schneid. Dind. pro *οἱ*. — *ὁπλιτῶν* Schaef. Schneid. edd. sqq. pro *πολιτῶν*. — F. *σήμερον*. — *ὅροις* D. E. F. I. V. Dind. pro *ὁρίοις*. — Dind. *καταλήψει*. — *τροπὴν* post *σὺ* ponunt D. E. F. I. V. Dind., post *Πελλήνην* ceteri. — *ἐπιτετειχικὼς* D. Steph. edd. sqq. pro *ἐπιτετυχηκὼς*. — Dind. bis *ἔσει*.

§. 21. E. F. *μὲν* pro *μὲν δή*. — *εὐθὺς οἱ μὲν* D. V. Dind. pro *εὐθὺς μὲν οἱ*. — Post *καλὰ* om. *εἴη* C. D. E. F. I. Dind.

*οὕτω*] V. ad III, 2, 9. 12.

§. 20. *χωρίον*] Thyamiam. V. §. 1.

*τροπὴν — ποιήσεις*] fugam — efficies, si recte se habet *ποιήσεις*. Sturz. comparat Herod. I, 30: *τροπὴν ποιήσας*, et interest sane aliquid inter *τροπὴν ποιεῖσθαι* et *τροπὴν ποιεῖν*. Illud est simpliciter fugare, hoc efficere, ut fiat fuga, sive momentum afferre fugae. Desideratur autem h. l. genitivus *τῶν πολεμίων*. Quare malim *ῥοπήν* pro *τροπήν*. Cf. Isocr. Paneg. 139: *ἐν γὰρ τοῖς τοιούτοις καιροῖς πολλάκις μικραὶ δυνάμεις μεγάλας τὰς ῥοπὰς ἐποίησαν*. Sententia est: nos duces erimus itineris: tu, si sequeris, rem fortasse confectam invenies, fortasse etiam momentum certaminis afferes ut antea apud Pellenam attulisti.

*ἀνακοίνωσαι*] Exspectaveris fortasse *ἀνακοίνωσον*. Nam hoc est plerumque communicare, illud deliberare cum aliquo. Sed v. Kuehner. ad Anab. III, 1, 5.

*τοῖς — πολεμίοις ἐπιτετειχικὼς ἔσῃ*] V. ad §. 1. habebis locum contra hostes munitum.

§. 21. *εὐθὺς οἱ μέν*] Vulgatus verborum ordo *εὐθὺς μὲν οἱ*

τοὺς θώρακας ἐνεδύοντο καὶ τοὺς ἵππους ἐχαλίνουν, οἱ δὲ ὁπλῖται ὅσα εἰς πεζὸν παρεσκευάζοντο. Ἐπεὶ δὲ ἀναλαβόντες τὰ ὅπλα ἐπορεύοντο ἔνθα ἐθύετο, ἀπήντα αὐτοῖς ὁ Χάρης καὶ ὁ μάντις καὶ ἔλεγον, ὅτι καλὰ τὰ ἱερά. Ἀλλὰ περιμένετε, ἔφασαν· ἤδη γὰρ καὶ ἡμεῖς ἔξιμεν. Ὡς δὲ τάχιστα ἐκηρύχθη, θείᾳ τινὶ προθυμίᾳ καὶ οἱ μισθοφόροι ταχὺ ἐξέδραμον. Ἐπεὶ δὲ Χάρης ἤρ- 22
ξατο πορεύεσθαι, προῄεσαν αὐτῷ οἱ τῶν Φλιασίων ἱππεῖς καὶ πεζοί· καὶ τὸ μὲν πρῶτον ταχέως ἡγοῦντο, ἔπειτα δὲ ἐτρόχαζον· τέλος δὲ οἱ μὲν ἱππεῖς κατὰ κράτος ἤλαυνον, οἱ δὲ πεζοὶ κατὰ κράτος ἔθεον ὡς δυνατὸν ἐν τάξει, οἷς καὶ ὁ Χάρης σπουδῇ ἐπηκολούθει. Ἦν μὲν οὖν τῆς ὥρας μικρὸν πρὸ δύντος ἡλίου· κατελάμβανον δὲ τοὺς ἐν τῷ τείχει πολεμίους τοὺς μὲν λουομένους, τοὺς δ᾽ ὀψοποιουμένους, τοὺς δὲ φυρῶντας, τοὺς δὲ στιβάδας ποιουμένους. Ὡς δ᾽ εἶδον τὴν σφο- 23
δρότητα τῆς ἐφόδου, εὐθὺς ἐκπλαγέντες ἔφυγον, καταλιπόντες τοῖς ἀγαθοῖς ἀνδράσι πάντα τἀπιτήδεια. Κἀκεῖνοι μὲν ταῦτα δειπνήσαντες καὶ οἴκοθεν ἄλλα ἐλθόντα, ὡς ἐπ᾽ εὐτυχίᾳ σπείσαντες καὶ παιανίσαντες καὶ φυλακὰς κατασκευασάμενοι, κατέδαρθον. Οἱ δὲ Κορίνθιοι, ἀφικομένου τῆς νυκτὸς ἀγγέλου περὶ τῆς Θυα-

§. 22. αὐτῷ Cast. Schneid. edd. sqq. pro αὐτοῦ. — κατὰ κράτος ante ἤλαυνον addunt D. I. V. marg. Leoncl. Steph. Dind. — Marg. Steph. om. κατὰ κράτος ante ἔθεον. — Dind. λουμένους. — φυρῶντας D. F. V. Dind. pro φύροντας.

§. 23. V. ἔφευγον. — Dind. καταστησάμενοι pro κατασκευασά-

dubito an genuinus sit. Sequenti ἐπεὶ δὲ bene respondet εὐθὺς μέν.

ὅσα εἰς πεζόν] V. ad VI, 2, 27: ὅσα εἰς ναυμαχίαν.

θείᾳ] De hoc adiectivo v. quae adnotavi ad Oecon. XXI, 5.

§. 22. προῄεσαν αὐτῷ] Cf. III, 4, 13. V, 4, 59.

κατὰ κράτος] item totis viribus, de qua vi repetitae vocis v. ad III, 4, 24.

ὡς δυνατόν] quoad fieri potest.

ὥρας] genitivus pendet a notione partitiva, quae inest in verbis μικρὸν πρὸ δύντος ἡλίου.

λουομένους] Hanc formam Xenophonti non abiudicandam tuentur Lobeck. ad Phryn. p. 189. Kuehner. ad Comment. III, 13, 3.

§. 23. ὡς ἐπ᾽ εὐτυχίᾳ] quod re prospere gesta laetabantur.

φυλακὰς κατασκευασάμενοι] Solet quidem Xenophon dicere φυλακὰς καθίστασθαι, sed saepe etiam φυλακὰς ποιεῖσθαι, ut Anab. VI, 3, 21: καὶ τὴν μὲν νύκτα φυλακὰς ποιησάμενοι ἐκάθευδον. Cur igitur non liceat dicere φυλακὰς κατασκευάζεσθαι?

περὶ τῆς Θυαμίας] de Thyamia a Phliasiis occupata.

μίας, μάλα φιλικῶς κηρύξαντες τὰ ζεύγη καὶ τὰ ὑποζύγια πάντα καὶ σῖτον γεμίσαντες εἰς τὸν Φλιοῦντα παρήγαγον· καὶ ἕωςπερ ἐτειχίζετο τὸ τεῖχος, ἑκάστης ἡμέρας παραπομπαὶ ἐγίγνοντο.

---

# CAPUT III.

## ARGUMENTUM.

Aeneas, Arcadum dux Sicyoniis domestico malo laborantibus cum exercitu succurrit et in acropolin convocat eorum principes et exsules non publice eiectos. Euphron statim confugit in portum eumque tradit Lacedaemoniis. Postea quum Thebani Sicyoniam acropolin tenerent, in Boeotiam profectus cum Thebanis de tota Sicyonis urbe sibi tradenda agere volebat. Sed in ipsa Cadmea a civibus quibusdam suis occisus est.

---

1 Περὶ μὲν δὴ Φλιασίων, ὡς καὶ πιστοὶ τοῖς φίλοις ἐγένοντο καὶ ἄλκιμοι ἐν τῷ πολέμῳ διετέλεσαν, καὶ ὡς πάντων σπανίζοντες διέμενον ἐν τῇ συμμαχίᾳ, εἴρηται.
a. 367. Σχεδὸν δὲ περὶ τοῦτον τὸν χρόνον Αἰνέας Στυμφάλιος, στρατηγὸς τῶν Ἀρκάδων γεγενημένος, νομίσας οὐκ ἀνεκτῶς ἔχειν τὰ ἐν τῷ Σικυῶνι, ἀναβὰς σὺν τῷ ἑαυτοῦ στρατεύματι εἰς τὴν ἀκρόπολιν συγκαλεῖ τῶν Σικυωνίων τῶν τε ἔνδον ὄντων τοὺς κρατίστους καὶ τοὺς
2 ἄνευ δόγματος ἐκπεπτωκότας μετεπέμψατο. Φοβηθεὶς

μετοι. — ἕωςπερ ἐτειχίζετο Dind. pro ἕως περιετειχ. — ἐγίγνοντο C. D. E. V. Schneid. Dind. pro ἐγίνοντο.

Cap. III. §. 1. ἐν τῷ π. διετ. C. D. E. F. V. Schneid. Dind. pro διετ. ἐν τῷ π. — διέμενον ἐν τῇ συμ. C. D. E. F. V. Schneid. Dind. pro ἐν τῇ σ. διέμ. — Post σχεδὸν δέ D. E. V. Schneid. Dind. om. τοι, C. om. etiam δέ. — γεγενημένος post Ἀρκάδων ponunt C. D. E. F. V. Schneid. Dind., ante στρατηγὸς ceteri. — μετεπέμψατο D., μετεπέμπετο ceteri.

κηρύξαντες τὰ ζεύγη] breviter dictum sensu: iusserunt per praeconem colligi vehicula, ut latine dicitur: imperare vehicula.

ἐτειχίζετο τὸ τεῖχος] Cf. VII, 4, 1.

Cap. III. §. 1. ἄλκιμοι — διετέλεσαν] V. gramm. citatas ad IV, 3, 3.

νομίσας] V. ad III, 4, 12.

κρατίστους] V. ad VII, 1, 42.

ἄνευ δόγματος] sine decreto publico, non publice,

δὲ ταῦτα ὁ Εὔφρων καταφεύγει εἰς τὸν λιμένα τῶν Σικυωνίων καὶ μεταπεμψάμενος Πασίμηλον ἐκ Κορίνθου διὰ τούτου παραδίδωσι τὸν λιμένα τοῖς Λακεδαιμονίοις καὶ ἐν ταύτῃ αὖ τῇ συμμαχίᾳ ἀνεστρέφετο λέγων, ὡς Λακεδαιμονίοις διατελοίη πιστὸς ὤν· ὅτε γὰρ ψῆφος ἐδίδοτο ἐν τῇ πόλει, εἰ δοκοίη ἀφίστασθαι, μετ' ὀλίγων ἀποψηφίσασθαι ἔφη· ἔπειτα δὲ τοὺς προδόντας ἑαυτὸν 3
βουλόμενος τιμωρήσασθαι δῆμον καταστῆσαι. Καὶ νῦν, ἔφη, φεύγουσιν ὑπ' ἐμοῦ πάντες οἱ ὑμᾶς προδιδόντες. Εἰ μὲν οὖν ἐδυνάσθην ἐγώ, ὅλην ἂν ἔχων τὴν πόλιν πρὸς ὑμᾶς ἀπέστην· νῦν δ' οὐ ἐγκρατὴς ἐγενόμην τὸν λιμένα παραδέδωκα ὑμῖν. Ἠκροῶντο μὲν δὴ πολλοὶ αὐτοῦ ταῦτα· ὁπόσοι δὲ ἐπείθοντο, οὐ πάνυ κατάδηλον.

Ἀλλὰ γὰρ ἐπείπερ ἠρξάμην, διατελέσαι βούλομαι 4
τὰ περὶ Εὔφρονος. Στασιασάντων γὰρ ἐν τῷ Σικυῶνι τῶν τε βελτίστων καὶ τοῦ δήμου, λαβὼν ὁ Εὔφρων Ἀθήνηθεν ξενικὸν πάλιν κατέρχεται. Καὶ τοῦ μὲν ἄστεος ἐκράτει σὺν τῷ δήμῳ· Θηβαίου δὲ ἁρμοστοῦ τὴν ἀκρόπολιν ἔχοντος, ἐπεὶ ἔγνω οὐκ ἂν δυνάμενος τῶν Θηβαίων ἐχόντων τὴν ἀκρόπολιν τῆς πόλεως κρατεῖν, συσκευασάμενος χρήματα ᾤχετο, ὡς τούτοις πείσων Θηβαίους ἐκβάλλειν μὲν τοὺς κρατίστους, παραδοῦναι δ' αὐτῷ πάλιν τὴν πόλιν. Αἰσθόμενοι δὲ οἱ 5
πρόσθεν φυγάδες τὴν ὁδὸν αὐτοῦ καὶ τὴν παρασκευὴν ἀντεπορεύοντο εἰς τὰς Θήβας. Ὡς δ' ἑώρων αὐτὸν οἰ-

§. 3. βουλόμενος τιμωρ. D. E. F. V. Dind. pro τιμωρ. βουλ. — πολλοὶ αὐτοῦ D. E. V. Dind. pro αὐτοῦ πολλοί.

§. 4. Ante Εὔφρωνος om. τοῦ D. V. Dind. — F. om. τε ante βελτίστων.

sed Euphronis arbitrio. V. VII, 1, 46.

§. 2. *Πασίμηλον*] Cf. IV, 4, 7.

*ἐν ταύτῃ αὖ*] Cf. VII, 1, 44.

*ἀνεστρέφετο*] versabatur. V. ad VI, 3, 17.

§. 3. *δῆμον καταστῆσαι*] Eodem sensu: *τήνδε τὴν πολιτείαν καθίσταμεν* II, 3, 25. Contrarium est *τὸν δῆμον καταλύειν* I, 7, 28, *τῆς τοῦ δήμου καταλύσεως* II, 3, 28.

*οἱ ὑμᾶς προδιδόντες*] V. ad I, 7, 28.

§. 4. *Ἀλλὰ γὰρ ἐπείπερ*] At enim quoniam. V. ad VII, 2, 1.

*συσκευασάμενος χρήματα ᾤχετο*] Coacta pecunia (Thebas) profectus est.

*τοὺς κρατίστους*] Antea erat *τῶν βελτίστων*. V. ad VII, 1, 42.

κείως τοῖς ἄρχουσι συνόντα, φοβηθέντες, μὴ διαπράξαιτο ἃ βούλεται, παρεκινδύνευσάν τινες καὶ ἀποσφάττουσιν ἐν τῇ ἀκροπόλει τὸν Εὔφρονα, τῶν τε ἀρχόντων καὶ τῆς βουλῆς συγκαθημένων. Οἱ μέντοι ἄρχοντες τοὺς ποιήσαντας εἰςήγαγον εἰς τὴν βουλὴν καὶ ἔλεγον τάδε.

6 Ὦ ἄνδρες πολῖται, ἡμεῖς τουτουσὶ τοὺς ἀποκτείναντας Εὔφρονα διώκομεν περὶ θανάτου, ὁρῶντες, ὅτι οἱ μὲν σώφρονες οὐδὲν δήπου ἄδικον οὐδὲ ἀνόσιον ποιοῦσιν, οἱ δὲ πονηροὶ ποιοῦσι μέν, λανθάνειν δὲ πειρῶνται, οὗτοι δὲ τοσοῦτον πάντας ἀνθρώπους ὑπερβεβλήκασι τόλμῃ τε καὶ μιαρίᾳ, ὥςτε παρ' αὐτὰς τὰς ἀρχὰς καὶ παρ' αὐτοὺς ὑμᾶς τοὺς κυρίους οὕςτινας δεῖ ἀποθνήσκειν καὶ οὕςτινας μὴ αὐτογνωμονήσαντες ἀπέκτειναν τὸν ἄνδρα. Εἰ οὖν οὗτοι μὴ δώσουσι τὴν ἐσχάτην δίκην, τίς ποτε πρὸς τὴν πόλιν θαρσῶν πορεύσεται; Τί δὲ πείσεται ἡ πόλις, εἰ ἐξέσται τῷ βουλομένῳ ἀποκτεῖναι πρὶν δηλῶσαι, ὅτου ἕνεκα ἥκει ἕκαστος; Ἡμεῖς μὲν δὴ τούτους διώκομεν ὡς ἀνοσιωτάτους καὶ ἀδικωτάτους καὶ ἀνομωτάτους καὶ πλεῖστον δὴ ὑπεριδόντας τῆς πόλεως· ὑμεῖς δὲ ἀκηκοότες, ὁποίας τινὸς ὑμῖν δοκοῦσιν ἄξιοι εἶναι δίκης, ταύτην αὐτοῖς ἐπίθετε.

7 Οἱ μὲν ἄρχοντες τοιαῦτα εἶπον· τῶν δὲ ἀποκτεινάντων οἱ μὲν ἄλλοι ἠρνοῦντο μὴ αὐτόχειρες γεγενῆσθαι·

§. 5. Post φοβηθέντες, μὴ om. πως D. E. F. I. V. Schneid. Dind. — Post ἀποσφάττουσιν om. αὐτὸν D. F. I. V. Schneid. Dind. — τὸν Εὔφρονα addunt iidem.

§. 6. Ὦ ἄνδρες C. D. E. F. H. I. V. Dind. pro ἄνδρες. — ἀποκτ. Εὔφρονα C. D. E. F. I. Dind. pro Εὔφρ. ἀποκτ. — Post λανθάνειν δὲ om. ὅμως D. E. F. H. I. V. Dind. — Post αὐτὰς omisi τε cum D. — Dind. θαρρῶν. — πείσεται Schaef. Dind. pro εἴσεται. — ἥκει D. E. H. V. Dind. pro ἥκοι. — δὴ post ἡμεῖς μὲν addunt D. E. F. H. V. Schneid. Dind. — καὶ ἀδικωτάτους addunt C. D. F. H. V. Dind. — A. E. om. καὶ ἀνομωτάτους.

§. 7. γεγενῆσθαι C. D. E. F. I. V. marg. Leoncl. Dind. pro γενέ-

§. 6. περὶ θανάτου] insolentius pro θανάτου.

κυρίους, οὕςτινας δεῖ ἀποθνήσκειν] penes quos est iudicare, qui morte sint multandi. Item §. 7.

τὴν πόλιν] Thebas.

ἀποκτεῖναι — ἕκαστος] Sic Graeci dicere solent, nostrates: *jeden zu tödten, bevor er —*.

εἴς δὲ ὡμολογήκει καὶ τῆς ἀπολογίας ὧδέ πως ἤρχετο. Ἀλλ' ὑπερορᾶν μέν, ὦ Θηβαῖοι, οὐ δυνατὸν ὑμῶν ἀνδρί, ὃς εἰδείη κυρίους μὲν ὄντας ὅ τι βούλεσθε αὐτῷ χρῆσθαι· τίνι μὴν πιστεύων ἀπέκτεινα τὸν ἄνδρα; Εὖ ἴστε, ὅτι πρῶτον μὲν τῷ νομίζειν δίκαιον ποιεῖν, ἔπειτα δὲ τῷ ὑμᾶς ὀρθῶς γνώσεσθαι. Ἤιδειν γάρ, ὅτι καὶ ὑμεῖς τοὺς περὶ Ἀρχίαν καὶ Ὑπάτην, οὓς ἐλάβετε ὅμοια Εὔφρονι πεποιηκότας, οὐ ψῆφον ἀνεμείνατε, ἀλλὰ ὁπότε πρῶτον ἐδυνάσθητε ἐτιμωρήσασθε, νομίζοντες τῶν τε περιφανῶς ἀνοσίων καὶ τῶν φανερῶς προδοτῶν καὶ τυραννεῖν ἐπιχειρούντων ὑπὸ πάντων ἀνθρώπων θάνατον κατεγνῶσθαι. Οὐκοῦν καὶ Εὔφρων πᾶσι τού- 8
τοις ἔνοχος ἦν. Παραλαβὼν μὲν γὰρ τὰ ἱερὰ μεστὰ καὶ ἀργυρῶν καὶ χρυσῶν ἀναθημάτων κενὰ πάντων τούτων ἀπέδειξε. Προδότης γε μὴν τίς ἂν περιφανέστερος Εὔφρονος εἴη, ὃς φιλαίτατος μὲν ὢν Λακεδαιμονίοις

σθαι. — μὴν D. H. I. V. Dind. pro μέντοι. — Ante ἀπέκτεινα om. ἐνθάδε D. Dind. — δίκαιον D. F. H. I. V. Dind. pro δίκαια. — ὅμοια Εὔφρ. D. H. V. Dind. pro Εὔφρ. ὅμοια.

§. 8. Ante Dind. edebatur οὔκουν — ἦν; — πᾶσι τούτοις ἔν. ἦν C. D. F. H. V. Dind., ἔν. ἦν π. τ. E., ἔν. π. τ. ἦν ceteri. — μεστὰ Wyttenb. Schneid. edd. sqq. pro μετὰ. — καὶ ἀργ. καὶ χρυσ. C. D. E. F. H. I. V., καὶ χρυσ. κ. ἀργ. Schneid., καὶ χρυσ. τούτων κ. ἀργ. ceteri. — C. m. sec. φιλότατος. — ἀντ' ἐκ. εἵλετο D. E. F. V. Dind. pro

§. 7. ὡμολογήκει] Plusquamperfectum saepius usurpatur, vel addito vel non addito ταχύ, de re statim vel celeriter facta. V. ad VII, 2, 9; 4, 23. Cyrop. I, 4, 1. II, 1, 21. VIII, 3, 8. 4, 30. Comment. II, 9, 5.

ος εἰδείη] ex sententia Thebanorum dictum: contemnere vos non posse existimetis eum, qui sciat —. Sermo enim est de re, quae saepius accidere possit. V. adn. ad Cyrop. I, 6, 19: τοῦ μὲν αὐτὸν λέγειν ἃ μὴ σαφῶς εἰδείη φείδεσθαι δεῖ, et ibid. ad III, 1, 11.

κυρίους μέν] Ex ὑμῶν repetas ὑμᾶς. Sensus est: penes vos quidem esse vel crudelissima sumere supplicia, etiamsi non sumatis. Haec est vis particulae μέν, quam hic non sequitur δέ. Cf. ad III, 1, 5. 4, 9.

ὅ τι — χρῆσθαι] V. ad II, 4, 37.

τίνι μήν] V. ad VI, 3, 13.

ἴστε] imperativus.

τῷ — γνώσεσθαι] confidebam fore, ut vos recte, iuste de hac causa cognosceretis.

τοὺς περὶ Ἀρχίαν καὶ Ὑπάτην] V. V, 4, 2.

οὐ ψῆφον ἀνεμείνατε] Haec quodammodo extra structuram interposita sunt propter sequentia ἀλλὰ — ἐδυνάσθητε. Sic vividior ac gravior est oratio quam si dictum esset οὐ ψῆφον ἀναμείναντες.

§. 8. οὐκοῦν] atqui: *nun war aber auch Euphron —.*

φιλαίτατος] Eustath. ad Hom. Od. p. 1441, 30: Ξενοφῶν δὲ καὶ φιλαίτατον ἐν ἑβδομῇ φησί· τοῦτο δὲ καὶ φιλώτατον ἐν πολλοῖς τῶν ἀντιγράφων εὕρηται.

ὑμᾶς ἀντ' ἐκείνων εἵλετο· πιστὰ δὲ δοὺς καὶ λαβὼν παρ' ὑμῶν πάλιν προὔδωκεν ὑμᾶς καὶ παρέδωκε τοῖς ἐναντίοις τὸν λιμένα; Καὶ μὴν πῶς οὐκ ἀπροφάσιστος τύραννος ἦν, ὃς δούλους μὲν οὐ μόνον ἐλευθέρους, ἀλλὰ καὶ πολίτας ἐποίει, ἀπεκτίννυε δὲ καὶ ἐφυγάδευε καὶ χρήματα ἀφῃρεῖτο οὐ τοὺς ἀδικοῦντας, ἀλλ' οὓς
9 αὐτῷ ἐδόκει; Οὗτοι δὲ ἦσαν οἱ βέλτιστοι. Αὖθις δὲ μετὰ τῶν ἐναντιωτάτων ὑμῖν Ἀθηναίων κατελθὼν εἰς τὴν πόλιν ἐναντία μὲν ἔθετο τὰ ὅπλα τῷ παρ' ὑμῶν ἁρμοστῇ· ἐπεὶ δ' ἐκεῖνον οὐκ ἐδυνάσθη ἐκ τῆς ἀκροπόλεως ἐκβαλεῖν, συσκευασάμενος χρήματα δεῦρο ἀφίκετο. Καὶ εἰ μὲν ὅπλα ἠθροικὼς ἐφάνη ἐφ' ὑμᾶς, καὶ χάριν ἄν μοι εἴχετε, εἰ ἀπέκτεινα αὐτόν· ὃς δὲ χρήματα ἦλθε παρασκευασάμενος, ὡς τούτοις ὑμᾶς διαφθερῶν καὶ πείσων πάλιν κύριον αὐτὸν ποιῆσαι τῆς πόλεως, τούτῳ ἐγὼ τὴν δίκην ἐπιθεὶς πῶς ἂν δικαίως ὑφ' ὑμῶν ἀποθάνοιμι; Καὶ γὰρ οἱ μὲν ὅπλοις βιασθέντες βλάπτονται μέν, οὐ μέντοι ἄδικοί γε ἀναφαίνονται· οἱ δὲ χρήμασι παρὰ τὸ βέλτιστον διαφθαρέντες ἅμα μὲν βλά-
10 πτονται, ἅμα δὲ αἰσχύνῃ περιπίπτουσιν. Εἰ μὲν τοίνυν ἐμοὶ μὲν πολέμιος ἦν, ὑμῖν δὲ φίλος, κἀγὼ ὁμολογῶ μὴ καλῶς ἄν μοι ἔχειν παρ' ὑμῖν τοῦτον ἀποκτεῖναι· ὁ δὲ ὑμᾶς προδιδοὺς τί ἐμοὶ πολεμιώτερος ἦν ἢ ὑμῖν; Ἀλλὰ νὴ Δία, εἴποι ἄν τις, ἑκὼν ἦλθε. Κᾆτα εἰ μὲν

εἱλ. ἀντ' ἐκ. — ἀπροφάσιστος Schneid., ἀπροφασίστως ceteri. — μὲν post δούλους addunt H. I. V. Dind. — A. edd. vett. ἐποίησεν pro ἐποίει. — οὗτοι δὲ C. D. E. V. Schneid. Dind. pro οὗτοι δή.

§. 9. τὰ ὅπλα C. D. E. F. V. Dind. post ἔθετο, ceteri post ἁρμοστῇ ponunt. — ἀκροπόλεως C. D. E. F. I. marg. Leoncl. Schneid. Dind. pro πόλεως. — βέλτιστον D. F. H. I. V. marg. Leoncl. Dind. pro δίκαιον; E. βέλτιον.

§. 10. παρ' ὑμῖν τοῦτον D. E. F. V. Dind. pro τοῦτον παρ' ὑμῖν. — ἄν τις D. H. V. Dind. pro τις ἄν. — D. Schneid. ἀπεχόμενος. —

Dindorf. V. etiam Kuehner. ad Anab. I, 9, 29.

*καὶ μήν*] V. ad III, 5, 10.

*ἀπροφάσιστος*] Schneider. comparat Cyrop. II, 4, 10. Ages. VI, 4. XI, 13. Hipparch. II, 9. His locis et ubique ἀπροφασίστως est sine excusatione, quae quidem significatio aliena est ab h. l. De re ipsa v VII, 1, 46.

§. 9. *παρὰ τὸ βέλτιστον*] Cf. Cyrop. V, 1, 9: πράττειν παρὰ τὸ βέλτιστον, praeter honestatem. Comment. IV, 4, 3. 4 est πράττειν τὰ βέλτιστα et πράττειν τὰ κάλλιστα.

§. 10. *ἑκών*] sponte sua,

ἀπεχόμενον τῆς ὑμετέρας πόλεως ἀπέκτεινέ τις αὐτόν, ἐπαίνου ἂν ἐτύγχανε· νῦν δὲ ὅτι πάλιν ἦλθεν ἄλλα πρὸς τοῖς πρόσθεν κακὰ ποιήσων, οὐ δικαίως φησί τις αὐτὸν τεθνάναι; ποῦ ἔχων Ἕλλησι σπονδὰς ἀποδεῖξαι ἢ προδόταις ἢ παλιναυτομόλοις ἢ τυράννοις; Πρὸς δὲ 11
τούτοις ἀναμνήσθητε, ὅτι καὶ ἐψηφίσασθε δήπου τοὺς φυγάδας ἀγωγίμους εἶναι ἐκ πάντων τῶν συμμάχων. Ὅςτις δὲ ἄνευ κοινοῦ τῶν συμμάχων δόγματος κατέρχεται φυγάς, τοῦτον ἔχοι τις ἂν εἰπεῖν ὅπως οὐ δίκαιόν ἐστιν ἀποθνήσκειν; Ἐγώ φημι, ὦ ἄνδρες, ἀποκτείναντας μὲν ὑμᾶς ἐμὲ τετιμωρηκότας ἔσεσθαι ἀνδρὶ τῷ πάντων ὑμῖν πολεμιωτάτῳ· γνόντας δὲ δίκαια πεποιηκέναι αὐτοὺς τετιμωρηκότας φανεῖσθαι ὑπέρ τε ὑμῶν αὐτῶν καὶ ὑπὲρ τῶν συμμάχων ἁπάντων.

Οἱ μὲν οὖν Θηβαῖοι ταῦτα ἀκούσαντες ἔγνωσαν 12
δίκαια τὸν Εὔφρονα πεπονθέναι· οἱ μέντοι πολῖται αὐτοῦ ὡς ἄνδρα ἀγαθὸν κομισάμενοι ἔθαψάν τε ἐν τῇ ἀγορᾷ καὶ ὡς ἀρχηγέτην τῆς πόλεως σέβονται. Οὕτως,

*ὑμετ. πόλεως* C. H. I. V. Schneid. Dind., *ἡμετ. πόλ.* D. E. F., *πόλεως ὑμῶν* ceteri. — Schaef. Dind. *ὅτε πάλιν.* — *παλιναυτομόλοις* V. Dind. pro *πάλιν αὐτομόλοις.*

§. 11. *πάντων* pro *πασῶν* D. F. I. V. — *συμμάχων* F. H. I. marg. Leoncl. Dind. pro *συμμαχίδων*, D. *συνόδων.* — *κατέρχεται* C. D. E. F. H. V. Schneid. Dind. pro *κατέρχηται.*

§. 12. *αὐτοῦ* D. E. F. marg. Leoncl. Dind. pro *αὐτὸν.* — *ἑαυτῶν* D. V. Schneid. Dind. pro *αὐτῶν.*

non coactus, non captivus. Ergo hospitii iure tutus esse debebat. Cui dicto Sicyonius opponit: ergo procul ab urbe vestra iure esset interfectus, in ipsa urbe per nefas occisus est? Immo, sive intra sive extra urbem (*ἀπεχόμενον — πόλεως*) deprehensus merito interficitur tyrannus ac proditor.

*κᾆτα*] Particulae *εἶτα* et *ἔπειτα* inserviunt commovendae admirationi. V. adn. ad Oecon. II, 4. Comment. I, 2, 26. Est nostrum *also.*

*ὅτι*] Nihil mutandum. Sensus est: nunc, quod iterum venit —, num quis hanc non fuisse iustam causam putet eum interficiendi.

*ποῦ ἔχων — ἀποδεῖξαι*] Haec referas ad *φησί.* Ad *σπονδὰς* intellige *οὔσας.*

§. 11. *ἀγωγίμους*] Quando decreto populi damnatur aliquis ea lege, ut, si ad socios effugerit, iure inde detrahi possit et debeat tunc *ἀγώγιμος ἐκ τῶν συμμάχων ἐστί.* Plut. Lysand. XXVII Schneider.

*πεποιηκέναι*] Repetas *ἐμέ.*

§. 12. *ἀρχηγέτην τῆς πόλεως*] numen tutelare patriae. Sic verbum hoc intelligi posse, ex hoc Hesychii loco apparet: *ἀρχηγέται, ἥρωες ἐπώνυμοι τῶν φυλῶν, ἢ θεοὶ ἐν Ἀθήναις.* Xenophon hoc voluit,

ὡς ἔοικεν. οἱ πλεῖστοι ὁρίζονται τοὺς εὐεργέτας ἑαυτῶν ἄνδρας ἀγαθοὺς εἶναι.

Euphronem a civibus suis eodem loco habitum esse, quo Athenis habiti sunt ἥρωες ἐπώνυμοι seu ἀρχηγέται. Morus.

# CAPUT IV.

## ARGUMENTUM.

Oropum, sociam Atheniensium civitatem, exsules occupant. Arcades suasu Lycomedis de societate cum Atheniensibus agunt eamque obtinent. Eodem tempore Athenienses frustra Corinthi imperium affectabant. Quum vero Corinthii de rebus suis iam magis solliciti laborarent, foedus fecerunt cum Lacedaemoniis et Thebanis hac lege, ut, quantum in ipsis esset, ab omni bello abstinerent. Eodem tempore Dionysius iunior Lacedaemoniis misit duodecim triremes, quibus illi adiuti Sellasiam oppugnarunt. Elei Lasionem Arcadum urbem ut antiquitus suam occupant. Arcades Elidem urbem occupant, ex qua tamen mox sunt eiecti. Discordia Elei dudum laborabant. Unde Arcades ab alterutra factione adiuti facilius reliquos superabant. Postea quum Achaei ad societatem Eleorum accessissent et eorum urbem cum praesidio tuerentur, Arcades quum accepissent Pellenenses Elidem tueri, Olurum occupant, e quo ipsi tamen vi sunt expulsi. Nova expeditio Arcadum feliciter cedit. Iam Lacedaemonii ab Eleis excitati ad bellum adversus Arcades Archidamo duce Cromnum occupant praesidioque relicto domum redeunt. Arcades statim Cromnum obsident. Denuo igitur mittitur Archidamus: sed rem gerit infeliciter. Interim ipsi Elei vincunt et Pylum expugnant. Iam Lacedaemonii noctu Cromnum profecti vallum occupant et suos ex urbe evocant. Sed quum Arcades concurrerent, plus centum praesidiariorum in eorum venerunt potestatem. Sequitur tempus ludorum Olympicorum, quos Arcades cum Pisatis apparare coeperunt. Sed Elei prope Olympiam inusitata fortitudine cum iis conflixerunt et paene e loco sacro deiecerunt. Sed tamen quum postridie vallo et fossa locum viderent munitum, Elidem redierunt. Quum Arcadum principes pecunia Olympicis sacris dicata abuterentur ad numerandum Eparitis stipendium, Mantineenses primi, post et alii huic sacrilegio obsistere coeperunt. Hinc magni motus. Nam illi acrius causam acturi Thebanorum auxilia requirunt. Publico tamen decreto Thebani rogati sunt, ne iam copias in Arcadiam mitterent, et pace cum Eleis restituta iam convivia securi et laeti Tegeae celebrabant. Sed principes illi et praefectus quidam Thebanorum quam plurimos convivantium comprehen-

sos in custodiam duxerunt. Plurimi autem imprimis Mantineensium, qui praeter ceteros custodiri debebant, quum elapsi essent, res aliter atque illi voluerant, cecidit. Imprimis Thebanus ille ab Arcadibus domi accusatus laborabat. Sed Epaminondas eius causae favens durum dedit legatis responsum: bellum Boeotos Arcadiae illaturos, quod sine ipsorum auctoritate pacem fecissent.

---

1 *Καὶ τὰ μὲν περὶ Εὔφρονος εἴρηται· ἐγὼ δὲ ἔνθεν εἰς ταῦτα ἐξέβην ἐπάνειμι. Ἔτι γὰρ τειχιζόντων τῶν* A. 366 *Φλιασίων τὴν Θυαμίαν καὶ τοῦ Χάρητος ἔτι παρόντος, Ὠρωπὸς ὑπὸ τῶν φευγόντων κατελήφθη. Στρατευσαμένων δὲ πάντων Ἀθηναίων ἐπ' αὐτὸν καὶ τὸν Χάρητα μεταπεμψαμένων ἐκ τῆς Θυαμίας, ὁ μὲν λιμὴν αὖ ὁ τῶν Σικυωνίων πάλιν ὑπ' αὐτῶν τε τῶν πολιτῶν καὶ τῶν Ἀρκάδων ἁλίσκεται· τοῖς δ' Ἀθηναίοις οὐδεὶς τῶν συμμάχων ἐβοήθησεν, ἀλλ' ἀνεχώρησαν Θηβαίοις παρακαταθέμενοι τὸν Ὠρωπὸν μέχρι δίκης.*

2 *Καταμαθὼν δὲ ὁ Λυκομήδης μεμφομένους τοὺς Ἀθηναίους τοῖς συμμάχοις, ὅτι αὐτοὶ μὲν πολλὰ πράγματα εἶχον δι' ἐκείνους, ἀντεβοήθησε δ' αὐτοῖς οὐδείς, πείθει τοὺς μυρίους πράττειν περὶ συμμαχίας πρὸς αὐτούς. Τὸ μὲν οὖν πρῶτον ἐδυσχέραινόν τινες τῶν Ἀθηναίων τὸ Λακεδαιμονίοις ὄντας φίλους γενέσθαι τοῖς ἐναντίοις αὐτῶν συμμάχους· ἐπειδὴ δὲ λογιζόμενοι εὕρισκον οὐδὲν μεῖον Λακεδαιμονίοις ἢ σφίσιν ἀγαθὸν τὸ Ἀρκάδας μὴ προςδεῖσθαι Θηβαίων, οὕτω δὴ*

Cap. IV. §. 1. Ante *Ὠρωπὸς* om. *ὁ* D. V. Dind.
§. 2. *ἐπειδὴ δὲ* D. V. Dind. pro *ἐπεὶ δὲ*.

Cap. IV. §. 1. *ἐξέβην*] V. ad VI, 1, 19.

*τειχιζόντων — Θυαμίαν*] V. VII, 2, 1. 23.

*ὑπὸ τῶν φευγόντων*] ab exsulibus Oropiis, qui ab Eretriensibus hospitio excepti deinde a Themisone Eretriae tyranno adiuti Oropum ceperunt. Diod. XV, 76 autem narrat, quum Athenienses contra Themisonem profecti essent, auxilio venisse Thebanos et occupatam urbem Oropum Themisoni non reddidisse. V. Grot. H. G. V. p. 537.

*αὖ — πάλιν*] V. ad IV, 8, 35.

*μέχρι δίκης*] „donec iure disceptari de possessione urbis posset.“ Brod. Antiquitus enim de hac urbe in confinio Thebanorum et Atheniensium sita disceptabatur ab utrisque.

§. 2. *ὁ Λυκομήδης*] V. VII, 1, 23.

*τοὺς μυρίους*] V. VII, 1, 38.

*εὕρισκον — ἀγαθόν*] De omisso *ὄν* v. ad II, 3, 26.

*οὕτω δή*] V. ad III, 2, 9. 12. VII, 1, 2.

3 προςεδέχοντο τὴν τῶν Ἀρκάδων συμμαχίαν. Καὶ Λυ-
κομήδης ταῦτα πράττων, ἀπιὼν Ἀθήνηθεν δαιμονιώ-
τατα ἀποθνήσκει. Ὄντων γὰρ παμπόλλων πλοίων,
ἐκλεξάμενος τούτων ὃ ἐβούλετο καὶ συνθέμενος τοίνυν
ἀποβιβάσαι ὅποι αὐτὸς κελεύοι, εἵλετο ἐνταῦθα ἐκβῆ-
ναι, ἔνθα οἱ φυγάδες ἐτύγχανον ὄντες. Κἀκεῖνος μὲν
οὕτως ἀποθνήσκει, ἡ μέντοι συμμαχία ὄντως ἐπεραί-
νετο.

4 Εἰπόντος δὲ Δημοτίωνος ἐν τῷ δήμῳ τῶν Ἀθη-
ναίων, ὡς ἡ μὲν πρὸς τοὺς Ἀρκάδας φιλία καλῶς αὐτῷ
δοκοίη πράττεσθαι, τοῖς μέντοι στρατηγοῖς προςτάξαι
ἔφη χρῆναι, ὅπως καὶ Κόρινθος σῴα ᾖ τῷ δήμῳ τῶν
Ἀθηναίων· ἀκούσαντες δὲ ταῦτα οἱ Κορίνθιοι, ταχὺ
πέμψαντες ἱκανοὺς φρουροὺς ἑαυτῶν πάντοσε ὅπου
Ἀθηναῖοι ἐφρούρουν εἶπαν αὐτοῖς ἀπιέναι, ὡς οὐδὲν
ἔτι δεόμενοι φρουρῶν. Οἱ δ' ἐπείθοντο. Ὡς δὲ συν-
ῆλθον οἱ ἐκ τῶν φρουρίων Ἀθηναῖοι εἰς τὴν πόλιν,
ἐκήρυξαν οἱ Κορίνθιοι, εἴ τις ἀδικοῖτο Ἀθηναίων, ἀπο-
5 γράφεσθαι, ὡς ληψομένους τὰ δίκαια. Οὕτω δὲ τού-
των ἐχόντων, Χάρης ἀφικνεῖται μετὰ ναυτικοῦ πρὸς
Κεγχρίας. Ἐπεὶ δ' ἔγνω τὰ πεπραγμένα, ἔλεξεν, ὅτι

§. 3. ὄντως D. I. V. sec. m. marg. Leoncl. Steph. Wells. Dind. pro οὕτως; Wyttenb. coni. ὅμως.

§. 4. Ante Κόρινθος om. ἡ D. E. V. Dind. — δὲ post ἀκούσαντες addunt D. E. F. V. Dind. — ταχὺ πέμψ. D. E. F. V. Dind. pro πέμψ. ταχύ. — Ἀθην. ἐφρούρουν D. E. F. I. V. Dind. pro ἐφρ. Ἀθην. — εἶπαν C. D. E. F. I. V. Y. pro εἶπον.

§. 5. Ante ναυτικοῦ om. τοῦ C. D. E. F. I. V. Dind. — Ante Κεγχρίας om. τὰς C. D. E. F. I. V. Dind. — A. Ald. Iunt. Cast. Κεγχρείας, Steph. et edd. ante Dind. Κεγχρέας.

§. 3. *δαιμονιώτατα*] manifesto quodam dei consilio.

*καὶ — τοίνυν*] Transitum efficiens τοίνυν simul quodammodo concludit. V. ad Oecon. V, 2. X, 1. XVI, 7. Cyrop. II, 2, 24.

*ἀποβιβάσαι*] αὐτόν.

§. 4. *τοῖς μέντοι — ἔφη*] quasi antecessisset Ἐπεὶ δὲ εἶπε Δημοτίων. Eandem constructionem vidimus III, 5, 23. Perperam vero cum h. l. Dindorf. comparat IV, 8, 9, ubi alterum ἔφη efficit apodosin. Hic autem apodosis loco sunt ἀκούσαντες δὲ ταῦτα — εἶπαν eodem modo, quo V, 1, 28: ὁ δὲ Ἀνταλκίδας — ἐκράτει et VI, 1, 13: ὁ δ' ἐπαινέσας με — ἀφῆκε.

*ὅπως — ᾖ*] De coniunctivo v. ad I, 1, 4. 6, 4.

*σῴα*] integra, certa.

*εἶπαν*] V. ad III, 5, 24.

*ἀπογράφεσθαι*] nomina sua profiterentur perscribenda.

*ὡς ληψομένους*] per synesin ad εἴ τις referendum.

ἀκούσας ἐπιβουλεύεσθαι τῇ πόλει βοηθῶν παρείη. Οἱ δ' ἐπαινέσαντες αὐτὸν οὐδέν τι μᾶλλον ἐδέχοντο τὰς ναῦς εἰς τὸν λιμένα, ἀλλ' ἀποπλεῖν ἐκέλευον· καὶ τοὺς ὁπλίτας δὲ τὰ δίκαια ποιήσαντες ἀπέπεμψαν. Ἐκ μὲν οὖν τῆς Κορίνθου οἱ Ἀθηναῖοι οὕτως ἀπηλλάγησαν.
Τοῖς μέντοι Ἀρκάσι πέμπειν ἠναγκάζοντο τοὺς ἱππέας 6
ἐπικούρους διὰ τὴν συμμαχίαν, εἴ τις στρατεύοιτο ἐπὶ τὴν Ἀρκαδίαν· τῆς δὲ Λακωνικῆς οὐκ ἐπέβαινον ἐπὶ πολέμῳ.

Τοῖς δὲ Κορινθίοις ἐνθυμουμένοις, ὡς χαλεπῶς ἔχοι αὐτοὺς σωθῆναι, κρατουμένους μὲν καὶ πρόσθεν κατὰ γῆν, προσγεγενημένων δὲ αὐτοῖς Ἀθηναίων ἀνεπιτηδείων, ἔδοξεν ἀθροίζειν καὶ πεζοὺς καὶ ἱππέας μισθοφόρους. Ἡγούμενοι δὲ τούτων ἅμα μὲν τὴν πόλιν ἐφύλαττον, ἅμα δὲ πολλὰ τοὺς πλησίον πολεμίους κακῶς ἐποίουν· εἰς μέντοι Θήβας ἔπεμψαν ἐπερησομένους, εἰ τύχοιεν ἂν ἐλθόντες εἰρήνης. Ἐπεὶ δὲ οἱ Θη- 7
βαῖοι ἰέναι ἐκέλευον, ὡς ἐσομένης, ἐδεήθησαν οἱ Κορίνθιοι ἐᾶσαι σφᾶς ἐλθεῖν καὶ ἐπὶ τοὺς συμμάχους, ὡς μετὰ μὲν τῶν βουλομένων ποιησόμενοι τὴν εἰρήνην, τοὺς δὲ πόλεμον αἱρουμένους ἐάσοντες πολεμεῖν. Ἐφέντων δὲ καὶ ταῦτα πράττειν τῶν Θηβαίων, ἐλθόντες εἰς 8
Λακεδαίμονα οἱ Κορίνθιοι εἶπον, Ἡμεῖς, ὦ ἄνδρες Λακεδαιμόνιοι, πρὸς ὑμᾶς πάρεσμεν ὑμέτεροι φίλοι, καὶ

§. 6. πέμπειν ἠναγκ. D. E. V. Dind. pro ἠναγκ. πέμπειν. — κρατουμένους D. I. V. marg. Leoncl. Dind. pro κεκρατημένους, C. E. κρατημένους. — πολλὰ D. E. F. I. V. Dind., πλησίον iidem et C. addunt. — ἐλθ. εἰρήνης D. E. F. V. Dind. pro εἰρ. ἐλθ.

§. 7. ἐσομένης Leoncl. Mor. edd. sqq. pro ἐσομένων. — τοὺς δὲ πόλεμον F. Dind., τούς τε πόλ. C. D. E. I. V. Leoncl. Steph., τοὺς τὸν πολ. ceteri. — αἱρουμένους C. D. E. F. I. V. marg. Leoncl. Dind. pro αἱρησομένους.

§. 8. F. οἱ ὑμέτεροι. — ἡμῖν et ἡμέτερα D. E. Weisk. edd. sqq.

§. 5. βοηθῶν] non βοηθήσων. V. ad III, 2, 13.

τοὺς ὁπλίτας] qui antea ἐκ τῶν φρουρίων εἰς τὴν πόλιν convenerant.

§. 6. ἠναγκάζοντο — εἴ τις στρατεύοιτο] Ex causa foederis tenebantur, ut, si quis Arcadiae bellum intulisset, equites — mitterent.

ἐπὶ πολέμῳ] inferendi belli causa. ἐπὶ πολέμου, quod cod. V. habet supra scriptum, esset belli tempore.

κρατουμένους — πρόσθεν] V. ad V, 1, 1.

§. 7. ὡς ἐσομένης] V. ad III, 4, 1. 23.

ἀξιοῦμεν, εἰ μέν τινα ὁρᾶτε σωτηρίαν ἡμῖν, ἐὰν διακαρτερῶμεν πολεμοῦντες, διδάξαι καὶ ἡμᾶς· εἰ δὲ ἀπόρως γιγνώσκετε ἔχοντα τὰ ἡμέτερα, εἰ μὲν καὶ ὑμῖν συμφέρει, ποιήσασθαι μεθ' ἡμῶν τὴν εἰρήνην· ὡς οὐδὲ μετ' οὐδένων ἂν ἥδιον ἢ μεθ' ὑμῶν σωθείημεν· εἰ μέντοι ὑμεῖς λογίζεσθε συμφέρειν ὑμῖν πολεμεῖν, δεόμεθα ὑμῶν ἐᾶσαι ἡμᾶς εἰρήνην ποιήσασθαι. Σωθέντες μὲν γὰρ ἴσως ἂν αὖθις ἔτι ποτὲ ἐν καιρῷ ὑμῖν γενοίμεθα· ἐὰν δὲ νῦν ἀπολώμεθα, δῆλον, ὅτι οὐδέποτε χρήσιμοι
9 ἔτι ἐσόμεθα. Ἀκούσαντες δὲ ταῦτα οἱ Λακεδαιμόνιοι τοῖς τε Κορινθίοις συνεβούλευον τὴν εἰρήνην ποιήσασθαι καὶ τῶν ἄλλων συμμάχων ἐπέτρεψαν τοῖς μὴ βουλομένοις σὺν ἑαυτοῖς πολεμεῖν ἀναπαύεσθαι· αὐτοὶ δ' ἔφασαν πολεμοῦντες πράξειν ὅ τι ἂν τῷ θεῷ φίλον ᾖ· ὑφήσεσθαι δὲ οὐδέποτε, ἣν παρὰ τῶν πατέρων παρέλαβον Μεσσήνην, ταύτης στερηθῆναι. Οἱ οὖν Κορίνθιοι ἀκούσαντες ταῦτα ἐπορεύοντο εἰς τὰς Θήβας ἐπὶ τὴν εἰρήνην. Οἱ μέντοι Θηβαῖοι ἠξίουν αὐτοὺς καὶ συμμαχίαν ὀμνύναι· οἱ δὲ ἀπεκρίναντο, ὅτι ἡ μὲν συμμαχία οὐκ εἰρήνη, ἀλλὰ πολέμου μεταλλαγὴ εἴη· εἰ δὲ βούλοιντο, παρεῖναι ἔφασαν τὴν δικαίαν εἰρήνην ποιησόμενοι. Ἀγασθέντες δὲ αὐτοὺς οἱ Θηβαῖοι, ὅτι καίπερ ἐν κινδύνῳ ὄντες οὐκ ἤθελον τοῖς εὐεργέταις εἰς πόλεμον καθίστασθαι, συνεχώρησαν αὐτοῖς καὶ Φλιασίοις

pro ὑμῖν et ὑμετ. — ἂν post ἴσως addunt C. D. E. F. H. I. Leoncl. edd. sqq. praeter Morum. — χρήσιμοι ἔτι D. E. F. V. Dind. pro ἔτι χρήσ.

§. 8. *σωτηρίαν ἡμῖν*] οὖσαν. V. ad §. 2.

*μεθ' ἡμῶν*] una nobiscum.

*ὡς*] nam.

*οὐδὲ μετ' οὐδένων*] Dindorf. sine causa negationum cumulatione offensus postulat aut μετ' οὐδένων omisso οὐδὲ, aut ἡμεῖς μετ' οὐδένων, aut οὐδὲ μεθ' ἕνων. Hoc postremum fortasse in mente habebat Xenophon; sed ut fortius negaretur, οὐδένων posuit pro ἕνων.

*ἐν καιρῷ*] V. ad III, 4, 9.

§. 9. *ὑφήσεσθαι — στερηθῆναι*] nunquam se subiicientes permissuros esse, ut —. Sic haec recte interpretatur Kuehner. ad Anab. VI, 6, 31: ἡ στρατιά σοι ὑφεῖτο ὅ τι ἐβούλου ποιῆσαι. „Non enim ὑφίεσθαι simpliciter significat permittere (ἐφιέναι), sed adiunctam habet notionem subiiciendi se alicuius voluntati.“

*Μεσσήνην*] V. VII, 1, 27.

§. 10. *δικαίαν*] iustam, h. e. iustis, aequis conditionibus.

*καίπερ ἐν κινδύνῳ ὄντες*] scil. belli societatem cum Thebanis ineundam respuentes.

*τοῖς εὐεργέταις*] Lacedaemoniis.

καὶ τοῖς ἐλθοῦσι μετ' αὐτῶν εἰς Θήβας τὴν εἰρήνην ἐφ' ᾧτε ἔχειν τὴν ἑαυτῶν ἑκάστους. Καὶ ἐπὶ τούτοις ὠμόσθησαν οἱ ὅρκοι. Οἱ μὲν δὴ Φλιάσιοι, ἐπεὶ οὕτως 11
ἡ σύμβασις ἐγένετο, εὐθὺς ἀπῆλθον ἐκ τῆς Θυαμίας· οἱ δὲ Ἀργεῖοι ὀμόσαντες ἐπὶ τοῖς αὐτοῖς τούτοις εἰρήνην ποιήσασθαι, ἐπεὶ οὐκ ἐδύναντο καταπρᾶξαι, ὥστε τοὺς τῶν Φλιασίων φυγάδας μένειν ἐν τῷ Τρικαράνῳ ὡς ἐν τῇ ἑαυτῶν πόλει ἔχοντας, παραλαβόντες ἐφρούρουν, φάσκοντες σφετέραν τὴν γῆν ταύτην εἶναι, ἣν ὀλίγῳ πρότερον ὡς πολεμίαν οὖσαν ἐδῄουν. Καὶ δίκας τῶν Φλιασίων προςκαλουμένων οὐκ ἐδίδοσαν.

Σχεδὸν δὲ περὶ τοῦτον τὸν χρόνον τετελευτηκότος 12
ἤδη τοῦ πρόσθεν Διονυσίου ὁ υἱὸς αὐτοῦ πέμπει βοήθειαν τοῖς Λακεδαιμονίοις δώδεκα τριήρεις καὶ ἄρχοντα αὐτῶν Τιμοκράτην. Οὗτος δ' οὖν ἀφικόμενος συνεξαιρεῖ αὐτοῖς Σελλασίαν· καὶ τοῦτο πράξας ἀπέπλευσεν οἴκαδε.

Μετὰ δὲ τοῦτο οὐ πολλῷ ὕστερον καταλαμβάνουσιν οἱ Ἠλεῖοι Λασιῶνα, τὸ μὲν παλαιὸν ἑαυτῶν ὄντα, ἐν δὲ τῷ παρόντι συντελοῦντα εἰς τὸ Ἀρκαδικόν. Οἱ μέν- 13
τοι Ἀρκάδες οὐ παρωλιγώρησαν, ἀλλ' εὐθὺς παραγγείλαντες ἐβοήθουν. Ἀντεβοήθησαν δὲ καὶ τῶν Ἠλείων

§. 11. σύμβασις D. V. Dind. pro ξύμβ. — ἐδύναντο C. D. E. Cast. Dind. pro ἠδυν. — ἔχοντας C. D. E. F. V. Weisk. edd. sqq. pro ἔχοντες. — Ante τὴν γῆν om. καὶ D. F. I. V. Dind. — A. D. V. marg. Leoncl. Steph. Wells. προκαλουμένων.

§. 12. πρόσθεν C. D. E. F. I. V. Dind. pro προτέρου. — I. V. margg. Leoncl. et Steph. δ' αὖ pro δ' οὖν.

§. 13. τῶν Ἠλείων οἱ τριακ. καὶ ἔτι τετρακ. Dobr. Dind., τῶν Ἠλ. οἱ τετρακ. καὶ ἔτι τριακ. D. E. F. V., οἱ τῶν Ἠλ. τετρ. καὶ ἔτι τριακ.

§. 11. ὀμόσαντες — ποιήσασθαι] V. ad III, 5, 10.

ἑαυτῶν] ad Argivos referendum.

ἔχοντας] τὸ Τρικάρανον. Idem obiectum habent verba παραλαβόντες ἐφρούρουν.

δίκας] iungendum cum ἐδίδοσαν, non cum προςκαλουμένων. Nam προςκαλεῖσθαί τινα est in ius vocare aliquem. V. ad I, 7, 12. VII, 4, 38. Ergo ad προςκαλουμένων intelligendum est αὐτούς.

§. 12. τετελευτηκότος] a. 367. a. Ch.

Σελλασίαν] Cf. VI, 5, 27. Diod. XV, 64.

Λασιῶνα] V. ad III, 2, 30. Diod. XV; 77.

συντελοῦντα] scil. cum reliquis Triphyliae urbibus. Nam Diodorus appellat τῆς ὀνομαζομένης Τριφυλίας χωρίον ὀχυρόν.

§. 13. παραγγείλαντες] concitatis suis.

οἱ τριακόσιοι καὶ ἔτι τετρακόσιοι. Ἀντεστρατοπεδευμένων δὲ τὴν ἡμέραν ἐν ἐπιπεδεστέρῳ χωρίῳ τῶν Ἠλείων, τῆς νυκτὸς οἱ Ἀρκάδες ἀναβαίνουσιν ἐπὶ τὴν τοῦ ὑπὲρ τῶν Ἠλείων ὄρους κορυφήν· ἅμα δὲ τῇ ἡμέρα κατέβαινον ἐπὶ τοὺς Ἠλείους. Οἱ δὲ ἰδόντες ἅμα μὲν ἐξ ὑπερδεξίου προσιόντας, ἅμα δὲ πολλαπλασίους, ἐκ πολλοῦ μὲν ἀπελθεῖν ᾐσχύνθησαν, ὁμόσε δ' ἦλθον καὶ εἰς χεῖρας δεξάμενοι ἔφυγον· καὶ πολλοὺς μὲν ἄνδρας, πολλὰ δὲ ὅπλα ἀπώλεσαν κατὰ δυςχωρίας ἀποχωροῦντες.

14 Οἱ δὲ Ἀρκάδες διαπραξάμενοι ταῦτα ἐπορεύοντο
ἐπὶ τὰς τῶν Ἀκρωρείων πόλεις. Λαβόντες δὲ ταύτας
πλὴν Θραύστου ἀφικνοῦνται εἰς Ὀλυμπίαν καὶ περισταυρώσαντες τὸ Κρόνιον ἐνταῦθα ἐφρούρουν καὶ
ἐκράτουν τοῦ Ὀλυμπιακοῦ ὄρους· ἔλαβον δὲ καὶ Μαργανέας ἐνδόντων τινῶν. Οὕτω δὲ προκεχωρηκότων οἱ
μὲν Ἠλεῖοι αὖ παντάπασιν ἠθύμησαν, οἱ δὲ Ἀρκάδες
ἔρχονται ἐπὶ τὴν πόλιν. Καὶ μέχρι μὲν τῆς ἀγορᾶς ἦλθον· ἐκεῖ μέντοι ὑποστάντες οἵ τε ἱππεῖς καὶ οἱ ἄλλοι
αὐτῶν ἐκβάλλουσί τε αὐτοὺς καὶ ἀπέκτεινάν τινας καὶ
15 τρόπαιον ἐστήσαντο. Ἦν μὲν οὖν καὶ πρότερον διαφορὰ ἐν τῇ Ἤλιδι. Οἱ μὲν γὰρ περὶ Χάροπόν τε καὶ
Θρασωνίδαν καὶ Ἀργεῖον εἰς δημοκρατίαν ἦγον τὴν πόλιν, οἱ δὲ περὶ Στάλκαν τε καὶ Ἱππίαν καὶ Στρατόλαν
εἰς ὀλιγαρχίαν. Ἐπεὶ δ' οἱ Ἀρκάδες μεγάλην δύναμιν

ceteri. — *Ἀντεστρατοπεδευμένων* Dind. pro *ἀντιστρατευομένων*; E. *ἀντεστρατευομένων*, V. *ἀντιστρατοπεδευομένων*.

§. 14. *τὸ Κρόνιον* Dind. pro *τὸν Κρόνειον*; D. E. F. V. *τὸν Κρόνιον*. — Ante *προκεχωρηκότων* om. *τούτων* D. F. V. Dind. — *καὶ οἱ ἄλλοι αὐτῶν* D. E. F. I. V. marg. Leoncl. Dind. pro *καὶ ἄλλοι τινὲς αὐτῶν*.

***οἱ τριακόσιοι***] Fuit Eleorum exercitus ex certo equitum et peditum numero constitutus. *Οἱ τριακόσιοι* videntur esse pedites, quia §. 16 dicitur: *οἱ ἱππεῖς καὶ οἱ τριακόσιοι*. Schneider.

***ἐκ πολλοῦ***] ex longinquo. Cf. *ἐκ τοσούτου* IV, 4, 16.

§. 14. ***τῶν Ἀκρωρείων***] V. ad III, 2, 30. Adde Diod. XIV, 17.

***τὸ Κρόνιον***] quem montem adiacet Olympia.

***ἐνδόντων***] in manus tradere. Ages. II, 18. VII, 6. Thuc. IV, 76.

***προκεχωρηκότων***] V. ad II, 4, 29. V, 3, 27.

***τὴν πόλιν***] Elidem.

***οἱ ἄλλοι αὐτῶν***] civium Eleorum, qui intelliguntur ex antece-

ἔχοντες σύμμαχοι ἐδόκουν εἶναι τοῖς δημοκρατεῖσθαι βουλομένοις, ἐκ τούτου δὴ θρασύτεροι οἱ περὶ τὸν Χάροπον ἦσαν καὶ συνθέμενοι τοῖς Ἀρκάσιν ἐπιβοηθεῖν καταλαμβάνουσι τὴν ἀκρόπολιν. Οἱ δ' ἱππεῖς καὶ οἱ 16
τριακόσιοι οὐκ ἠμέλλησαν, ἀλλ' εὐθὺς ἐχώρουν ἄνω καὶ ἐκκρούουσιν αὐτούς· ὥςτ' ἔφυγον σὺν τῷ Ἀργείῳ καὶ Χαρόπῳ τῶν πολιτῶν περὶ τετρακοσίους. Οὐ πολὺ δ' ὕστερον οὗτοι παραλαβόντες τῶν Ἀρκάδων τινὰς καταλαμβάνουσι Πύλον. Καὶ πολλοὶ μέντοι πρὸς αὐτοὺς ἐκ τῆς πόλεως ἀπῄεσαν τοῦ δήμου, ἅτε χωρίον τε καλὸν καὶ μεγάλην ῥώμην τὴν τῶν Ἀρκάδων σύμμαχον ἔχοντας. Ἐνέβαλον δὲ καὶ ὕστερον εἰς τὴν χώραν τὴν τῶν Ἠλείων οἱ Ἀρκάδες, ὑπὸ τῶν φευγόντων ἀναπειθόμενοι, ὡς ἡ πόλις προςχωρήσοιτο. Ἀλλὰ τότε μὲν οἱ 17
Ἀχαιοὶ φίλοι γεγενημένοι τοῖς Ἠλείοις τὴν πόλιν αὐτῶν διεφύλαξαν· ὥςτε οἱ Ἀρκάδες οὐδὲν ἄλλο πράξαντες ἢ δῃώσαντες αὐτῶν τὴν χώραν ἀπῆλθον. Εὐθὺς μέντοι ἐκ τῆς Ἠλείας ἐξιόντες, αἰσθόμενοι τοὺς Πελληνεῖς ἐν Ἤλιδι ὄντας, νυκτὸς μακροτάτην ὁδὸν ἐλθόντες καταλαμβάνουσιν αὐτῶν Ὄλουρον· ἤδη γὰρ πάλιν προςεκεχωρήκεσαν οἱ Πελληνεῖς εἰς τὴν τῶν Λακεδαιμονίων συμμαχίαν. Ἐπεὶ δ' ᾔσθοντο τὰ περὶ Ὀλούρου, περι- 18
ελθόντες αὖ καὶ οὗτοι ὅπῃ ἐδύναντο εἰς τὴν αὐτῶν πόλιν Πελλήνην εἰςῆλθον. Καὶ ἐκ τούτου δὴ ἐπολέμουν τοῖς ἐν Ὀλούρῳ Ἀρκάσι τε καὶ τῷ ἑαυτῶν παντὶ δήμῳ

§. 16. ἠμέλλησαν D. pr. m. E. Schaef. Schneid. pro ἠμέλησαν, Dind. ἐμέλλησαν cum D. sec. m. — D. τριακοσίους pro τετρακοσίους. — ἔχοντας, suadente Moro, Schneid. edd. sqq. pro ἔχοντες. — καὶ ὕστ. D. E. F. V. Schneid. Dind. pro ὕστ. καί.

§. 17. φίλοι γεγενημ. τοῖς Ἠλ. D. F. Schneid. Dind. pro φίλοι τοῖς Ἠλ. γενόμενοι, C. φίλοι τοῖς Ἠλ. γεγενημένοι, V. φίλοι γεγενημ. τοῖς Ἀργείοις. — ἐξιόντες C. D. E. F. V. Dind. pro ἐξελθόντες. — Dind. Πελληνέας.

denti πόλιν. V. ad I, 4, 12. IV, 3, 2.

§. 15. συνθέμενοι — ἐπιβοηθεῖν] pacti cum Arcadibus de submittendis auxiliis.

§. 16. Πύλον] Eleam, diversam a maritima Pylo Messeniae. Schneider.

§. 17. Ὄλουρον] parvam Achaiae urbem Pellenensibus subiectam.

§. 18. περιελθόντες — ὅπῃ ἐδύναντο] circuitu facto qua quidem poterant.

τῷ ἑαυτῶν — δήμῳ] Cives igitur Oluri deprehensi ab Arcadibus cum his aut inviti aut sponte sua arma coniunxerant.

μάλα ὀλίγοι ὄντες· ὅμως δὲ οὐ πρόσθεν ἐπαύσαντο,
πρὶν ἐξεπολιόρκησαν τὸν Ὄλουρον.

19 Οἱ δ' αὖ Ἀρκάδες πάλιν ποιοῦνται ἄλλην στρα-
a. Ch. τείαν εἰς τὸν Ἦλιν. Μεταξὺ δὲ Κυλλήνης καὶ τῆς πό-
λεως στρατοπεδευομένοις αὐτοῖς ἐπιτίθενται οἱ Ἠλεῖοι,
ὑποστάντες δὲ οἱ Ἀρκάδες ἐνίκησαν αὐτούς. Καὶ Ἀν-
δρόμαχος μὲν ὁ Ἠλεῖος ἵππαρχος, ὅςπερ αἴτιος ἐδόκει
εἶναι τὴν μάχην συνάψαι, αὐτὸς αὐτὸν διέφθειρεν· οἱ
δ' ἄλλοι εἰς τὴν πόλιν ἀπεχώρησαν. Ἀπέθανε δὲ ἐν
ταύτῃ τῇ μάχῃ παραγενόμενος καὶ Σωκλείδης ὁ Σπαρ-
τιάτης· ἤδη γὰρ τότε οἱ Λακεδαιμόνιοι σύμμαχοι τοῖς
20 Ἠλείοις ἦσαν. Πιεζόμενοι δὲ οἱ Ἠλεῖοι ἐν τῇ ἑαυτῶν
ἠξίουν καὶ τοὺς Λακεδαιμονίους πέμποντες πρέσβεις
ἐπιστρατεύειν τοῖς Ἀρκάσι, νομίζοντες οὕτως ἂν μά-
λιστα ἀπολαβεῖν τοὺς Ἀρκάδας, εἰ ἀμφοτέρωθεν πολε-
μοῖντο. Καὶ ἐκ τούτου δὴ Ἀρχίδαμος στρατεύεται μετὰ
τῶν πολιτῶν καὶ καταλαμβάνει Κρῶμνον. Καταλιπὼν
δ' ἐν αὐτῷ φρουρὰν τῶν δώδεκα λόχων τρεῖς, οὕτως
21 ἐπ' οἴκου ἀνεχώρησεν. Οἱ μέντοι Ἀρκάδες, ὥςπερ ἔτυ-
χον ἐκ τῆς εἰς Ἦλιν στρατείας συνειλεγμένοι, βοηθή-
σαντες περιεσταύρωσαν τὸν Κρῶμνον διπλῷ σταυρώ-
ματι καὶ ἐν ἀσφαλεῖ ὄντες ἐπολιόρκουν τοὺς ἐν τῷ
Κρώμνῳ. Χαλεπῶς δὲ ἡ τῶν Λακεδαιμονίων πόλις
φέρουσα ἐπὶ τῇ πολιορκίᾳ τῶν πολιτῶν ἐκπέμπει στρα-
τιάν· ἡγεῖτο δὲ καὶ τότε Ἀρχίδαμος. Ἐλθὼν δὲ ἐδῄου

§. 18. ὅπῃ Dind. pro ὅποι. — Ante μάλα om. καὶ D. E. F. V. Dind. — οὐ πρόσθεν D. E. F. I. V. Dind. pro οὐδὲ πρόσθεν.

§. 19. F. ποιοῦνται καὶ ἄλλην. — Ante καὶ τῆς πολ. om. τε C. D. Schneid. Dind. — ἵππαρχος D. F. V. Schneid. Dind. pro ὕπαρχος. — Cast. Schneid. post εἶναι inserunt τοῦ. — τὴν μ. συνάψαι D. E. F. V. Dind. pro συν. τ. μάχην. — Σωκλείδης C. D. F. V. Dind. pro Σωκλείδας. — σύμμ. τ. Ἠλ. C. D. E. V. Dind. pro τ. Ἠλ. σύμμ.

§. 19. αἴτιος — συνάψαι] Cum infinitivo sine articulo τοῦ iungitur αἴτιος etiam VII, 5, 17. Anab. VI, 6, 8. Cyrop. I, 13. E Platone Sauppius ad Comment. IV, 4, 15 affert Lach. 191 C. 190 E. Cf. supra II, 3, 32: μεταίτιος. Kuehner. gr. §. 306. 1 c. Valet enim notio efficiendi in talibus adiectivis.

§. 20. ἀπολαβεῖν] Cf. I, 1, 16. ad ἀπειλημμένας.

Κρῶμνον] oppidulum prope Megalopolin situm.

τῶν δώδεκα λόχων] Aderant igitur tres morae, quae efficiunt duodecim lochos. V. VI, 4, 12. Cf. VII, 5, 10.

οὕτως] V. ad III, 2, 9.

καὶ τῆς Ἀρκαδίας ὅσα ἠδύνατο, καὶ τῆς Σκιρίτιδος καὶ
πάντα ἐποίει, ὅπως, εἰ δύναιτο, ἀπαγάγοι τοὺς πολιορ-
κοῦντας. Οἱ δὲ Ἀρκάδες οὐδέν τι μᾶλλον ἐκινοῦντο,
ἀλλὰ ταῦτα πάντα παρεώρων. Κατιδὼν δέ τινα λό- 22
φον ὁ Ἀρχίδαμος, δι' οὗ τὸ ἔξω σταύρωμα περιεβέ-
βλητο οἱ Ἀρκάδες, ἐνόμισεν ἑλεῖν ἂν τοῦτον καί, εἰ
τούτου κρατήσειεν, οὐκ ἂν δύνασθαι μένειν τοὺς ὑπὸ
τοῦτον πολιορκοῦντας. Κύκλῳ δὲ περιάγοντος αὐτοῦ
ἐπὶ τοῦτο τὸ χωρίον, ὡς εἶδον οἱ προθέοντες τοῦ Ἀρ-
χιδάμου πελτασταὶ τοὺς ἐπαρίτους ἔξω τοῦ σταυρώ-
ματος, ἐπιτίθενται αὐτοῖς, καὶ οἱ ἱππεῖς συνεμβάλλειν
ἐπειρῶντο. Οἱ δ' οὐκ ἐνέκλιναν, ἀλλὰ συντεταγμένοι
ἡσυχίαν εἶχον. Οἱ δ' αὖ πάλιν ἐνέβαλον. Ἐπεὶ δὲ
οὐδὲ τότε ἐνέκλιναν, ἀλλὰ καὶ ἐπήεσαν, ἤδη οὔσης πολ-
λῆς κραυγῆς, ἐβοήθει δὴ καὶ αὐτὸς ὁ Ἀρχίδαμος, ἐκτρα-
πόμενος κατὰ τὴν ἐπὶ Κρῶμνον φέρουσαν ἁμαξιτόν, εἰς
δύο ἄγων, ὥςπερ ἐτύγχανεν ἔχων. Ὡς δ' ἐπλησίασαν 23
ἀλλήλοις, οἱ μὲν σὺν τῷ Ἀρχιδάμῳ κατὰ κέρας, ἅτε καθ'

§. 21. ηδύνατο D. V., ἐδύνατο ceteri.

§. 22. A. C. E. F. edd. vett. om. ἂν post ἑλεῖν. — τοῦτον bis pro τοῦτο Leoncl. Steph. Schneid. edd. sqq. — τ. Ἀρχ. πελτ. D. E. F. I. Dind. pro πελτ. τ. Ἀρχ. — οἱ ante ἱππεῖς addunt Steph. Dind. — A. edd. vett. ἀνέκλιναν, F. ἔκλιναν pro ἐνέκλιναν. — Verba inter prius ἐνέκλιναν et ἀλλὰ καὶ media addunt D. I. V. Steph. Leoncl. Wells. Schneid. edd. sqq. — δὴ post ἐβοήθει D. V. Leoncl. Schneid. edd. sqq. pro δὲ. — ὁ Ἀρχ. pro Ἀρχ. D. E. F. V. Schneid. Dind. — ἄγων — ἔχων Schaef. Schneid. Dind. pro ἔχων — ἄγων.

§. 22. τὸ ἔξω σταύρωμα] Arcades Cromnum διπλῷ σταυρώματι cinxerant. Interius vallum tangebat ipsam urbem, exterius ductum erat per inferiorem partem collis, cuius superiori parte potiturus erat Archidamus.

ἐπαρίτους] Epariti sunt in exercitu Arcadum milites stipendiarii et mercenarii. Infra VII, 5, 3 legati etiam ex Eparitis mittuntur Lacedaemonem ab Arcadibus. Hesych.: Ἐπάριτοι τάγμα Ἀρκαδικὸν μαχιμώτατον καὶ παρὰ Ἀρκάσι δημόσιοι φύλακες. Stephan. Byz. hunc Xenophontis locum laudans Ἐπαρίτας appellat et ἔθνος Ἀρκαδίας esse dicit, nomine ab urbe Ἔπαρις ducto, quam tamen alibi nominatam legisse se ipse negat. Schneider. ad VII, 4, 33.

ἔξω τοῦ σταυρώματος] Evaserant ex duplici vallo, intra quod stabat exercitus Arcadum.

εἰς δύο] V. ad III, 1, 22.

§. 23. κατὰ κέρας] h. e. longo agmine et angusta fronte. Hunc ipsum locum explanatum quodammodo videmus in Hipparch. IV, 3: ἢν μέν γε διὰ στενῶν ὁδῶν ἐλαύνῃς, ἀπὸ παραγγέλσεως εἰς κέρας ἡγητέον· ἢν δὲ πλατείαις ἐπιτυγχάνῃς ὁδοῖς, ἀπὸ παραγγέλσεως αυ πλατυντέον τῆς φυλῆς ἑκάστης τὸ μέτωπον. Eodem sensu VI, 2, 30 est ἐπὶ κέρως, cui opponitur ἐπὶ φάλαγ-

ὁδὸν πορευόμενοι, οἱ δ' Ἀρκάδες ἀθρόοι συνασπιδοῦν-
τες. ἐν τούτῳ οὐκέτι ἐδύναντο οἱ Λακεδαιμόνιοι ἀντέ-
χειν τῷ τῶν Ἀρκάδων πλήθει, ἀλλὰ ταχὺ μὲν ὁ Ἀρχίδα-
μος ἐτέτρωτο τὸν μηρὸν διαμπάξ, ταχὺ δὲ οἱ μαχόμενοι
πρὸ αὐτοῦ ἀπέθνησκον, Πολυαινίδας τε καὶ Χίλων ὁ
τὴν ἀδελφὴν τοῦ Ἀρχιδάμου ἔχων, καὶ οἱ πάντες δὲ
24 αὐτῶν τότε ἀπέθανον οὐκ ἔλαττον τῶν τριάκοντα. Ὡς
δὲ κατὰ τὴν ὁδὸν ἀναχωροῦντες εἰς τὴν εὐρυχωρίαν
ἐξῆλθον, ἐνταῦθα δὴ Λακεδαιμόνιοι ἀντιπαρετάξαντο.
Καὶ μὴν οἱ Ἀρκάδες, ὥςπερ εἶχον, συντεταγμένοι ἕστα-
σαν καὶ πλήθει μὲν ἐλείποντο, εὐθυμότερον δὲ πολὺ
εἶχον, ἐπεληλυθότες ἀποχωροῦσι καὶ ἄνδρας ἀπεκτο-
νότες. Οἱ δὲ Λακεδαιμόνιοι μάλα ἀθύμως εἶχον, τε-
τρωμένον μὲν ὁρῶντες τὸν Ἀρχίδαμον, ἀκηκοότες δὲ
τὰ ὀνόματα τῶν τεθνηκότων, ἀνδρῶν τε ἀγαθῶν καὶ
25 σχεδὸν τῶν ἐπιφανεστάτων. Ὡς δὲ πλησίον ὄντων
ἀναβοήσας τις τῶν πρεσβυτέρων εἶπε, Τί δεῖ ἡμᾶς, ὦ
ἄνδρες, μάχεσθαι, ἀλλ' οὐ σπεισαμένους διαλυθῆναι;
ἄσμενοι δὴ ἀμφότεροι ἀκούσαντες ἐσπείσαντο. Καὶ οἱ
μὲν Λακεδαιμόνιοι τοὺς νεκροὺς ἀνελόμενοι ἀπῆλθον,
οἱ δ' Ἀρκάδες ἐπαναχωρήσαντες ἔνθα τὸ πρῶτον ἤρ-
ξαντο ἐπιέναι τρόπαιον ἐστήσαντο.

26 Ὡς δὲ οἱ Ἀρκάδες περὶ τὸν Κρῶμνον ἦσαν, οἱ ἐκ
τῆς πόλεως Ἠλεῖοι πρῶτον μὲν ἰόντες ἐπὶ τὴν Πύλον

§. 23. D. οἵγε pro τότε.

§. 24. ἕστασαν Dind., ἔστασαν D. F. I. V., ἔστησαν ceteri. — Post ἐπεληλυθότες om. δὴ D. E. F. V. Dind., A. C. edd. vett. ἐπελ. δὲ.

§. 25. ἀμφότεροι addunt D. E. F. V. Schneid. Dind.

§. 26. D. περὶ pro ἐπὶ. — περιτυγχ. C. D. E. F. I. marg. Leoncl.

γος, h. e. lata fronte, quod h. l. significatur per ἀθρόοι συνασπιδοῦντες, h. e. denso agmine et clypeis constipatis. Cf. VII, 5, 22. Kuehner. ad Anab. IV, 6, 6.

ἐτέτρωτο] De plusquamperfecto v. ad VII, 3, 7.

πρὸ αὐτοῦ] Haec de industria inter μαχόμενοι et ἀπέθνησκον sunt posita, ut ad utrumque referrentur. Aliter se habet VI, 4, 13.

τῶν τριάκοντα] De articulo v. ad VII, 2, 9. Infra §. 27: τῶν ἑκατόν.

§. 24. Καὶ μήν] At etiam. Cf. ad III, 5, 10.

εὐθυμότερον — πολύ] De collocatione verborum cf. ad II, 4, 34. II, 1, 11: ἔτι πλείω πολλῷ. Infra §. 37.

πλησίον ὄντων] τῶν Ἀρκάδων.

§. 25. τῶν πρεσβυτέρων] Spartanorum, ut videtur, qui timerent pugnam.

περιτυγχάνουσι τοῖς Πυλίοις ἀποκεκρουμένοις ἐκ τῶν
Θαλαμῶν. Καὶ προςελαύνοντες οἱ ἱππεῖς τῶν Ἠλείων
ὡς εἶδον αὐτούς, οὐκ ἠμέλλησαν, ἀλλ' εὐθὺς ἐμβάλ-
λουσι καὶ τοὺς μὲν ἀποκτιννύουσιν, οἱ δέ τινες αὐτῶν
καταφεύγουσιν ἐπὶ γήλοφον. Ἐπεὶ μέντοι ἦλθον οἱ πε-
ζοί, ἐκκόπτουσι καὶ τοὺς ἐπὶ τῷ λόφῳ καὶ τοὺς μὲν αὐ-
τοῦ ἀπέκτειναν, τοὺς δὲ καὶ ζῶντας ἔλαβον ἐγγὺς δια-
κοσίων. Καὶ ὅσοι μὲν ξένοι ἦσαν αὐτῶν, ἀπέδοντο,
ὅσοι δὲ φυγάδες, ἀπέσφαττον. Μετὰ δὲ ταῦτα τούς τε
Πυλίους, ὡς οὐδεὶς αὐτοῖς ἐβοήθει, σὺν αὐτῷ τῷ χω-
ρίῳ αἱροῦσι καὶ τοὺς Μαργανέας ἀναλαμβάνουσι. Καὶ 27
μὴν οἱ Λακεδαιμόνιοι ὕστερον αὖ ἐλθόντες νυκτὸς ἐπὶ
τὸν Κρῶμνον ἐπικρατοῦσι τοῦ σταυρώματος τοῦ κατὰ
τοὺς Ἀργείους, καὶ τοὺς πολιορκουμένους [τῶν Λακε-
δαιμονίων] εὐθὺς ἐξεκάλουν. Ὅσοι μὲν οὖν ἐγγύτατά
τε ἐτύγχανον ὄντες καὶ ὠξυλάβησαν, ἐξῆλθον· ὁπόσους
δὲ ἔφθασαν πολλοὶ τῶν Ἀρκάδων συμβοηθήσαντες,
ἀπεκλείσθησαν ἔνδον καὶ ληφθέντες διενεμήθησαν·
καὶ ἓν μὲν μέρος ἔλαβον Ἀργεῖοί, ἓν δὲ Θηβαῖοι, ἓν δὲ
Ἀρκάδες, ἓν δὲ Μεσσήνιοι. Οἱ δὲ σύμπαντες ληφθέν-
τες Σπαρτιατῶν τε καὶ περιοίκων πλείονες τῶν ἑκατὸν
ἐγένοντο.

Ἐπεί γε μὴν οἱ Ἀρκάδες ἐσχόλασαν ἀπὸ τοῦ Κρώ- 28

Schneid. Dind. pro ἐπιτυγχ. — Edd. ante Dind. ἀποκεκρουσμ. — ἐκ τῶν C. D. E. F. V. Dind. pro ἀπὸ τῶν. — ἠμέλλησαν D. V. Schaef. Schneid. Dind. pro ἠμέλησαν. — λόφῳ C. D. F. I. V. Schneid. Dind. pro γηλόφῳ, sed D. om. τῷ. — τοὺς μὲν αὐτοῦ D. V. Dind. pro τοὺς μὲν αὐτῶν.

§. 27. τοῦ κατὰ, iubente Schneidero, Dind., κατὰ Palmer. pro καὶ. — Edd. ante Dind. τούς τε Ἀργείους τε καί. — μὲν post ἓν addunt D. V. Schneid. Dind. — D. I. habent μέρος ante Ἀρκάδες. — πλείονες D. Cast. pro πλέονες.

§. 26. τῶν Θαλαμῶν] Steph. Byz. πόλις τῆς Μεσσηνίας, aliunde non cognita.

αὐτοῦ] hoc ipso loco.

ἐγγὺς διακοσίων] prope ducentos. V. Kuehner. ad Anab. V, 7, 9: ἐγγὺς μυρίων.

ἀπέδοντο — ἀπέσφαττον] De diversis temporibus v. ad III, 4, 24.

χωρίῳ] Pylo.

§. 27. τοῦ κατὰ τοὺς Ἀργείους] Sic recte. Nam Argivi faciebant cum Arcadibus.

[τῶν Λακεδαιμονίων]] Haec, postquam τοῦ κατὰ τοὺς Ἀργ. in καὶ τοὺς Ἀργ. depravatum erat, interpolata existimo ab eo, cui obsessi Lacedaemonii ab obsisses Argivis discernendi viderentur. Sed, ut nunc verba sunt, Lacedaemonios intelligendos esse per se patet ex §. 20, et mire dictum esset: Lacedaemonii evocabant obsessos Lacedaemoniorum.

μνον, πάλιν δὴ περὶ τοὺς Ἠλείους εἶχον καὶ τήν τε
Ὀλυμπίαν ἐῤῥωμενέστερον ἐφρούρουν καὶ ἐπιόντος
Ὀλυμπιακοῦ ἔτους παρεσκευάζοντο ποιεῖν τὰ Ὀλύμπια
σὺν Πισάταις τοῖς πρώτοις φάσκουσι προστῆναι τοῦ
ἱεροῦ. Ἐπεὶ δὲ ὅ τε μὴν ἧκεν, ἐν ᾧ τὰ Ὀλύμπια γίγνε-
ται, αἵ τε ἡμέραι, ἐν αἷς ἡ πανήγυρις ἀθροίζεται, ἐν-
ταῦθα δὴ οἱ Ἠλεῖοι ἐκ τοῦ φανεροῦ συσκευασάμενοι
καὶ παρακαλέσαντες Ἀχαιοὺς ἐπορεύοντο τὴν Ὀλυμπια-
29 κὴν ὁδόν. Οἱ δὲ Ἀρκάδες ἐκείνους μὲν οὐκ ἄν ποτε
ᾤοντο ἐλθεῖν ἐπὶ σφᾶς, αὐτοὶ δὲ σὺν Πισάταις διετί-
θεσαν τὴν πανήγυριν. Καὶ τὴν μὲν ἱπποδρομίαν ἤδη
ἐπεποιήκεσαν καὶ τὰ δρομικὰ τοῦ πεντάθλου· οἱ δ' εἰς
πάλην ἀφικόμενοι οὐκέτι ἐν τῷ δρόμῳ, ἀλλὰ μεταξὺ
τοῦ δρόμου καὶ τοῦ βωμοῦ ἐπάλαιον. Οἱ γὰρ Ἠλεῖοι
σὺν τοῖς ὅπλοις παρῆσαν ἤδη εἰς τὸ τέμενος. Οἱ δὲ
Ἀρκάδες ποῤῥωτέρω μὲν οὐκ ἀπήντησαν, ἐπὶ δὲ τοῦ
Κλαδάου ποταμοῦ παρετάξαντο, ὃς παρὰ τὴν Ἄλτιν
καταῤῥέων εἰς τὸν Ἀλφειὸν ἐμβάλλει. Καὶ σύμμαχοι
δὲ παρῆσαν αὐτοῖς, ὁπλῖται μὲν Ἀργείων εἰς δισχιλίους,
30 Ἀθηναίων δὲ ἱππεῖς περὶ τετρακοσίους. Καὶ μὴν οἱ
Ἠλεῖοι τἀπὶ θἄτερα τοῦ ποταμοῦ παρετάξαντο, σφα-
γιασάμενοι δὲ εὐθὺς ἐχώρουν. Καὶ τὸν πρόσθεν χρό-
νον εἰς τὰ πολεμικὰ καταφρονούμενοι μὲν ὑπ' Ἀρκά-
δων καὶ Ἀργείων, καταφρονούμενοι δὲ ὑπ' Ἀχαιῶν καὶ
Ἀθηναίων, ὅμως ἐκείνῃ τῇ ἡμέρᾳ τῶν μὲν συμμάχων
ὡς ἀλκιμώτατοι ὄντες ἡγοῦντο, τοὺς δ' Ἀρκάδας, τού-

§. 28. A. edd. ante Dind. ante *Πισάταις* addunt *τοῖς*. — *ἐν ᾧ* V. Dind. pro *ᾧ*. — Ante *Ἀχαιοὺς* om. *τοὺς* D. I. Dind.

§. 29. *σὺν τοῖς ὅπλοις παρῆσαν ἤδη* C. D. F. V. Dind. pro *παρ. ἤδη σ. τ. ὅπλοις*. — D. V. Ald. Leoncl. Steph. Wells. *Ἄλτην* pro *Ἄλτιν*.

§. 28. *Ὀλυμπιακοῦ ἔτους*] Olymp. 104, 1.

*τοῖς πρώτοις — τοῦ ἱεροῦ*] Diod. XV, 78: *Πισᾶται μὲν ἀνανεωσάμενοι τὸ παλαιὸν ἀξίωμα τῆς πατρίδος καί τισι μυθικαῖς καὶ παλαιαῖς ἀποδείξεσι χρώμενοι τὴν θέσιν τῆς Ὀλυμπιακῆς πανηγύρεως αὐτοῖς προςήκειν ἀπεφαίνοντο.*

§. 29. *ἐν τῷ δρόμῳ*] in stadio.

*τοῦ βωμοῦ*] quem accurate describit Paus. V, 13, 5. Erat ex cineribus victimarum accumulatus, Iovi Olympio sacratus.

*Ἄλτιν*] Haec erat pars interior *τοῦ τεμένους*, muro cincta, in sinistra ripa Cladai fluminis sita. V. Grot. H. G. V, p. 563.

§. 30. *τὸν πρόσθεν χρόνον — καταφρονούμενοι*] V. ad V, 1, 1.

τοις γὰρ πρώτοις συνέβαλον, καὶ εὐθὺς ἐτρέψαντο, καὶ
ἐπιβοηθήσαντας δὲ τοὺς Ἀργείους δεξάμενοι καὶ τού-
των ἐκράτησαν. Ἐπεὶ μέντοι κατεδίωξαν εἰς τὸ μεταξὺ 31
τοῦ βουλευτηρίου καὶ τοῦ τῆς Ἑστίας ἱεροῦ καὶ τοῦ
πρὸς ταῦτα προσήκοντος θεάτρου, ἐμάχοντο μὲν οὐδὲν
ἧττον καὶ ἐώθουν πρὸς τὸν βωμόν, ἀπὸ μέντοι τῶν
στοῶν τε καὶ τοῦ βουλευτηρίου καὶ τοῦ μεγάλου ναοῦ
βαλλόμενοι καὶ ἐν τῷ ἰσοπέδῳ μαχόμενοι, ἀποθνήσκου-
σιν ἄλλοι τε τῶν Ἠλείων καὶ αὐτὸς ὁ τῶν τριακοσίων
ἄρχων Στρατόλας. Τούτων δὲ πραχθέντων, ἀπεχώρη-
σαν εἰς τὸ αὑτῶν στρατόπεδον. Οἱ μέντοι Ἀρκάδες καὶ 32
οἱ μετ' αὐτῶν οὕτως ἐπεφόβηντο τὴν ἐπιοῦσαν ἡμέραν,
ὥςτε οὐδ' ἀνεπαύσαντο τῆς νυκτός, ἐκκόπτοντες τὰ
διαπεπονημένα σκηνώματα καὶ ἀποσταυροῦντες. Οἱ
δ' αὖ Ἠλεῖοι ἐπεὶ τῇ ὑστεραίᾳ προσιόντες εἶδον καρτε-
ρὸν τὸ τεῖχος καὶ ἐπὶ τῶν ναῶν πολλοὺς ἀναβεβηκότας,
ἀπῆλθον εἰς τὸ ἄστυ τοιοῦτοι γενόμενοι, οἵους τὴν
ἀρετὴν θεὸς μὲν ἂν ἐμπνεύσας δύναιτο καὶ ἐν ἡμέρᾳ
ἀποδεῖξαι, ἄνθρωποι δ' οὐδ' ἂν ἐν πολλῷ χρόνῳ τοὺς
μὴ ὄντας ἀλκίμους ποιήσειαν.

Χρωμένων δὲ τοῖς ἱεροῖς χρήμασι τῶν ἐν τοῖς Ἀρ- 33
κάσιν ἀρχόντων καὶ ἀπὸ τούτων τοὺς ἐπαρίτους τρε- A. 363
φόντων, πρῶτοι Μαντινεῖς ἀπεψηφίσαντο μὴ χρῆσθαι
τοῖς ἱεροῖς χρήμασι. Καὶ αὐτοὶ τὸ γιγνόμενον μέρος
εἰς τοὺς ἐπαρίτους ἐκ τῆς πόλεως ἐκπορίσαντες ἀπέ-

§. 30. D. πρῶτον pro πρώτοις. — F. συνέβαλλον.

§. 32. V. ἐπὶ τὸν ναὸν.

§. 33. μὴ χρῆσθαι τοῖς ἱεροῖς χρήμ. D. F. V. Dind. pro τοῖς ἱερ. χρημ. μὴ χρ. — V. ἔπεμψαν pro ἔπεμπον.

καὶ εὐθὺς — καὶ — δέ] V. ad V, 3, 5.

§. 31. τοῦ βουλευτηρίου] curiae, descriptae a Paus. VI, 23, 5.

ἐώθουν] propellebant hostes.

μαχόμενοι, ἀποθνήσκουσιν ἄλλοι τε — καὶ αὐτός] De constructione v. ad IV, 4, 1: ὁρῶντες —, οἱ πλεῖστοι αὐτῶν.

τῶν τριακοσίων] V. ad §. 13.

§. 32. σκηνώματα] tentoria, quibus excipiebantur qui adveniebant ad ludos visendos.

καὶ ἐν ἡμέρᾳ] vel die, h. e. vel (unius) diei spatio.

§. 33. τοὺς ἐπαρίτους] V. ad §. 22.

ἀπεψηφίσαντο μὴ χρῆσθαι] V. ad III, 5, 8.

τὸ γιγνόμενον — εἰς τοὺς ἐπαρίτους] eam summae partem, quam ipsi ad alendos stipendio eparitos solvere debebant.

ἐκ τῆς πόλεως] vel ex aera-

πέμπειν τοῖς ἄρχουσιν. Οἱ δὲ ἄρχοντες φάσκοντες αὐ-
τοὺς λυμαίνεσθαι τὸ Ἀρκαδικόν, ἀνεκαλοῦντο εἰς τοὺς
μυρίους τοὺς προστάτας αὐτῶν· καὶ ἐπεὶ οὐχ ὑπή-
κουον, κατεδίκασαν αὐτῶν καὶ τοὺς ἐπαρίτους ἔπεμ-
πον ὡς ἄξοντας τοὺς κατακεκριμένους. Οἱ μὲν οὖν
Μαντινεῖς κλείσαντες τὰς πύλας οὐκ ἐδέχοντο αὐτοὺς
34 εἴσω. Ἐκ δὲ τούτου τάχα δὴ καὶ ἄλλοι τινὲς ἔλεγον ἐν
τοῖς μυρίοις, ὡς οὐ χρὴ τοῖς ἱεροῖς χρήμασι χρῆσθαι,
οὐδὲ καταλιπεῖν εἰς τὸν ἀεὶ χρόνον τοῖς παισὶν ἔγκλημα
τοῦτο πρὸς τοὺς θεούς. Ὡς δὲ καὶ ἐν τῷ κοινῷ ἀπέ-
δοξε μηκέτι χρῆσθαι τοῖς ἱεροῖς χρήμασι, ταχὺ δὴ οἱ
μὲν οὐκ ἂν δυνάμενοι ἄνευ μισθοῦ τῶν ἐπαρίτων εἶναι
διεχέοντο, οἱ δὲ δυνάμενοι παρακελευσάμενοι αὑτοῖς
καθίσταντο εἰς τοὺς ἐπαρίτους, ὅπως μὴ αὐτοὶ ἐπ'
ἐκείνοις, ἀλλ' ἐκεῖνοι ἐπὶ σφίσιν εἶεν. Γνόντες δὲ οἱ
τῶν ἀρχόντων διακεχειρικότες τὰ ἱερὰ χρήματα, ὅτι, εἰ
δώσοιεν εὐθύνας, κινδυνεύσοιεν ἀπολέσθαι, πέμπου-
σιν εἰς Θήβας καὶ διδάσκουσι τοὺς Θηβαίους, ὡς, εἰ μὴ
στρατεύσοιεν, κινδυνεύσοιεν οἱ Ἀρκάδες πάλιν λακω-
35 νίσαι. Καὶ οἱ μὲν παρεσκευάζοντο ὡς στρατευσόμενοι·
οἱ δὲ τὰ κράτιστα τῇ Πελοποννήσῳ βουλευόμενοι ἔπει-
σαν τὸ κοινὸν τῶν Ἀρκάδων πέμψαντες πρέσβεις εἰ-
πεῖν τοῖς Θηβαίοις μὴ ἰέναι σὺν ὅπλοις εἰς τὴν Ἀρκα-

§. 34. F. *ἄλλοι δή τινες*. — *πρὸς τοὺς θεοὺς* D. E. F. I. V. marg. Leoncl. Dind. pro *εἰς τοὺς θ.* — *κινδυνεύσοιεν* et *στρατεύσοιεν* Dind., alterum *κινδυνεύσοιεν* Schneid. Dind. pro *κινδυνεύσειαν* — *στρατεύσαιεν* — *κινδυνεύσαιεν*.

rio urbis, vel e collecta a singulis pecunia. Morus.

*τοὺς μυρίους*] V. ad VII, 1, 38.

§. 34. *ἔγκλημα — πρὸς τοὺς θεούς*] culpam adversus deos. Dindorf. in Steph. Thes. gr. confert Lys. adv. Theomn. p. 118: *οὐκ ἄρα δίκην παρ' αὐτοῦ λήψομαι; τίνος ὄντος ἐμοὶ πρὸς ὑμᾶς ἐγκλήματος;* Polyb. II, 52, 4: *προτείνας Ἀντιγόνῳ τὸν Ἀκροκόρινθον ἔλυσε μὲν τὸ γεγονὸς ἔγκλημα πρὸς τὴν οἰκίαν.*

*τῶν ἐπαρίτων*] genitivus pendet ab *οἱ μέν*. Cf. VII, 2, 8. ad *αὐτῶν*.

*οἱ δὲ δυνάμενοι*] Locupletiores cives, qui sine stipendio vivere poterant, nomen apud eparitos profitebantur. Morus.

*ἐπ' ἐκείνοις*] in potestate adversariorum, qui pecuniis sacris eparitos alere volebant.

*διακεχειρικότες*] qui administraverant.

§. 35. *καὶ οἱ μέν*] *Θηβαῖοι.*

*τὰ κρατιστα — βουλευόμενοι*] optimates Arcadum, quo sensu VII, 5, 1: *τῶν ἄλλων Ἀρκάδων οἱ κηδόμενοι τῆς Πελοποννήσου.*

*δίαν, εἰ μή τι καλοῖεν. Καὶ ἅμα μὲν ταῦτα πρὸς τοὺς Θηβαίους ἔλεγον, ἅμα δὲ ἐλογίζοντο, ὅτι πολέμου οὐδὲν δέοιντο. Τοῦ τε γὰρ ἱεροῦ τοῦ Διὸς προεστάναι οὐδὲν προςδεῖσθαι ἐνόμιζον, ἀλλ' ἀποδιδόντες ἂν καὶ δικαιότερα καὶ ὁσιώτερα ποιεῖν καὶ τῷ θεῷ οἴεσθαι μᾶλλον ἂν οὕτω χαρίζεσθαι. Βουλομένων δὲ ταῦτα καὶ τῶν Ἠλείων, ἔδοξεν ἀμφοτέροις εἰρήνην ποιήσασθαι· καὶ ἐγένοντο σπονδαί.*

*Γενομένων δὲ τῶν ὅρκων καὶ ὀμοσάντων τῶν τε* 36 *ἄλλων ἁπάντων καὶ Τεγεατῶν καὶ αὐτοῦ τοῦ Θηβαίου, ὃς ἐτύγχανέν ἐν Τεγέᾳ ἔχων τριακοσίους ὁπλίτας τῶν Βοιωτῶν, οἱ μὲν Ἀρκάδες ἐν τῇ Τεγέᾳ αὐτοῦ ἐπικαταμείναντες ἐδειπνοποιοῦντό τε καὶ εὐθυμοῦντο καὶ σπονδὰς καὶ παιᾶνας ὡς εἰρήνης γεγενημένης ἐποιοῦντο, ὁ δὲ Θηβαῖος καὶ τῶν ἀρχόντων οἱ φοβούμενοι τὰς εὐθύνας σύν τε τοῖς Βοιωτοῖς καὶ τοῖς ὁμογνώμοσι τῶν ἐπαρίτων κλείσαντες τὰς πύλας τοῦ τῶν Τεγεατῶν τείχους, πέμποντες ἐπὶ τοὺς σκηνοῦντας συνελάμβανον τοὺς βελτίστους. Ἅτε δὲ ἐκ πασῶν τῶν πόλεων παρόντων τῶν Ἀρκάδων καὶ πάντων εἰρήνην βουλομένων ἔχειν, πολλοὺς ἔδει τοὺς συλλαμβανομένους εἶναι· ὥςτε*

§. 36. Ante *Τεγεατῶν* om. *τῶν* D. Dind. — *ἐν Τεγέᾳ* C. D. E. V. Dind. pro *ἐν τῇ Τεγέᾳ*. — *τριακ. ὁπλίτας* C. D. E. V. Dind. pro *ὁπλ. τριακ.* — Post *οἱ μὲν* om. *ἄλλοι* D. Dind. — *ἐπικαταμείναντες* D. E. F. I. marg. Leoncl. Schneid. Dind. pro *καταμένοντες*, C. V. *καταμείναντες*. — *ὁ δὲ Θηβαῖος* D. E. F. I. V. Y. Leoncl. Schneid. edd. sqq. pro *οἱ δὲ Θηβαῖοι*. — *σκηνοῦντας* D. E. F. V. Dind. pro *συσκηνοῦντας*. — *ἅτε δὲ* Steph. Dind. pro *ἅτε δή*.

*καλοῖεν*] per synesin refertur ad *τὸ κοινὸν τῶν Ἀρκάδων*. De *μή τι* cf. ad III, 2, 1.

*ἀποδιδόντες*] scil. *τὸ — προεστάναι.*

*ἐνόμιζον — οἴεσθαι*] De posteriori verbo pleonastice posito Dindorf. comparat Aeschin. de fals. leg. p. 32. extr.: *θαῤῥεῖν τε παρεκελεύετο καὶ μὴ νομίζειν, ὥςπερ ἐν τοῖς θεάτροις, διὰ τοῦτο οἴεσθαί τι πεπονθέναι.*

§. 36. *ἐν τῇ Τεγέᾳ αὐτοῦ*] Cf. ad IV, 8, 39. Herbst. de Cobeti in Thuc. emend. p. 61 putat discerni eos Arcades, qui Tegeae manserint ab iis (plurimam partem Mantineensibus), qui statim post factam pacem domum abierint. V. §. 37. Quod si recte disputasset, scribendum esset *οἱ αὐτοῦ ἐπικαταμείναντες*. Verum illud certe recte vidit, *αὐτοῦ* per epexegesin addi antecedenti *ἐν τῇ Τεγέᾳ*, sed iungendum esse cum *ἐπικαταμείναντες*, non cum *ἐδειπνοποιοῦντο*.

*ὁ δὲ Θηβαῖος*] *ἁρμοστής*. Cf. VII, 1, 43. 2, 11.

*εἰρήνην βουλομένων ἔχειν*] qui hanc ipsam ob causam aderant.

ταχὺ μὲν αὐτοῖς τὸ δεσμωτήριον μεστὸν ἦν, ταχὺ δὲ ἡ
37 δημοσία οἰκία. Ὡς δὲ πολλοὶ οἱ εἰργμένοι ἦσαν, πολλοὶ δὲ κατὰ τοῦ τείχους ἐκπεπηδηκότες, ἦσαν δ' οἳ καὶ διὰ τῶν πυλῶν ἀφεῖντο· οὐδεὶς γὰρ οὐδενὶ ὠργίζετο, ὅςτις μὴ ᾤετο ἀπολεῖσθαι· ἀπορῆσαι δὴ μάλιστα ἐποίησε τόν τε Θηβαῖον καὶ τοὺς μετ' αὐτοῦ ταῦτα πράττοντας, ὅτι Μαντινέας, οὓς μάλιστα ἐβούλοντο λαβεῖν, ὀλίγους τινὰς πάνυ εἶχον· διὰ γὰρ τὸ ἐγγὺς τὴν πόλιν
38 εἶναι σχεδὸν πάντες ᾤχοντο οἴκαδε. Ἐπεὶ δὲ ἡμέρα ἐγένετο καὶ τὰ πεπραγμένα ἐπύθοντο οἱ Μαντινεῖς, εὐθὺς πέμποντες εἴς τε τὰς ἄλλας Ἀρκαδικὰς πόλεις προηγόρευον ἐν τοῖς ὅπλοις εἶναι καὶ φυλάττειν τὰς παρόδους. Καὶ αὐτοὶ δὲ οὕτως ἐποίουν καὶ ἅμα πέμψαντες εἰς τὴν Τεγέαν ἀπῄτουν ὅσους ἔχοιεν ἄνδρας Μαντινέων· καὶ τῶν ἄλλων δὲ Ἀρκάδων οὐδένα ἀξιοῦν ἔφασαν οὔτε δεδέσθαι οὔτε ἀποθνήσκειν πρὸ δίκης. Εἰ δὲ καί τινες ἐπαιτιῷντο, ἔλεγον ἐπαγγέλλοντες, ὅτι ἡ τῶν Μαντινέων πόλις ἐγγυῷτο ἦ μὴν παρέξειν εἰς τὸ
39 κοινὸν τῶν Ἀρκάδων ὁπόσους τις προςκαλοῖτο. Ἀκούων οὖν ὁ Θηβαῖος ἠπόρει τε, ὅ τι χρήσαιτο τῷ πράγματι, καὶ ἀφίησι πάντας τοὺς ἄνδρας. Καὶ τῇ ὑστεραίᾳ συγκαλέσας τῶν Ἀρκάδων ὁπόσοι γε δὴ συνελθεῖν ἠθέλησαν, ἀπελογεῖτο, ὡς ἐξαπατηθείη. Ἀκοῦσαι γὰρ ἔφη, ὡς Λακεδαιμόνιοί τε εἶεν σὺν τοῖς ὅπλοις ἐπὶ τοῖς ὁρί-

§. 38. εἴς τε τὰς C.D.V. Dind. pro εἰς τάς. — παρόδους D. Dind. pro πόλεις. — Μαντινέων D. I. Dind. pro Μαντινεῖς. — ἀξιοῦν ἔφασαν I. Steph. edd. sqq. praeter Mor. pro ἀξιοῦντες ἦσαν; D. praebet solum ἔφασαν, A. solum ἀξιοῦντες. — εἰ δὲ καί τινες D. Dind. pro καί τινες; I. Steph. οἱ δέ τινες, Leoncl. Schneid. Weisk. καὶ εἴ τινες. — Cast. Leoncl. Weisk. ἐπητιῶντο. — Ante ἔλεγον om. καὶ D. Schneid. Dind. — ἐπαγγέλλ. pro ἀπαγγ. Dind.

§. 39. ἔφη, ὡς C. D. E. F. I. Dind. pro ἔφη, ὅτι. — μέλλοιεν αὐ-

§. 37. ὅςτις μὴ — ἀπολεῖσθαι] nisi qui causam suam desperandam putaret, si rationes essent reddendae. Reliquorum nihil intererat fugam Arcadum prohibere.

ὀλίγους — πάνυ] V. ad §. 24.

§. 38. ἦ μήν] V. ad III, 4, 5.

ἔλεγον ἐπαγγέλλοντες] offerebant, pollicebantur, quo sensu saepius merum ἐπαγγέλλεσθαι usurpatur. Simili autem ratione huic verbo participium verbi βούλεσθαι subiungitur Herod. VI, 139: δίκας ἐπηγγέλλοντο βουλόμενοι διδόναι παντὸς τοῦ ἀδικήματος. Dindorf. ad Steph. Thes. III. p. 1363.

προςκαλοῖτο] V. ad §. 11.

§. 39. ὅ τι χρήσαιτο τῷ πράγματι] V. ad II, 1, 2.

οις προδιδόναι τε μέλλοιεν αὐτοῖς τὴν Τεγέαν τῶν Ἀρ-
κάδων τινές. Οἱ δὲ ἀκούσαντες ἐκεῖνον μέν, καίπερ
γιγνώσκοντες, ὅτι ἐψεύδετο περὶ σφῶν, ἀφίεσαν· πέμ-
ψαντες δ' εἰς Θήβας πρέσβεις κατηγόρουν αὐτοῦ, ὡς
δεῖν ἀποθανεῖν. Τὸν δ' Ἐπαμεινώνδαν ἔφασαν, καὶ 40
γὰρ στρατηγῶν τότε ἐτύγχανε, λέγειν, ὡς πολὺ ὀρθό-
τερον ποιήσειεν, ὅτε συνελάμβανε τοὺς ἄνδρας ἢ ὅτε
ἀφῆκε. Τὸ γὰρ ἡμῶν δι' ὑμᾶς εἰς πόλεμον καταστάν-
των ὑμᾶς ἄνευ τῆς ἡμετέρας γνώμης εἰρήνην ποιεῖσθαι
πῶς οὐκ ἂν δικαίως προδοσίαν τις ὑμῶν τοῦτο κατη-
γοροίη; Εὖ δ' ἴστε, ἔφη, ὅτι ἡμεῖς καὶ στρατευσόμεθα
εἰς τὴν Ἀρκαδίαν καὶ σὺν τοῖς τὰ ἡμέτερα φρονοῦσι
πολεμήσομεν.

τοῖς D. F. V. Dind. pro αὐτοῖς μέλλ. — A. C. F. edd. vett. ἐκεῖνοι pro ἐκεῖνον et iidem sine F. ἀπήεσαν pro ἀφίεσαν; V. ἀφῆκαν. — Cast. ὡς δεῖ.

§. 40. Ἐπαμεινώνδαν A. C. D. E. F. Dind. pro Ἐπαμιν. — καταστάντων Steph. Schneid. edd. sqq. pro καταστησάντων.

ὡς δεῖν] De infinitivo v. ad VI, 5, 42.

§. 40. ἔφασαν] V. ad III, 5, 21.

τὸ γὰρ ἡμῶν] Oratio obliqua transit in rectam. V. ad I, 1, 28. V, 1, 31. VII, 1, 24. 5, 2.

---

# CAPUT V.

## ARGUMENTUM.

Epaminondas quum primum potuit cum sociis transiit in Peloponnesum, et frustra exspectatis Atheniensibus, quos intercipere volebat, Tegeam profectus est. Hic ubi audierat Agesilaum iam domo cum copiis exiisse, recta contendit Spartam, quam vacuam occupasset, nisi Agesilaus re audita mature recurrisset. Ad urbem autem Epaminondas conflixit infausto Marte, atque inde celeriter Tegeam rediit, missis Mantineam equitibus. Eodem paullo ante venerant Atheniensium equites, qui opportunissimo tempore acerrime pugnantes commeatum Mantineensium servarunt. Epaminondas bis superatus delere hoc dedecus decrevit. Itaque confirmatis animis militum se ad novum proelium paravit: et delusis aliqua cunctatione hostibus, conferto in cunei formam agmine eorum aciem perrupit et ad fugam compulit. Iam ipse cadit: sui victoria uti nesciunt: itaque a victis

multi caeduntur: denique victoria utrius partis fuerit dubitari coeptum est. Ceterum hoc tanto totius paene Graeciae conflictu nihil confectum est: contra maior quam ante fuerat rerum perturbatio exstitit.

---

1 *Ὡς δὲ ταῦτα ἀπηγγέλθη πρός τε τὸ κοινὸν τῶν Ἀρκάδων καὶ κατὰ πόλεις, ἐκ τούτου ἀνελογίζοντο Μαντινεῖς τε καὶ τῶν ἄλλων Ἀρκάδων οἱ κηδόμενοι τῆς Πελοποννήσου, ὡςαύτως δὲ καὶ Ἠλεῖοι καὶ Ἀχαιοί, ὅτι οἱ Θηβαῖοι δῆλοι εἶεν βουλόμενοι ὡς ἀσθενεστάτην τὴν Πελοπόννησον εἶναι, ὅπως ὡς ῥᾷστα αὐτὴν καταδου-*

2 *λώσαιντο. Τί γὰρ δὴ πολεμεῖν ἡμᾶς βούλονται ἤ, ἵνα ἡμεῖς μὲν ἀλλήλους κακῶς ποιῶμεν, ἐκείνων δ' ἀμφότεροι δεώμεθα; ἢ τί λεγόντων ἡμῶν, ὅτι οὐ δεόμεθα αὐτῶν ἐν τῷ παρόντι, παρασκευάζονται ὡς ἐξιόντες; Οὐ δῆλον, ὡς ἐπὶ τῷ κακόν τι ἐργάζεσθαι ἡμᾶς στρα-*

3 *τεύειν παρασκευάζονται; Ἔπεμπον δὲ καὶ Ἀθήναζε βοηθεῖν κελεύοντες· ἐπορεύθησαν δὲ καὶ εἰς Λακεδαίμονα πρέσβεις ἀπὸ τῶν ἐπαρίτων παρακαλοῦντες Λακεδαιμονίους, εἰ βούλοιντο κοινῇ διακωλύειν, ἄν τινες ἴωσι καταδουλωσόμενοι τὴν Πελοπόννησον. Περὶ μέντοι ἡγεμονίας αὐτόθεν διεπράττοντο, ὅπως ἐν τῇ ἑαυτῶν ἕκαστοι ἡγήσοιντο.*

4 *Ἐν ὅσῳ δὲ ταῦτα ἐπράττετο, Ἐπαμεινώνδας ἐξήει*
Ch. *Βοιωτοὺς ἔχων πάντας καὶ Εὐβοέας καὶ Θετταλῶν πολλοὺς παρά τε Ἀλεξάνδρου καὶ τῶν ἐναντίων αὐτῷ.*

Cap. V. §. 1. *καὶ κατὰ πόλεις* D. F. I. V. Y. marg. Leoncl. Dind. pro *καὶ τὰς πόλεις.* — *βουλόμενοι ὡς ἀσθεν.* D. E. F. V. Schneid. Dind. pro *ὡς ἀσθ. βουλ.*

§. 2. *ἐπὶ τῷ* D. Dind. pro *ἐπὶ τὸ.* — D. F. V. Dind. *ἐργάζ. ἡμᾶς* pro *ἡμᾶς ἐργ.*

§. 3. *ἐπορεύθησαν* C. D. E. F. I. marg. Leoncl. Schneid. Dind. pro *ἔπεμψαν.*

§. 4. *Ἐπαμειν.* A. C. D. E. F. Dind. pro *Ἐπαμιν.*

Cap. V. §. 2. *Τί — ἤ*] Ne desideres *Τί — ἄλλο ἤ*, v. ad Oecon. III, 3. Ceterum hic ad rectam transitur orationem. V. ad VII, 4, 40.

*ἐκείνων*] Etiam *αὐτῶν* poni poterat. V. ad VI, 4, 25.

*ἐπὶ τῷ*] V. ad Oecon. XX, 18: *ἐφ' ᾧπερ ὥρμηται.* Kuehner. ad Comment. I, 3, 11.

§. 3. *αὐτόθεν*] statim ab initio. Cf. ad III, 4, 20.

§. 4. *Εὐβοέας*] De hac forma v. ad III, 5, 6.

*Ἀλεξάνδρου*] De quo VI, 4, 34. Is a Pelopida victus iam sequitur Thebanos. Plut. Pelop. XXXV.

*ἐναντίων*] Sunt eae civitates, quas oppressas nuper ab Alexan-

*Φωκεῖς μέντοι οὐκ ἠκολούθουν λέγοντες, ὅτι συνθῆ-
και σφίσιν αὐτοῖς εἶεν, εἴ τις ἐπὶ Θήβας ἴοι, βοηθεῖν·
ἐπ' ἄλλους δὲ στρατεύειν οὐκ εἶναι ἐν ταῖς συνθήκαις.
Ὁ μέντοι Ἐπαμεινώνδας ἐλογίζετο καὶ ἐν Πελοποννήσῳ* 5
*σφίσιν ὑπάρχειν Ἀργείους τε καὶ Μεσσηνίους καὶ Ἀρ-
κάδων τοὺς τὰ σφέτερα φρονοῦντας. Ἦσαν δ' οὗτοι
Τεγεᾶται καὶ Μεγαλοπολῖται καὶ Ἀσεᾶται καὶ Παλλαν-
τιεῖς καὶ εἴ τινες δὴ πόλεις διὰ τὸ μικραί τε εἶναι καὶ ἐν
μέσαις ταύταις οἰκεῖν ἠναγκάζοντο. Ἐξῆλθε μὲν δὴ* 6
*ὁ Ἐπαμεινώνδας διὰ ταχέων· ἐπεὶ δὲ ἐγένετο ἐν Νεμέᾳ,
ἐνταῦθα διέτριβεν ἐλπίζων τοὺς Ἀθηναίους παριόντας
λήψεσθαι καὶ λογιζόμενος μέγα ἂν τοῦτο γενέσθαι τοῖς
μὲν σφετέροις συμμάχοις εἰς τὸ ἐπιῤῥῶσαι αὐτούς, τοῖς
δὲ ἐναντίοις εἰς τὸ εἰς ἀθυμίαν ἐμπεσεῖν, ὡς δὲ συνε-
λόντι εἰπεῖν, πᾶν ἀγαθὸν εἶναι Θηβαίοις, ὅ τι ἐλαττοῖντο
Ἀθηναῖοι. Ἐν δὲ τῇ διατριβῇ αὐτοῦ ταύτῃ συνῄεσαν* 7
*πάντες οἱ ὁμοφρονοῦντες εἰς τὴν Μαντίνειαν. Ἐπεὶ
μέντοι ὁ Ἐπαμεινώνδας ἤκουσε τοὺς Ἀθηναίους τὸ μὲν
κατὰ γῆν πορεύεσθαι ἀπεγνωκέναι, κατὰ θάλατταν δὲ*

§. 5. *Ἀσεᾶται* Steph. edd. sqq. pro *Ἀσθεάται.* — *Παλλαντιεῖς* Dind. pro *Παλαντιεῖς*, quod dederat Palmer. pro *Παλαντεῖς*; D. *Παλλαντεῖς.* — D. Dind. *μικραὶ* pro *σμικραί.*

§. 6. *ἐλπίζων* C. D. E. F. I. V. marg. Leoncl. Schneid. Dind. pro *νομίζων.* — *λογιζόμενος* D. F. I. V. Y. marg. Leoncl. Dind. pro *οἰόμενος.* — A. C. E. F. edd. vett. *εἰς τὸ ἀθυμίαν.*

§. 7. *οὕτω δὴ* C. D. E. F. V. Cast. marg. Leoncl. Mor. edd. sqq., *οὕτω δὲ* ceteri.

dro Thebani libertati restituerant. Morus.

*σφίσιν αὐτοῖς*] V. ad V, 2, 8. Opponuntur Phocenses aliis Thebanorum sociis. Quod si minus probaveris, fortasse scribendum *σφίσιν σὺν αὐτοῖς*, sibi cum Thebanis.

§. 5. *σφίσιν*] Thebanis. V. ad IV, 8, 24. VII, 1, 41.

*τοὺς τὰ σφέτερα φρονοῦντας*] qui rebus Thebanorum favebant.

*Ἀσεᾶται*] Aseae incolae. V. VI, 5, 11.

*Παλλαντιεῖς*] Pausan. VIII, 27 nomen urbis est *Παλάντιον.*

*οἰκεῖν*] habitari. V. ad I, 6, 32.

§. 6. *διὰ ταχέων*] Frequentius dicitur *διὰ τάχους.*

*λήψεσθαι*] se intercepturum esse. Simili de re VII, 4, 20 erat *ἀπολαμβάνειν.*

*μέγα — γενέσθαι*] magno hoc fore momento — ad confirmandos animos.

*ὡς — συνελόντι εἰπεῖν*] Buttm. §. 140. ann. 4. Rost. §. 185. 5. additam. 2. Kuehner. §. 284. 10 a.

§. 7. *τὸ μὲν — ἀπεγνωκέναι*] Anab. I, 7, 19 est *ἀπεγνωκέναι τοῦ μάχεσθαι.* Sed Diod. XV, 53: *τὸ μὲν ταύτῃ ποιεῖσθαι τὴν διέξοδον ἀπέγνω.* Schneider.

παρασκευάζεσθαι ὡς διὰ Λακεδαίμονος βοηθήσοντας τοῖς Ἀρκάσιν, οὕτω δὴ ἀφορμήσας ἐκ τῆς Νεμέας ἀφι-
8 κνεῖται εἰς τὴν Τεγέαν. Εὐτυχῆ μὲν οὖν οὐκ ἂν ἔγωγε φήσαιμι τὴν στρατηγίαν αὐτῷ γενέσθαι· ὅσα μέντοι προνοίας ἔργα καὶ τόλμης ἐστίν, οὐδέν μοι δοκεῖ ἀνὴρ ἐλλιπεῖν. Πρῶτον μὲν γὰρ ἔγωγε ἐπαινῶ αὐτοῦ, ὅτι τὸ στρατόπεδον ἐν τῷ τείχει τῶν Τεγεατῶν ἐποιήσατο, ἔνθ' ἐν ἀσφαλεστέρῳ τε ἦν, ἢ εἰ ἔξω ἐστρατοπεδεύετο, καὶ τοῖς πολεμίοις ἐν ἀδηλοτέρῳ ὅ τι πράττοιτο. Καὶ παρασκευάζεσθαι δέ, εἴ που ἐδεῖτο, ἐν τῇ πόλει ὄντι εὐπορώτερον ἦν. Τῶν δ' ἑτέρων ἔξω στρατευομένων ἐξῆν ὁρᾶν, εἴτε τι ὀρθῶς ἐπράττετο, εἴτε τι ἡμάρτανον. Καὶ μὴν οἰόμενος κρείττων τῶν ἀντιπάλων εἶναι, ὁπότε ὁρῴη χωρίοις πλεονεκτοῦντας αὐτούς, οὐκ ἐξήγετο ἐπι-
9 τίθεσθαι. Ὁρῶν δὲ οὔτε πόλιν αὐτῷ προςχωροῦσαν οὐδεμίαν τόν τε χρόνον προβαίνοντα, ἐνόμισε πρακτέον τι εἶναι· εἰ δὲ μή, ἀντὶ τῆς πρόσθεν εὐκλείας πολλὴν ἀδοξίαν προςεδέχετο. Ἐπεὶ οὖν κατεμάνθανε περὶ μὲν τὴν Μαντίνειαν τοὺς ἀντιπάλους πεφυλαγμένους, μεταπεμπομένους δὲ Ἀγησίλαόν τε καὶ πάντας τοὺς Λακεδαιμονίους, καὶ ᾔσθετο ἐξεστρατευμένον τὸν Ἀγησίλαον καὶ ὄντα ἤδη ἐν τῇ Πελλήνῃ, δειπνοποιησάμενος καὶ παραγγείλας ἡγεῖτο τῷ στρατεύματι εὐθὺς

§. 8. οὐκ ἂν ἔγωγε D. E. F. V. marg. Leoncl. Schneid. Dind. pro ἔγωγε οὐκ ἄν. — στρατηγίαν C. D. E. F. V. marg. Leoncl. Schneid. Dind. pro στρατειάν. — ἀνὴρ Dind., ὁ ἀνὴρ Leoncl. Schneid. Weisk. pro ἀνήρ. — ἐλλιπεῖν Mor. edd. sqq. pro ἐλλείπειν. — ἐστρατοπεδεύετο D. I. V. Dind. pro ἐστρατοπεδεύσατο.

§. 9. αὐτῷ προςχ. Dind. pro προςχ. αὐτῷ; D. E. αὐτῷ προςχ. — προβαίνοντα D. E. F. I. V. marg. Leoncl. Schneid. Dind. pro ἐξήκοντα. — τὴν ante Μαντ. addunt D. E. F. V. Schneid. Dind. — τῇ ante

οὕτω δή] V. ad III, 2, 9. 12.

§. 8. ἐπαινῶ αὐτοῦ, ὅτι] V. ad Ages. VIII, 4: τοῦτο ἐπαινῶ Ἀγησιλάου. Buttm. §. 132. ann. 15. Rost. §. 162. III, 3. addit. 1. Kuehn. §. 273. ann. 20. Eadem in sequentibus ratio est genitivi τῶν — ἑτέρων. Cf. Comment. I, 1, 12: καὶ πρῶτον μὲν αὐτῶν ἐσκόπει, πότερα κ. τ. λ. Ibid. I, 6, 4. III, 6, 17.

ὅ τι πράττοιτο] quid ageretur. Cobetus postulat ὅ τι πράττοι, cl. Cyrop. VIII, 1, 16: διὰ τὸ εἰδέναι, ὅτε ὁρῷντ' ἄν, ὅ τι πράττοιεν.

Τῶν δ' ἑτέρων] h. e. hostium.

καὶ — οἰόμενος] quamvis putaret.

ὁπότε ὁρῴη] V. ad III, 5, 24.

οὐκ ἐξήγετο ἐπιτίθεσθαι] non inducebatur, ut illos adoriretur.

§. 9. πεφυλαγμένους] loco munito hostem observare.

Πελλήνῃ] urbe Laconica in via ad Arcadiam ducente sita.

δειπνοποιησάμενος καὶ

ἐπὶ Σπάρτην. Καὶ εἰ μὴ Κρὴς θείᾳ τινὶ μοίρᾳ προς- 10
ελθὼν ἐξήγγειλε τῷ Ἀγησιλάῳ προσιὸν τὸ στράτευμα,
ἔλαβεν ἂν τὴν πόλιν ὥσπερ νεοττιὰν παντάπασιν ἔρη-
μον τῶν ἀμυνομένων. Ἐπεὶ μέντοι προπυθόμενος
ταῦτα ὁ Ἀγησίλαος ἔφθη εἰς τὴν πόλιν ἀπελθών, δια-
ταξάμενοι οἱ Σπαρτιᾶται ἐφύλαττον καὶ μάλα ὀλίγοι
ὄντες· οἵ τε γὰρ ἱππεῖς αὐτοῖς πάντες ἐν Ἀρκαδίᾳ
ἀπῆσαν καὶ τὸ ξενικὸν καὶ τῶν λόχων δώδεκα ὄντων
οἱ τρεῖς. Ἐπεὶ δὲ ἐγένετο Ἐπαμεινώνδας ἐν τῇ πό- 11
λει τῶν Σπαρτιατῶν, ὅπου μὲν ἔμελλον ἔν τε ἰσοπέδῳ
μαχεῖσθαι καὶ ἀπὸ τῶν οἰκιῶν βληθήσεσθαι, οὐκ εἰς-
ῄει ταύτῃ, οὐδ' ὅπου γε μηδὲν πλέον μαχεῖσθαι τῶν
ὀλίγων πολλοὶ ὄντες· ἔνθα δὲ πλεονεκτεῖν ἂν ἐνόμιζε,
τοῦτο λαβὼν τὸ χωρίον κατέβαινε [καὶ οὐκ ἀνέβαινεν]
εἰς τὴν πόλιν. Τό γε μὴν ἐντεῦθεν γενόμενον ἔξεστι 12
μὲν τὸ θεῖον αἰτιᾶσθαι, ἔξεστι δὲ λέγειν, ὡς τοῖς ἀπο-

Πελλ. addunt D. E. I. V. Schneid. Dind. — F. sec. m. δειπνοποιήσασθαι. — καὶ ante παραγγ. addunt D. V. Dind. — Σπάρτην D. E. F. V. Dind. pro Σπάρτῃ.

§. 10. ἀμυνομένων D. E. V., reliqui ἀμυνουμένων. — ὁ ante Ἀγησ. addunt D. E. F. V. Schneid. Dind. — D. εἰς πόλιν. — ἀπῆσαν Dind. pro ἀπήεσαν. — δώδεκα D. I. V. margg. Steph. et Leoncl. Wells. pro δέκα.

§. 11. πλέον D. Leoncl. Schneid. edd. sqq. pro πλείονες; V. πλέονες. — ἔνθα Schaef. Dind. pro ἔνθεν.

§. 12. Τόγε Dind. pro Τὸ δέ γε. — πρὸς ὄρθιον addunt D. I. V.

παραγγείλας] Polyb. IX, 8, 3: δειπνοποιήσασθαι τοῖς αὐτοῦ καθ' ὥραν παραγγείλας ἐξῆγε τὴν δύναμιν ἄρτι τῆς νυκτὸς ἐπιγιγνομένης. Noctu profectum Epaminondam a Tegea tradunt etiam Diod. XV, 83. Plut. Ages. XXXIV, 2. Unde respecta codicis F. scriptura coniicere licet δειπνοποιήσασθαι παραγγείλας. Sed cf. II, 4, 8.

§. 10. Κρής] Cf. Plut. Ages. XXXIV, 3. Diod. XV, 82.

ἀμυνομένων] Ne desideres futurum v. ad III, 2, 13; 5, 4. Adde Comment. II, 1, 14. Buttm. §. 137. adn. 10. Kuehn. §. 255. adn. 3.

ἀπελθών] Cobetus ἐπανελθών. Cf. I, 7, 1, ubi item pro ἀπῆλθον Cobet. scribit ἐπανῆλθον. Supra ad IV, 4, 5. V, 3, 26. Addenda ad IV, 4, 5.

καὶ μάλα] V. ad IV, 7, 2.

τῶν λόχων δώδεκα] V. ad VII, 4, 20.

οἱ τρεῖς] De articulo v. ad I, 1, 18.

§. 11. πλέον μαχεῖσθαι] plus in pugna effecturi erant: insolentius dictum. Cum pugnandi una efficiendi, assequendi notionem in animo habebat Xenophon.

[καὶ οὐκ ἀνέβαινεν]] Haec verba eiicienda censeo cum Curtio in Pelop. II, p. 317, 43. De re ipsa cf. Polyb. IX, 8. Diod. XV, 83.

§. 12. Τό — γενόμενον] Quod attinet ad id, quod deinde accidit. Cf. I, 7, 31. Sed cf. etiam Cyrop. VII, 2, 22. οὐκ αἰτιῶμαι οὐδὲ τάδε τὸν θεόν. Comment. I, 2, 64.

τοῖς ἀπονενοημένοις — ὑποσταίη] „Haec est vulgaris

*δας ἐνθυμούμενος, ὅτι ὀλίγων μὲν ἡμερῶν ἀνάγκη ἔσοιτο ἀπιέναι διὰ τὸ ἐξήκειν τῇ στρατείᾳ τὸν χρόνον, εἰ δὲ καταλείψοι ἐρήμους οἷς ἦλθε σύμμαχος, ἐκεῖνοι πολιορκήσοιντο ὑπὸ τῶν ἀντιπάλων, αὐτὸς δὲ λελυμασμένος τῇ ἑαυτοῦ δόξῃ παντάπασιν ἔσοιτο, ἡττημένος μὲν ἐν Λακεδαίμονι σὺν πολλῷ ὁπλιτικῷ ὑπ' ὀλίγων, ἡττημένος δὲ ἐν Μαντινείᾳ ἱππομαχίᾳ, αἴτιος δὲ γεγενημένος διὰ τὴν εἰς Πελοπόννησον στρατείαν τοῦ συνεστάναι Λακεδαιμονίους καὶ Ἀρκάδας καὶ Ἀχαιοὺς καὶ Ἠλείους καὶ Ἀθηναίους· ὥςτε οὐκ ἐδόκει αὐτῷ δυνατὸν εἶναι ἀμαχεὶ παρελθεῖν, λογιζομένῳ, ὅτι εἰ μὲν νικῴη, πάντα ταῦτα ἀναλύσοιτο, εἰ δὲ ἀποθάνοι, καλὴν τὴν τελευτὴν ἡγήσατο ἔσεσθαι πειρωμένῳ τῇ πατρίδι*
19 *ἀρχὴν Πελοποννήσου καταλιπεῖν. Τὸ μὲν οὖν αὐτὸν τοιαῦτα διανοεῖσθαι οὐ πάνυ μοι δοκεῖ θαυμαστὸν εἶναι· φιλοτίμων γὰρ ἀνδρῶν τὰ τοιαῦτα διανοήματα· τὸ μέντοι τὸ στράτευμα παρεσκευακέναι, ὡς πόνον τε μηδένα ἀποκάμνειν μήτε νυκτὸς μήτε ἡμέρας κινδύνου τε μηδενὸς ἀφίστασθαι σπάνιά τε τὰ ἐπιτήδεια ἔχοντας ὅμως πείθεσθαι ἐθέλειν, ταῦτά μοι δοκεῖ θαυμαστότερα*
20 *εἶναι. Καὶ γὰρ ὅτε τὸ τελευταῖον παρήγγειλεν αὐτοῖς παρασκευάζεσθαι ὡς μάχης ἐσομένης, προθύμως μὲν ἐλευκοῦντο οἱ ἱππεῖς τὰ κράνη κελεύοντος ἐκείνου, ἐπ-*

§. 18. *καταλείψοι* B. D. Schneid. Dind. pro *καταλείψει*; C. D. V. *καταλήψοι*, E. *καταλήψε*. — *τῇ ἑαυτοῦ δόξῃ παντ. ἔσοιτο* D. E. F. V. Dind. pro *παντ. τῇ ἑαυτοῦ δ. ἔσοιτο*.
§. 19. C. om. *ἀνδρῶν*. — *τὸ στράτ.* Dind. pro *στράτ.* — *πόνον* C. E. F. V. Schneid. Dind. pro *πόνων*.

§. 18. *ὀλίγων — ἡμερῶν*] intra paucos dies.

*πολιορκήσοιντο*] passiva notione. V. ad VI, 4, 6.

*λελυμασμένος*] est medium: se ipsum gloriam suam esse maculaturum. Cum dativo similiter *λυμαίνεσθαι* iunctum est etiam II, 3, 26: *εἴ τις — λυμαίνεται ταύτῃ τῇ καταστάσει.*

*ὥςτε οὐκ ἐδόκει αὐτῷ*] Iam deflectit oratio ab inita ratione. Nam continuatur quasi antea dictum sit *ἐνεθυμεῖτο*, non *ἐνθυμούμενος*. Cf. IV, 7, 5 ad *καὶ οὕτω — ἡγεῖτο.*

*παρελθεῖν*] praeterire. Cobetus *ἀπελθεῖν*, quia antea erat *ὅτι ὀλίγων ἡμερῶν ἀνάγκη ἔσοιτο ἀπιέναι.*

*ἀναλύσοιτο*] corrigere, in melius restituere. Morus confert Demosth. de symmor. 34: *τὰς προτέρας ἀναλύσονται πρὸς τοὺς Ἕλληνας ἁμαρτίας.*

§. 20. *ὡς — ἐσομένης*] V. ad III, 4, 1.

*ἐπεγράφοντο — ῥόπαλα*] Sententiam esse: Arcades, tanquam Thebanos, clavam, Herculis Thebani insigne, in scutis ge-

εγράφοντο δὲ καὶ οἱ τῶν Ἀρκάδων ὁπλῖται ῥόπαλα, ὡς Θηβαῖοι ὄντες, πάντες δὲ ἠκονῶντο καὶ λόγχας καὶ μαχαίρας καὶ ἐλαμπρύνοντο τὰς ἀσπίδας. Ἐπεὶ μέντοι 21
οὕτω παρεσκευασμένους ἐξήγαγεν, ἄξιον αὖ κατανοῆσαι ἃ ἐποίησε. Πρῶτον μὲν γάρ, ὥςπερ εἰκός, συνετάττετο. Τοῦτο δὲ πράττων σαφηνίζειν ἐδόκει, ὅτι εἰς μάχην παρεσκευάζετο· ἐπεί γε μὴν ἐτέτακτο αὐτῷ τὸ στράτευμα ὡς ἐβούλετο, τὴν μὲν συντομωτάτην πρὸς τοὺς πολεμίους οὐκ ἦγε, πρὸς δὲ τὰ πρὸς ἑσπέραν ὄρη καὶ ἀντιπέραν τῆς Τεγέας ἡγεῖτο· ὥςτε δόξαν παρεῖχε τοῖς πολεμίοις μὴ ποιήσεσθαι μάχην ἐκείνῃ τῇ ἡμέρᾳ. Καὶ 22
γὰρ δὴ ὡς πρὸς τῷ ὄρει ἐγένετο, ἐπεὶ ἐξετάθη αὐτῷ ἡ φάλαγξ, ὑπὸ τοῖς ὑψηλοῖς ἔθετο τὰ ὅπλα, ὥςτε εἰκάσθη στρατοπεδευομένῳ. Τοῦτο δὲ ποιήσας ἔλυσε μὲν τῶν πλείστων πολεμίων τὴν ἐν ταῖς ψυχαῖς πρὸς μάχην παρασκευήν, ἔλυσε δὲ τὴν ἐν ταῖς συντάξεσιν. Ἐπεί γε μὴν παραγαγὼν τοὺς ἐπὶ κέρως πορευομένους λόχους εἰς μέτωπον ἰσχυρὸν ἐποιήσατο τὸ περὶ ἑαυτὸν ἔμβολον, τότε δὴ ἀναλαβεῖν παραγγείλας τὰ ὅπλα ἡγεῖτο· οἱ δ' ἠκολούθουν. Οἱ δὲ πολέμιοι ὡς εἶδον παρὰ δόξαν ἐπιόντας, οὐδεὶς αὐτῶν ἡσυχίαν ἔχειν ἠδύνατο, ἀλλ' οἱ μὲν ἔθεον εἰς τὰς τάξεις, οἱ δὲ παρετάττοντο, οἱ δὲ ἵππους ἐχαλίνουν, οἱ δὲ θώρακας ἐνεδύοντο, πάντες δὲ

§. 20. οἱ ante τῶν Ἀρκ. inseruit Dind. — Post ῥόπαλα om. ἔχοντες D. E. F. I. V. Dind.

§. 21. ἐξήγαγεν D. I. V. Schneid. Dind. pro ἀπήγαγεν. — ὅτι D. E. F. I. Dind. pro ὡς. — καὶ ἀντιπ. τῆς Τεγ. C. D. E. F. V. Schneid. Dind. pro τῆς Τεγ. κ. ἀντ. — Ante ἐκείνῃ om. ἐν C. D. E. V. Dind.

§. 22. ἐπὶ κέρως D. E. F. V. Mor. edd. sqq. pro ἐπικαίρως. —

stasse, multis disputat Eckhel. doctr. num. vol. II, 203 sq., ubi de numo Thebano scutum cum clava habente disserit. Dindorf. Immo, instante pugna, clavam Arcades pingebant in scutis, Thebanis, ut suae libertatis vindicibus, gratificaturi. Grotius H. G. V, p. 577, quem fefellit vulgata lectio ῥόπαλα ἔχοντες, Arcades clavigeros cum irrisione ὁπλῖται a Xenophonte appellari putat.

§. 21. τὰ πρὸς ἑσπέραν ὄρη] montes VI, 5, 15 commemorati.

§. 22. ἐπὶ κέρως] V. ad VII, 4, 23. Qui modo longo agmine proficiscebantur, eos iam ad frontem adducit ita, ut laevum aciei cornu, ubi ipse dux stabat, multo densius ac firmius fieret quam dextrum. V. Grot. p. 580 sq. Ruestov. et Koechly. Hist. rei mil. Gr. p. 175 sqq.

23 πεισομένοις τι μᾶλλον ἢ ποιήσουσιν ἐῴκεσαν. Ὁ δὲ τὸ στράτευμα ἀντίπρῳρον ὥςπερ τριήρη προςῆγε νομίζων, ὅποι ἐμβαλὼν διακόψειε, διαφθερεῖν ὅλον τὸ τῶν ἐναντίων στράτευμα· καὶ γὰρ δὴ τῷ μὲν ἰσχυροτάτῳ παρεσκευάζετο ἀγωνίζεσθαι, τὸ δὲ ἀσθενέστατον πόῤῥω ἀπέστησεν εἰδώς, ὅτι ἡττηθὲν ἀθυμίαν ἂν παράσχοι τοῖς μεθ' ἑαυτοῦ, ῥώμην δὲ τοῖς πολεμίοις. Καὶ μὴν τοὺς ἱππέας οἱ μὲν πολέμιοι ἀντιπαρετάξαντο ὥςπερ ὁπλιτῶν φάλαγγα βάθος ἐφεξῆς καὶ ἔρημον πεζῶν
24 ἁμίππων· ὁ δ' Ἐπαμεινώνδας αὖ καὶ τοῦ ἱππικοῦ ἔμβολον ἰσχυρὸν ἐποιήσατο καὶ ἁμίππους πεζοὺς συνέταξεν αὐτοῖς, νομίζων τὸ ἱππικὸν ἐπεὶ διακόψειεν, ὅλον τὸ ἀντίπαλον νενικηκὼς ἔσεσθαι· μάλα γὰρ χαλεπὸν εὑρεῖν τοὺς ἐθελήσοντας μένειν, ἐπειδάν τινας φεύγοντας τῶν ἑαυτῶν ὁρῶσι· καὶ ὅπως μὴ ἐπιβοηθῶσιν οἱ Ἀθηναῖοι ἀπὸ τοῦ εὐωνύμου κέρατος ἐπὶ τὸ ἐχόμενον, κατέστησεν ἐπὶ γηλόφων τινῶν ἐναντίους αὐτοῖς καὶ ἱππέας καὶ ὁπλίτας, φόβον βουλόμενος καὶ τούτοις παρέχειν, ὡς, εἰ βοηθήσοιεν, ὄπισθεν οὗτοι ἐπικείσοιντο

Dind. ἐδύνατο. — τι ante μᾶλλον addunt D. F. I. V. Leoncl. Wells. Schneid. Dind.

§. 23. ὅποι C. D. E. F. V. pro ὅπῃ. — μεθ' ἑαυτοῦ D. pro μεθ' αὑτοῦ. — ἀντιπαρετάξαντο Dind. pro αὐτοὶ παρετάξ. — φάλαγγα C. D. E. F. I. Leoncl. Dind. pro φάλαγγος. — ἐφεξῆς C. D. E. F. V. Schneid. Dind. pro ἑξῆς. — ἁμίππων Mor. edd. sqq. pro ἀνίππων. Item §§. 24. 25.

§. 24. ἑαυτῶν C. D. E. F. V. Schneid. Dind. pro ἑαυτοῦ. — βοηθήσοιεν Dind. pro βοηθήσαιεν. — D. ἐπικείσονται.

§. 23. ὥςπερ τριήρη] Ut enim prora praecedit quasi reliquam triremem, sic Epaminondas agmen anteit reliquam aciem dextrum hostium cornu petens. Cf. de Rep. Lac. XI, 10: τὸν λόχον ὥςπερ τριήρη ἀντίπρῳρον τοῖς ἐναντίοις στρέφουσι.

ὅποι] iungendum cum ἐμβαλών.

διακόψειε] tanquam rostro. Continuatur enim metaphora a nave repetita.

τῷ — ἰσχυροτάτῳ] Hoc laevum fuisse cornu tradit Diod. XV, 85: Θηβαῖοι δ' αὐτοὶ μὲν ἐπὶ τὸ εὐώνυμον κέρας ἐτάχθησαν, παραστάτας ἔχοντες Ἀρκάδας· τὸ δὲ δεξιὸν παρέδωκαν Ἀργείοις, ubi v. sequentia.

βάθος ἐφεξῆς] quod attinet ad altitudinem equites collocati sunt alius post alium, nullo relicto intervallo, ubi ponerentur πεζοὶ ἅμιπποι. Ruestov. et Koechly. l. c. post βάθος numerum desiderantes coniiciunt βάθος ἐφ' ἕξ. (Cf. supra III, 4, 13.) Inspexisse iuvabit imaginem pugnae eidem libro subiectam.

§. 24. τοὺς ἐθελήσοντας] De articulo v. ad III, 4, 15.

ἐπὶ τὸ ἐχόμενον] h. e. si

αὐτοῖς. Τὴν μὲν δὴ συμβολὴν οὕτως ἐποιήσατο καὶ οὐκ ἐψεύσθη τῆς ἐλπίδος· κρατήσας γὰρ ᾗ προςέβαλεν ὅλον ἐποίησε φεύγειν τὸ τῶν ἐναντίων. Ἐπεί γε μὴν ἐκεῖνος 25
ἔπεσεν, οἱ λοιποὶ οὐδὲ τῇ νίκῃ ὀρθῶς ἔτι ἐδυνάσθησαν χρήσασθαι, ἀλλὰ φυγούσης μὲν αὐτοῖς τῆς ἐναντίας φάλαγγος οὐδένα ἀπέκτειναν οἱ ὁπλῖται, οὐδὲ προῆλθον ἐκ τοῦ χωρίου ἔνθα ἡ συμβολὴ ἐγένετο· φυγόντων δ' αὐτοῖς καὶ τῶν ἱππέων, ἀπέκτειναν μὲν οὐδ' οἱ ἱππεῖς διώκοντες οὔτε ἱππέας οὔθ' ὁπλίτας, ὥςπερ δὲ ἡττώμενοι πεφοβημένως διὰ τῶν φευγόντων πολεμίων διέπεσον. Καὶ μὴν οἱ ἅμιπποι καὶ οἱ πελτασταὶ συννενικηκότες τοῖς ἱππεῦσιν ἀφίκοντο μὲν ἐπὶ τοῦ εὐωνύμου ὡς κρατοῦντες, ἐκεῖ δ' ὑπὸ τῶν Ἀθηναίων οἱ πλεῖστοι αὐτῶν ἀπέθανον.

Τούτων δὲ πραχθέντων, τοὐναντίον ἐγεγένητο οὗ 26
ἐνόμισαν πάντες ἄνθρωποι ἔσεσθαι. Συνεληλυθυίας γὰρ σχεδὸν ἁπάσης τῆς Ἑλλάδος καὶ ἀντιτεταγμένων, οὐδεὶς ἦν ὅςτις οὐκ ᾤετο, εἰ μάχη ἔσοιτο, τοὺς μὲν κρατήσαντας ἄρξειν, τοὺς δὲ κρατηθέντας ὑπηκόους ἔσεσθαι· ὁ δὲ θεὸς οὕτως ἐποίησεν, ὥςτε ἀμφότεροι μὲν τρόπαιον ὡς νενικηκότες ἐστήσαντο, τοὺς δὲ ἱσταμένους οὐδέτεροι ἐκώλυον, νεκροὺς δὲ ἀμφότεροι μὲν ὡς νενικηκότες ὑποσπόνδους ἀπέδοσαν, ἀμφότεροι δὲ ὡς ἡτ-

§. 25. C. E. F. προςῆλθον ἐκ τοῦ. — D. οὐδ' ἱππεῖς. — ὥςπερ δὲ D. F. V. Steph. edd. sqq. pro ὥςπερ δή. — συννενικηκότες D. V. Leoncl. Mor. edd. sqq. pro συννενοηκότες; E. νενικηκότες.
§. 26. D. πάντες οἱ ἄνθρ. — γὰρ ante σχεδὸν V. Dind. pro δέ. — τρόπαιον ὡς νενικ. D. E. F. V. Dind. pro ὡς νεν. τρόπ.

Athenienses ei exercitus parti, quae sibi esset proxima, suppetias ferre vellent.

φόβον — ὡς] Cyrop. V, 2, 12: μὴ φοβοῦ, ὡς ἀπορήσεις. VI, 2, 30: μὴ δείσητε, ὡς οὐχ ἡδέως καθευδήσετε. Buttm. §. 139 E. 50. ann. 3.

§. 25. ἔπεσε] Gloriosam Epaminondae mortem legas apud Diod. XV, 87. Grot. p. 583 sqq.

τῆς ἐναντίας] V. ad V, 3, 3.

διέπεσον] redituri scil. ad suos.

§. 26. γάρ] Ferri non posse δέ demonstratum est ad VI, 4, 30.

ἁπάσης τῆς Ἑλλάδος] In exercitu Lacedaemoniorum Diodor. XV, 84 numerat pedites 20,000, equites 2000; contra in Thebano 30,000 pedites, 3000 equites, ex quibus summa efficitur militum 55,000. Schneider.

ἀντιτεταγμένων] In animo habet scriptor πάντων τῶν Ἑλλήνων. V. ad I, 4, 12. II, 3, 55. IV, 3, 2. Noli igitur excidisse aliquid suspicari cum Weiskio et Schneidero.

οὐδεὶς ἦν ὅςτις οὐκ] Haud scio an delendum sit ἦν. Cf. V. 1, 3. VI, 2, 34.

27 τημένοι ὑποσπόνδους ἀπελάμβανον, νενικηκέναι δὲ φάσκοντες ἑκάτεροι οὔτε χώρᾳ οὔτε πόλει οὔτ' ἀρχῇ οὐδέτεροι οὐδὲν πλέον ἔχοντες ἐφάνησαν ἢ πρὶν τὴν μάχην γενέσθαι· ἀκρισία δὲ καὶ ταραχὴ ἔτι πλείων μετὰ τὴν μάχην ἐγένετο ἢ πρόσθεν ἐν τῇ Ἑλλάδι. Ἐμοὶ μὲν δὴ μέχρι τούτου γραφέσθω· τὰ δὲ μετὰ ταῦτα ἴσως ἄλλῳ μελήσει.

§. 27. μέχρι τούτου C. D. E. F. I. marg. Leoncl. Dind. pro μέχρι τοῦδε.

§. 27. γραφέσθω] Leonclavius et Wellsius scripserunt γεγράφθω, ut est de Re equ. X, 17. XII, 14. Idem requirit Cobetus.

# INDICES.

# INDEX NOMINUM PROPRIORUM.

---

# INDEX LATINUS.

# INDEX GRAECUS.

*Ψήφισμα* V, 1, 5: *ὑπὸ ψηφίσματος*.

*Ὠμός* III, 3, 6: *ὠμῶν ἐσθίειν*.
*ὡς* ante numeralia IV, 3, 17; item *ὡς εἰς* IV, 1, 18. V, 2, 40. VI, 4, 29. *ὡς περί* V, 4, 14. — *ὡς* ante adiectiva numerum vel pondus vel magnitudinem significantia IV, 2, 3: *ὡς ἀνδρομήκει ὄντι*. cum dativo V, 4, 49: *ὡς στρατεύματι* (vulg.), exercitui quidem. — *ὡς*, simulans, IV, 3, 14: *ἐβουθύτει ὡς ἀγγέλια*; idem c. gen. absol. post *ἐξαγγέλλειν* III, 4, 1. post *παραγγέλλειν* III, 4, 23. IV, 2, 18. V, 1, 18. post *κηρύττειν* V, 4, 9. post *σημαίνειν* VII, 2, 5. post *κελεύειν* VII, 4, 7. post *καταμηνύειν* III, 2, 2. post *διδάσκειν* III, 5, 4. post *μέμφεσθαι* III, 5, 8. post *λόγος* IV, 3, 14. in eadem constructione *ὡς* traiectum III, 3, 2: *ὡς μάλα σεν ψευδομένω*. — *ὡς* post *φόβος* VII, 5, 24. — *ὡς* c. part. fut. III, 5, 19: *ὡς κρατήσων*, sperans fore, ut superior discederet. — *ὡς* consilium indicans coniunctum cum *ἐπί* III, 1, 8, cum *εἰς* III, 4, 11. IV, 2, 19. — *ὡς* consecutivum cum indicativo IV, 1, 33. VI, 1, 15. *οὕτως* — *ὡς* V, 4, 22. — *ὡς* consecutionem, quae simul consilii notionem involvit, significans cum indicativo V, 1, 15, cum infinitivo III, 4, 27. V, 2, 38. VI, 1, 13. — *ὡς* = *ὅτι*, seq. infinitivo VI, 5, 42. VII, 4, 39. — *ὡς εἰπεῖν* VII, 1, 2. — *ὡς συνελόντι εἰπεῖν* VII, 5, 6. — *ὡς* c. accus. absol. VI, 3, 10; 5, 24. 28. — *ὡς* iteratur in *τὲ — καί* III, 5, 5, in *ἤ — ἤ* VI, 2, 36, quum in priori tantum membro ponendum esset. — *ὡς* cum genitivo et verbo *ἔχειν* III, 4, 16. IV, 5, 15.
*ὥς* (pro *οὕτως*) et traiectum quidem protasis sententiam repetit III, 3, 2.
*ὥςπερ καί* III, 4, 5. IV, 3, 2; 4, 6.
*ὥςτε* c. infin. ea conditione, ut V, 3, 14. VI, 1, 10. — *ὥςτε οἴεσθαι*, ut crederes, IV, 4, 2. — III, 1, 10; 4, 17. — *ὥςτε* cum nominativo (pro accus.) et infinitivo V, 4, 1.

---